ΩΡΙΓΕΝΟΥΣ

ΤΑ

ΕΥΡΙΣΚΟΜΕΝΑ ΠΑΝΤΑ.

ORIGENIS

OPERA OMNIA

QUAE

GRAECE VEL LATINE TANTUM EXSTANT

ET

EJUS NOMINE CIRCUMFERUNTUR.

Ex variis Editionibus et Codicibus manu exaratis, Gallicanis, Italicis, Germanicis et Anglicis collecta, recensita atque annotationibus illustrata, cum vita Auctoris et multis Dissertationibus.

Ediderunt

CAROLUS ET CAROL. VINCENT. DE LA RUE

Presbyteri et Monachi Benedictini e Congregatione S. Mauri.

Denuo Recensuit Emendavit Castigavit

Carol. Henric. Eduard. Lommatzsch

Philos. Dr. Theolog. Licent. ejusdemq. in Seminar. Viteberg. Professor.

TOMUS XX.

Berolini 1846.

Sumtibus Haude et Spener.

(S. J. Joseephy.)

ORIGENIS
CONTRA CELSUM
LIBRORUM
PARS III.
EXHORTATIO AD MARTYRIUM.

DIVINITY SCHOOL LIBRARY. HARVARD UNIVERSITY

Ex

Nova Editionum Parisiensium, Cantabrigiensium atque Amstelodamensis Recognitione

Edidit

Carol. Henric. Eduard. Lommatzsch
Philos. Dr. Theolog. Licent. ejusdemq. in Seminar. Viteberg. Professor.

Berolini 1846.
Sumtibus Haude et Spener.
(S. J. Josephy.)

PROLEGOMENA.

Quum quae in nova haecce Origenis contra Celsum librorum editione accuratius a nobis hoc ipso temporis momento pertractari potuerint, in fronte jam-jam Tomi XVIII collocanda curaverimus, sola nunc Ruaei [1]) verba, eademque ad lib. Origenis de Exhortatione ad Martyrium spectantia, praefigere sufficiat, additis simul Anecdotis Magni Crusii, ad hunc usque diem a nobis, si non prorsus neglectis, justo diutius tamen, ingenue fatemur, posthabitis.

I.

De Exhortatione ad Martyrium.

Fragmentum e Protreptico ad Martyrium Bibliotheca Regia suppeditat, totum vero opus illustrissimi domini de la Barde, Christianissimi regis apud Helvetios legati cura e Basileensi bibliotheca depromtum, cum penes se haberet Huetius, promise-

[1]) Cfr. Origen. Opp. ed. Ruaei Tom. I. Praefat. pag. IX.

rat lib. III. Origenianorum § 2. num. 4. se illud suo inter Origenis Syntagmata ordine typis commissurum, sed quia non liberabat fidem, tandem Basileae anno 1674. graece et latine editum est una cum Dialogo contra Marcionitas, et responso Origenis ad Africani de Susannae historia epistolam, cura et studio Joannis Rudolphi Wetstenii, qui eruditis notis omnia haec opera illustravit. Eodem usus est Codice Manuscripto quo Huetius. Eodem et nos unico usi sumus, quibus copia nullius praeter hunc fuit.

II.

Anecdota [1]) Magni Crusii.

1. *Προοίμιον Ὠριγένους εἰς τὴν ἑρμηνείαν τοῦ κατὰ Ματθαῖον εὐαγγελίου.*

Βίβλος γενέσεώς ἐστι (Ἰησοῦ Χριστοῦ) τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα. Διὸ καὶ ἐπὶ πάντων τὸ, ἐγέννησε, λέγεται. Ἡ δὲ Χριστοῦ γέννησις οὐχὶ ὁδός ἐστιν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, ὡς οἴονταί τινες ἐπ' ἀνθρώπων, ἀλλ' ὁδὸς ἀπὸ τοῦ ἐν μορφῇ θεοῦ ὑπάρχειν ἐπὶ τὸ ἀναλαβεῖν τὴν τοῦ δούλου μορφήν. [2]) Περὶ δὲ τοῦ, τὸν μὲν ἄνωθεν κατάγειν τὰς

---

[1]) Cfr. programma Magni Crusii, anno 1735. scriptum, hunc prae se ferens titulum: *Γέννησις τοῦ ἀγενήτου.* Continet autem hoc programma tria fragmenta, Prologos videlicet Origenis in Evangelia S. Matthaei, Lucae et Joannis, hactenus ineditos. Desumta sunt haec fragmenta ex Cod. Reg. Paris., Cod. Coislin. et Cod. Carnot.

[2]) Cfr. Nicetae verba in Balth. Corderii Catena Patrum Graecorum in Matth. pag. 2., quae cum his conveniunt. — Cfr. insuper liber Redepenning. inscriptus: Ori-

διαδοχὰς, τὸν δὲ ἀνάπαλιν πεποιηκέναι τῶν εὐαγγελιστῶν, οὐδὲν ἐπιμέμφεσθαι δεῖ. Οὕτος γὰρ πόρρωθεν Ἑβραίοις φίλος ἦν ὁ τρόπος, τῶν θείων συνήθης γραφῶν. Οὐδὲ γὰρ τοὺς ἀνάντη καὶ ὄρθιον πορείαν ἀνιόντας,[1]) καὶ τοὺς ἔμπαλιν δι' αὐτῆς κατιόντας, ἑτέραν τις φαίη βαδίζειν, μιᾶς ἀμφοτέροις ἐγκειμένης τοῖς τε ἀνιοῦσι καὶ τοῖς κατιοῦσι τρίβου. Εἰ δὲ καὶ γυναῖκες οὐ γενεαλογοῦνται,[2]) ἀλλ' ἐπειδὴ ἐκ μόνης ἐτέχθη τῆς παρθένου, τὸ κατὰ σάρκα, Χριστὸς, αὖτη δὲ ἐκ Δαβὶδ εἶχε τὸ γένος, εἰκότως ἐκ Δαβὶδ αὐτὸν καὶ αὐτὸς γενεαλογεῖ. Πρώτου δὲ αὐτοῦ ἐμνήσθη, καὶ οὐ τοῦ Ἀβραὰμ, ἐπειδὴ νεαρωτέρας εἶχον περὶ αὐτοῦ τὰς μνήμας, καὶ ὅτι προφήτης ἦν καὶ βασιλεὺς, καὶ ἔνδοξος παρ' αὐτοῖς· ἐκαλεῖτο δὲ καὶ ἐρχόμενος, ὅ ἐστι Χριστός· τύπος γὰρ γέγονεν ὁ Δαβὶδ τοῦ Χριστοῦ. Ὥσπερ γὰρ ἐκεῖνος μετὰ τὸ ἀποδοκιμασθῆναι τὸν Σαοὺλ ἐβασίλευσεν, οὕτως καὶ ὁ Χριστὸς, μετὰ τὸ ἐκβληθῆναι τὸν πρῶτον Ἀδὰμ τοῦ βασιλεύειν τῶν ἐπὶ γῆς ζώντων,[3]) ἀντεισήχθη ὁ δεύτερος Ἀδὰμ βασιλεὺς τῶν ἁπάντων.[4]) Τοῦ Ἀβραὰμ δὲ καὶ τοῦ Δαβὶδ καὶ

---

genes. Eine Darstellung seines Lebens und seiner Lehre. Tom. 2. pag. 465 seqq. coll. ejusd. libri Tom. I. pag. 386.

[1]) Cod. Carnot. ποιοῦντας.

[2]) Ita Cod. Carnot., Cod. vero Regius: γυναῖκας οὖ γενεαλογεῖται. [3]) Cod. Carnot. ζώων.

[4]) lisdem fere verbis utitur Theophylactus in Evang. Matthaei: Ὥσπερ γὰρ ἐκεῖνος μετὰ τὸν Σαοὺλ τὸν ἀπόβλητον ἀπὸ θεοῦ καὶ μισητὸν ἐβασίλευσεν, οὕτω καὶ ὁ Χριστὸς, μετὰ τὸ στερηθῆναι τὸν Ἀδὰμ τῆς βασιλείας καὶ τῆς ἀρχῆς, ἣν εἶχε κατὰ πάντων καὶ τῶν ζώων, καὶ τῶν δαιμόνων, ἦλθε σαρκωθεὶς, καὶ ἐβασίλευσεν ἡμῶν. Cfr. Redep.

ἀρχὰς [1]) μόνων ἐμνήσθη, ἐπειδὴ πρὸς αὐτοὺς ἡ ἐπαγγελία τῆς τοῦ λόγου σαρκώσεως γέγονε.

---

2. *Προοίμιον τοῦ κατὰ Λουκᾶν εὐαγγελίου ἐκ τῆς ἑρμηνείας Ὠριγένους.*

»Ἐπειδήπερ [2]) πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων.« Ἐπειδὴ ὑπέρογκον ἦν τὸ ἐπιχείρημα, ἄνθρωπον ὄντα θεοῦ διδασκαλίαν καὶ ῥήματα συγγράφειν, εἰκότως ἀπολογεῖται ἐν τῷ προοιμίῳ. Ὥσπερ δὲ τῷ [3]) πάλαι λαῷ πολλοὶ προφητείαν ἐπηγγέλλοντο, ἀλλὰ τούτων τινὲς μὲν ἦσαν ψευδοπροφῆται, τινὲς δὲ ἀληθῶς προφῆται, καὶ ἦν χάρισμα διάκρισις [4]) πνευμάτων, ἀφ' οὗ ἐκρίνετο [5]) ἀληθὴς προφήτης, καὶ ψευδοπροφήτης· [6]) οὕτω καὶ νῦν ἐν τῇ καινῇ διαθήκῃ τὰ εὐαγγέλια πολλοὶ ἠθέλησαν γράψαι, ἀλλ' οἱ δόκιμοι τραπεζῖται [7]) οὐ πάντα ἐνέκριναν, [8]) ἀλλά τινα [9]) αὐτῶν ἐξελέξαντο.

---

[1]) Cod. Carnot. *ἀρχήν.* [2]) Cfr. Luc. I, 1.

[3]) Sic Cod. Regius, Codd. vero Coislin. et Venet., ille: *ἐν τῷ πάλαι*, hic: *οἱ τῷ πάλαι.*

[4]) Ita Codd. Carnot. et Coislin., Cod. vero Reg. *διακρίσεως.*

[5]) Cod. Coislin. *ὅ, τε* h. l. inserit; Cod. Venet. bis *ὁ* inserit, h. l. et ante voc. *ψευδοπροφήτης.* Idem Codex Venet. *χαρίσματος* ante voc. *οὗ* inserit. Cfr. Redep.

[6]) Elegantior lectio Cod. Coislin. *ὅ, τε ἀληθὴς προφήτης καὶ ὁ ψευδώνυμος.* Cfr. Redep.

[7]) Eadem Ambrosius ex Origene desumsit in Prooemio Comment. in Lucam. Conf. J. A. Fabricii Cod. Apocr. N. T. I. pag. 339. Cfr. Redep.

[8]) Sic Cod. Carnot. et Venet., Cod. vero Regius: *εὖ ἔκριναν*, omiss. *πάντα.* Cfr. Redep.

[9]) Cod. Venet. *ἀλλά τινα ἐξ αὐτῶν κτλ.* Redep.

Τάχα δὲ καὶ τὸ, ἐπεχείρησαν,[1] *λελῃθυῖαν ἔχει κατηγορίαν τῶν*[2] *χωρὶς χαρίσματος ἐλθόντων ἐπὶ τὴν ἀναγραφὴν τῶν εὐαγγελίων. Ματθαῖος*[3] *γὰρ οὐκ ἐπεχείρησεν, ἀλλ' ἔγραψεν, ἐξ ἁγίου πνεύματος κινούμενος,*[4] *ὁμοίως καὶ Μάρκος καὶ Ἰωάννης,*[5] *παραπλησίως δὲ καὶ ὁ Λουκᾶς. Τὸ μέντοι ἐπιγεγραμμένον κατὰ Αἰγυπτίους εὐαγγέλιον, καὶ τὸ ἐπιγεγραμμένον τῶν δώδεκα εὐαγγέλιον οἱ συγγράψαντες ἐπεχείρησαν. Φέρεται δὲ καὶ τὸ κατὰ Θωμᾶν εὐαγγέλιον. Ἤδη δὲ ἐτόλμησε καὶ Βασιλείδης γράψαι*[6] *κατὰ Βασιλείδην εὐαγγέλιον. Πολλοὶ μὲν οὖν ἐπεχείρησαν καὶ τὸ κατὰ Ματθίαν, καὶ ἄλλα πλείονα. Τὰ*[7] *δὲ τέσσαρα μόνα*[8] *προκρίνει*[9] *ἡ τοῦ θεοῦ ἐκκλησία.*[10] *Οὐχ ἁπλῶς δὲ*[11] *πεπιστευμένων, ἀλλὰ πεπληροφορημένων,*[12] *τὸ ἀπα-*

[1]) Cfr. Luc. I, 1.

[2]) Cod. Venet. *τῶν προπετῶς καὶ χωρὶς κτλ.*

[3]) Haec in Prologo praemisso Scholiis Mss. Graecis ad Lucam tanquam ex Origenis Commentariis deperditis petita legi jam tum testatus est Richard. Simon lib. III. Hist. Crit. N. T. pag. 82. et 430., ubi haec ipsa verba Graeca Origenis exhibuit, integra tamen linea ob repetitionem vocis *ἐπιγεγραμμένον* omissa; ex quo deinde ea pariter repetiit Fabricius in Cod. Apocr. N. T. I. pag. 131. Cfr. Redep.

[4]) Cod. Venet. *κινούμενος πνεύματος.*

[5]) Cod. Venet. *Ἰωάννης παραπλησίως, καὶ Λουκᾶς.*

[6]) Cod. Venet. *συγγράψαι.*

[7]) Cod. Venet. *Ἀλλὰ τὰ τέσσαρα κτλ.*

[8]) Deest *μόνα* in Cod. Coislin.

[9]) Cod. Regius: *ἀποκρίνει.*

[10]) Huc usque Graecum textum hujus fragmenti Origenis exhibuere Richard. Simon. et Fabric. locis citatis Cfr. Redep.

[11]) Cod. Venet. addit: *εἶπε.*

[12]) Cfr. Luc. I, 1.

ῥάβατον τοῖς λεγομένοις[1]) μαρτυρῶν. Πραγμάτων[2]) εἶπεν, ἀναιρῶν τὴν αἵρεσιν τῶν κατὰ φαντασίαν λεγόντων τὰ διὰ τοῦ σωτῆρος γεγενῆσθαι κατὰ[3]) τὴν σάρκωσιν αὐτοῦ. Περὶ δὲ[4]) τῶν πεπληροφορημένων εἰπὼν, τὴν διάθεσιν αὐτοῦ ἐμφαίνει· πεπληροφόρητο γὰρ, καὶ[5]) ἐν οὐδενὶ ἐδίσταζεν, πότερον οὕτως ἔχει, ἢ οὔ. Ὅτι δὲ παρὰ τῶν αὐτοψίᾳ[6]) θεασαμένων καὶ[7]) αὐτηκόων γενομένων παρέλαβεν, σαφῶς ὡμολόγησεν εἰπών· »καθὼς[8]) παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου.« (Τοῦτο[9]) δὲ εἰπὼν συμπεφώνηκε Ἰωάννῃ λέγοντι,[10]) τὸν λόγον σάρκα γεγονέναι καὶ ἐσκηνωκέναι ἐν ἡμῖν, καὶ τεθεωρεῖσθαι τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός. Διὰ γὰρ τῆς σαρκὸς θεωρητὸς ὁ λόγος κατέστη, ἀθεώρητος ὢν τὸ καθ' ἑαυτόν. Οἱ γὰρ τοῦτό φησιν, ὡς τὸν ἀσώματον καὶ ὁράσει μὴ ὑποπίπτοντα τεθεᾶσθαι ὑπ' αὐτῶν. Ἢ τοῦτό φησιν· ὑπηρέται τοῦ λόγου γεγόνασιν οἱ ἀπόστολοι, ὡς τὸν λόγον τῆς ἀληθείας παραδιδόντι τῷ Ἰησοῦ. Ἄλλος δέ φησιν· Εἰ τὸ

---

[1]) Sic Codd. Coislin. et Regius, Cod. vero Carnot. λόγοις.

[2]) Cod. Venet. Πραγμάτων δὲ εἶπεν. — Cfr. Luc. I, 1.

[3]) Codd. Venet. Carnot. et Coislin. καί.

[4]) Cod. Venet. Περὶ τῶν πεπληροφορημένων δὲ εἰπών.

[5]) Codd. Reg. et Venet. καὶ οὐδὲν ἐδίσταζε.

[6]) Cod. Reg. αὐτοψεί.

[7]) Desunt in Codd. Carnot. Venet. et Regio verba: καὶ αὐτηκόων γενομένων.

[8]) Cfr. Luc. I, 2.

[9]) Haec verba et seqq. uncis inclusa, omissa si quidem in Codd. Carnot. Venet. et Reg., leguntur tantum in Cod. Coislin. Cfr. Redep.

[10]) Cfr. ev. Joann. I, 14.

ἑωρακέναι τὸν κύριον κατὰ σῶμα, αὐτόπτην τούτου γενέσθαι ἦν, καὶ Πιλάτος αὐτόπτης ἦν τοῦ λόγου, καταδικάζων αὐτὸν, καὶ Ἰούδας ὁ προδότης, καὶ πάντες οἱ λέγοντες· σταυροῦ, σταυροῦ αὐτόν. Τὸ οὖν εἰδέναι τὸν λόγον, οὕτως νοητέον, καθὼς φησιν ὁ σωτήρ· »ὃ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα.« Καὶ λελῃθότως δέ τι καλὸν μάθημα διδάσκει ἡμᾶς ἐνταῦθα, ὅτι τινῶν μὲν θεωρημάτων τὸ τέλος ἡ πρᾶξις. Διὰ γὰρ τοῦ αὐτόπται δηλοῖ τὸ θεωρητικὸν, διὰ δὲ τοῦ ὑπηρέται, τὸ πρακτικόν.) Διαβεβαιοῦται δὲ, ὅτι ἄνωθεν παρηκολούθησεν οὐ τισὶ τῶν εἰρημένων, ἀλλὰ πᾶσιν.[1]) Εἰκὸς δὲ ὑπολαμβάνειν τινὰς, ὅτι Θεοφίλῳ τινὶ ἔγραψεν τὸ εὐαγγέλιον, ὃς εἷς ἦν τῶν[2]) πιστευσάντων, οὗτος ζέων τῷ πνεύματι, καὶ ἁπλήστως[3]) ἔχων περὶ τὰς τοῦ κυρίου πράξεις τε καὶ λόγους· ὕνπερ ἐποίει ἀσφαλέστερον καὶ τὰ νῦν γραφόμενα. Ἄλλος δέ φησιν· Ὅτι ἐὰν πάντες τοιοῦτοι ὦμεν, ὡς ἀγαπᾶσθαι ὑπὸ τοῦ θεοῦ καὶ φιλεῖσθαι, Θεόφιλοί ἐσμεν. (Οὐκ[4]) ἂν δέ τις εἴη Θεόφιλος ἀσθενής· πᾶς γὰρ Θεόφιλος κράτιστός ἐστιν,

---

[1]) Huc usque, omissis insuper inclusis istis, Cod. Venet. apud Gallandium. Redep.

[2]) Ita Codd. Reg. et Carnot., Cod. vero Coislin. τῶν πεπιστευκότων.

[3]) Cod. Carnot. ἁπλείστως.

[4]) Verba haec et seqq. iterum per parenthesin a reliquo contextu separata sunt, quoniam in solo Cod. Coislin. leguntur. Cod. Reg. autem in fine hujus Prooemii subjungit sequentia a manu librarii addita: *Ζήτει τὰ λοιπὰ πάντα ἐν ἑρμηνείᾳ ἐπισκόπου Βόστρων*, i. e. Titi Bostrensis, de cujus Commentario in Lucam ex variis antiquioribus ecclesiae doctoribus collecto consuli possunt auctores citati a Fabricio in Biblioth. Graec. lib. V. cap. 24. Vol. VIII. pag. 413. seq. Redep.

ἔχων τὸ κράτος καὶ τὴν δύναμιν τὴν ἀπὸ τοῦ θεοῦ καὶ τοῦ λόγου αὐτοῦ· καὶ οὕτως ἐπιγνώσεταί τις τὴν περὶ ὧν κατηχήθη λόγων ἀσφάλειαν. Ἐπαγγέλλεται τοίνυν τῆς γνώσεως τὸ βέβαιον, ἵνα ἅπερ ἐκεῖνος ἀκοῇ παρέλαβεν, ταῦτα καὶ γράμμασιν ἐντυγχάνων ἀσφαλέστερον τὴν πίστιν διατηρῇ.

---

3. Προοίμιον Ὠριγένους εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον.

Οὗτος εὐαγγελιστὴς πατρίδος μὲν ἦν, ἤτοι κώμης εὐτελοῦς, ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, πατρὸς δὲ ἁλιέως καὶ πένητος, παιδείας μὲν τῆς ἔξωθεν οὐδοτιοῦν μετέχων. Οὗτος ὁ ἰδιώτης[1]) ἰδιωτείαν τὴν ἐσχάτην, ὁ γραμματα μὴ εἰδὼς, μήτε πρότερον μήθ' ὕστερον μετὰ τὸ συγγενέσθαι Χριστῷ, ταύτην φθέγγεται τὴν συγγραφὴν, τὸν ἄϋδιον τοῦ θεοῦ λόγον συναΐδιον εἶναι λέγων τῷ γεγεννηκότι. »Ἐν[2]) ἀρχῇ ἦν ὁ λόγος.« Ἴσον δύναται τὸ[3]) »ἐν ἀρχῇ« τῷ »ἦν·« εἰ γὰρ ἐν ἀρχῇ ἦν,

---

[1]) Cod. Carnot. ὁ ἁλιεὺς καὶ ἰδιώτης.

[2]) Ev. Joann. I, 1.

[3]) Cod. Carnot. τοῦ ἐν ἀρχῇ τὸ ἦν. Suspicor, in utroque Cod., (nam in Cod. Coislin. hoc Prooemium non reperitur,) vocem ἀεί excidisse, ita ut legendum sit: Ἴσον δύναται τὸ ἐν ἀρχῇ τῷ ἀεὶ ἦν. In principio fuit, idem valet, quod semper fuit. Atque haec conjectura confirmatur non tantum ex iis, quae infra dicuntur: Οὗτος ἦν ἐν ἀρχῇ, τουτέστιν ἀεὶ πρὸς τὸν θεόν, sed finito hoc Prologo primum Scholion, quod in Cod. Carnot. subjungitur, perspicuum ejus rei praebet indicium, cum ad ista verba: ἐν ἀρχῇ ἦν, sequentia annotantur: Τί ἐστιν ἀρχή; Τὸ πρῶτον πέρας τῶν μετὰ ταῦτα. Τί ἐστιν πρῶτον πέρας; Τὸ πρὸ παντὸς ὄν. Οὕτω γοῦν καὶ

πότε οὐκ ἦν; Διὰ τοῦτο[1]) δέ φησι· »ὁ[2]) λόγος·« καὶ οὐχ, ὁ υἱός, ἵνα μὴ τῇ προσηγορίᾳ τοῦ υἱοῦ ἐπεισέλθοι τισὶν ἡ τοῦ πάθους ἔννοια· ἐπειδὴ τὰ παρ' ἡμῖν γεννῶντα ἐμπαθῶς γεννᾷ. Λόγος δὲ ἐκλήθη, ἵνα δειχθῇ, ὅτι ἐκ τοῦ νοῦ προήχθη, καὶ ὅτι εἰκὼν τοῦ γεννήσαντος, ὥσπερ καὶ ὁ ἡμέτερος λόγος ὅλως[3]) ἀπεικονίζει τὴν τοῦ νοῦ γνῶσιν. »Καὶ[4]) ὁ λόγος ἦν πρὸς τὸν θεόν.« Πάλιν τὸ ἦν, διὰ τοὺς βλασφημοῦντας, ὅτι οὐκ ἦν ἐν ἀρχῇ. Ποῦ δὲ ἦν ὁ λόγος; Οὐκ ἐν τόπῳ φησὶν, ἀλλὰ »πρὸς τὸν θεόν.« Οὐκ εἶπε δὲ, ὅτι ἐν τῷ θεῷ ἦν ὁ λόγος, ἀλλὰ »πρὸς τὸν θεὸν,« ἵνα τὸ ἰδιάζον τῆς ὑποστάσεως παραστήσῃ. Οὐ πρότερον δὲ εἶπεν, ὅτι ἦν θεὸς, πρὶν εἰπεῖν, ὅτι »ἦν πρὸς τὸν θεόν.« Εἰπὼν δὲ, ὅτι πρὸς τὸν θεὸν ἦν, τότε ἐπήγαγεν, ὅτι »θεὸς ἦν·« μονονουχὶ λέγων ὅτι καὶ ἦν, καὶ ἕτερον οὐδὲν, ἀλλ' ἢ τοῦτο, ὅπερ ἦν ἐκεῖνος, πρὸς ὃν ἦν. »Καὶ[5]) θεὸς ἦν ὁ λόγος.« Ἀνακεφαλαιοῦται ἐν ὀλίγοις ῥήμασι πᾶσαν αὐτοῦ τὴν θεολογίαν. »Οὗτος« γάρ φησι. Τίς οὗτος; ὁ λόγος ὁ ἐν ἀρχῇ ὤν, ὁ πρὸς τὸν θεὸν ὤν, ὁ θεός. »Οὗτος[6]) ἦν ἐν ἀρχῇ,« τουτέστιν ἀεὶ πρὸς τὸν θεὸν, τὸν ἑαυτοῦ πατέρα. Ὥσπερ γὰρ τὸ ἐν ἀρχῇ τὸ ἄϋδιον δηλοῖ, οὕτως καὶ τό· »οὗτος[7]) ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν·« τὸν συναΐδιον. Τοῦτο δέ φησιν, οὐχ ὡς ἀναί-

---

ἀρχὴν τὸ ἀεὶ ὄν, ἔθος αὐτοῖς πολλάκις καλεῖν. Redep. — Non male, quamquam lectio cum textus nostri, tum potissimum Cod. Carnot. sensum praebere videtur optimum.

[1]) Cod. Carnot. interrogative: Διὰ τί δέ φησι κτλ.

[2]) Cfr. ev. Joann. I, 1.

[3]) Cod. Carnot. ὅλην.

[4]) Cfr. ev. Joann. I, 1.

[5]) Ev. Joann. I, 1.

[6]) Cfr. ev. Joann. I, 2.

[7]) Cfr. ev. Joann. I, 2.

τιον δεῖξαι βουλόμενος τὸν υἱὸν, ἀλλ' ὡς ἀϊδίως συνόντα τῷ αἰτίῳ. Διὰ γὰρ τοῦ εἰπεῖν, ὅτι »οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεὸν,« ἕτερον [1]) ὂν καὶ ὑφεστηκὸς αὐτὸ καθ' αὑτὸ τὸν υἱὸν ἐπιδείκνυσιν, ἕτερον δὲ πάλιν τὸν θεὸν [2]) πατέρα, πρὸς ὃν ἦν ὁ λόγος. Πῶς γὰρ ἂν ὅλως [3]) τὸ ἓν ἀριθμῷ αὐτὸ πρὸς ἑαυτὸ, ἤτοι παρ' ἑαυτὸ [4]) νοοῖτο ὑπάρχειν; »Οὗτος [5]) ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν.« Εἰπὼν τό· »οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν·« προσέθηκεν τό· »πάντα δι' αὐτοῦ ἐγένετο·« ἀντιδιαστέλλας αὐτῷ διὰ τοῦ »οὗτος« δεικτικοῦ προσρήματος τὰ »πάντα,« καὶ τοῦ »ἦν ἐν ἀρχῇ,« τὸ »ἐγένετο·« ὁ μὲν γὰρ οὐκ ἐγένετο, ἐπειδὴ »ἐν ἀρχῇ ἦν πρὸς τὸν θεὸν,« τὰ δὲ »ἐγένετο,« ἐπειδὴ οὐκ ὄντα τὸ εἶναι ἔλαβον. Εἰ οὖν »πάντα δι' αὐτοῦ ἐγένετο,« ἕτερος ἂν εἴη τῶν πάντων αὐτός. Ἐν γὰρ τῷ παντὶ οὐδέν ἐστιν, ὃ μὴ ἐν τοῖς πᾶσιν ὁρᾶται. Τὸ δὲ »δι' αὐτοῦ,« οὐ διακονίας ἕνεκεν κεῖται, ἀλλὰ συνεργείας, καὶ τοῦ μηδὲν ὑπεξαιρεῖσθαι τῆς αὐτοῦ [6]) ποιήσεως τῶν [7]) γεγονότων. Διὸ καὶ ἐπάγει· »καὶ [8]) χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν.«

»Ἐν [9]) αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων.« Ἵνα πανταχῇ τὸ ἀϊδίως νοῆται. [10]) Εἰ-

---

[1]) Cod. Carnot. ἕτερον ὄν τι καὶ ἐφεστηκός.

[2]) Cod. Carnot. θεὸν καὶ πατέρα.

[3]) Leg. ἄλλως. Redep.

[4]) Sic Cod. Carnot., Cod. vero Reg. perperam: ἑαυτόν.

[5]) Ev. Joann. I, 2. 3.

[6]) Cod. Reg. perperam: ἑαυτοῦ.

[7]) Desunt in Cod. Carnot. verba: τῶν γεγονότων.

[8]) Cfr. ev. Joann. I, 3.

[9]) Cfr. ev. Joann. I, 4. [10]) Cod. Carnot. νοεῖται.

πῶν δὲ περὶ τῆς δημιουργίας πρῶτον, ἐπάγει καὶ τὸν τῆς προνοίας λόγον. Τὸ γὰρ τῆς ζωῆς ἐνταῦθα, τῆς προνοίας ἐστὶ, τῆς κατὰ [1]) διαμονήν. Ὅνπερ δὲ τρόπον ὁ λόγος ἐν πᾶσι τοῖς γεγονόσιν ἐστὶ ζωὴ, ζωοποιῶν δηλονότι τὰ τῆς ζωῆς δεκτικὰ, οὕτως ἐστὶν ἐν [2]) αὐτῷ καὶ φῶς, φωτίζον τὰ συνέσεως δεκτικά. Τοῦτο δείκνυσι, [3]) ὅπερ εἰσί. Πάντα γὰρ ἐν πᾶσίν ἐστιν ὁ θεὸς δι' υἱοῦ ἐν πνεύματι.

»Καὶ [4]) τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.« Ἐπειδὴ τὸν υἱὸν ὠνόμασε φῶς, ἑτέραν οὐσίαν [5]) τὴν ἐπιδεᾶ δεικνύων, εἰς τὸ ἐναντίον περιτρέπει τοῦ σημαινομένου τὴν δύναμιν. Φαίνει γὰρ ἐν αὐτῇ καθάπερ ἐν σκοτίᾳ τὸ φῶς ὁ υἱὸς, εἰ καὶ οὐκ οἶδεν ἡ σκοτία πάντων τὸ φῶς. Ἡ γὰρ ἐπὶ γῆς τυγχάνουσα λογικὴ φύσις, τουτέστιν ὁ ἄνθρωπος, οὐκ ἔγνω τὸν δημιουργὸν, καὶ ἐλάτρευσε τῇ κτίσει παρὰ τὸν κτίσαντα. Ἀληθῶς φῶς οὐ πρὸς ἀντιδιαστολὴν ψεύδους εἴρηται, ἀλλὰ πρὸς διαφορὰν εἰκονικοῦ. Εἰκονικὸν δὲ φῶς τὸ αἰσθητόν· τὸ γὰρ τυπικὸν φῶς, καὶ τὸ αἰσθητὸν, εἰ καὶ μὴ ἀληθινὸν, ἀλλ' οὐ ψευδές· τὸ δὲ φῶς τὸ ἀληθινὸν, ἀεὶ πᾶν λογικὸν εὐεργετοῦν, [6]) φωτίζει »πάντα ἄνθρωπον.« Ἐπεὶ δὲ τὸ ἐρχόμενον ἀμφιβόλως εἴρηται, [7]) δυνάμενον σημαίνειν ὁτὲ μὲν τὸ φῶς, ὁτὲ δὲ τὸν ἄνθρωπον· ἵνα λοιπὸν τό· »ἐρχόμενον [8]) εἰς

---

[1]) Cod. Reg. *κατὰ διαμονῆς.*

[2]) Cod. Carnot. *ἐν ἑαυτοῖς.*

[3]) Cod. Carnot. *δεικνύων.*

[4]) Cfr. ev. Joann. I, 5.

[5]) In utroque Cod. Mscr. perperam legitur: *οὖσαν.*

[6]) Cod. Reg. *εὐεργετεῖ.* — Cfr. ev. Joann. I, 9.

[7]) Cod. Reg. hic est mancus, cum lacunae ibi inveniantur integrarum linearum, quas vero ex Cod. Carnot. restituere datum fuit. Cfr. Redep.

[8]) Cfr. ev. Joann. I, 9.

τὸν κόσμον·« κατὰ τοῦ ἀνθρώπου νοῆς, ὃ καὶ μᾶλλον τῆς φωτιζομένης φύσεως, ὡς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι καλουμένου, ἀναγκαίως ἡμῖν ἐκκαλύπτει τὴν δύναμιν, λέγων εὐθὺς περὶ τοῦ φωτὸς, ὅτι »ἐν [1]) τῷ κόσμῳ ἦν.« Εἰ δὲ τό· »ἐρχόμενον [2]) εἰς τὸν κόσμον·« περὶ τοῦ Χριστοῦ εἴρηται, καλῶς ἐπήγαγε τό· »ἐν [3]) τῷ κόσμῳ ἦν·« ὥστε δεῖξαι, ὅτι τὸ ἐρχόμενον πρὸς τὴν διὰ σαρκὸς εἶπεν φανέρωσιν. Τῇ [4]) γὰρ ὑποστάσει φησὶ καὶ φύσει ὡς θεὸς ἦν ἐν τῷ κόσμῳ, καὶ πρὸ τούτου.

Atque haec quidem hactenus. Tu autem, lector benevole, vale faveque!

Scripsimus Vitebergae die XIV. mens. Augusti a. MDCCCXLVI.

---

[1]) Ev. Joann. I, 10.
[2]) Ev. Joann. I, 9.
[3]) Ev. Joann. I, 10.
[4]) Ita Cod. Carnot., Cod. vero Reg. *Εἰ γὰρ κτλ.*

Eduardus Lommatzsch.

ΩΡΙΓΕΝΟΥΣ

ΚΑΤΑ ΚΕΛΣΟΥ

Τόμος ἕβδομος.

(332) 1. Ἐν ἐξ τοῖς πρὸ τούτων, ἱερὲ ἀδελφὲ Ἀμβρόσιε, ἀγωνισάμενοι, κατὰ τὸ δυνατὸν ἡμῖν, βιβλίοις πρὸς τὰς Κέλσου κατὰ Χριστιανῶν κατηγορίας, καὶ μηδὲν, ὅση δύναμις, ἀβασάνιστον καὶ ἀνεξέταστον ἐάσαντες, μηδὲ παρελθόντες, πρὸς ὃ, ὡς οἷόν τε ἡμῖν, ἀπηντήσαμεν, θεὸν ἐπικαλεσάμενοι δι' αὐτοῦ Ἰησοῦ Χριστοῦ, τοῦ κατηγορουμένου ὑπὸ Κέλσου, ἵν' ἡμῶν ἑλλάμψῃ ἐν τῇ καρδίᾳ, ἀλήθεια τυγχάνων, τὰ ἀνατρεπτικὰ τοῦ ψεύδους, ἀρχόμεθα καὶ ἑβδόμου συγγράμματος, τὸ προφητικὸν ἐκεῖνο ἐν τῇ πρὸς θεὸν λέγοντες εὐχῇ, τό· »ἐν [1]) τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς·« δῆλον δ' ὅτι τοὺς ἐναντίους τῇ ἀληθείᾳ λόγους· — οὗτοι γὰρ ἀληθείᾳ θεοῦ ἐξολοθρεύονται· — ἵν', ἐξολοθρευθέντων αὐτῶν, οἱ πάντες περισπασμοῦ [2]) ἀπολυθέντες εἴπωσι

[1]) Cfr. Psalm. LIV, 5. (LIII.)

[2]) Hoeschel. et Spenc. in textu: *πειρασμοῦ*, sed melius Mss. Codd. (itemq. edd. Spenc. ad marg.) *περισπασμοῦ*. Mendacia quippe ac falsa omnino sunt *περισπασμός* ille, quo homines a veritate abducuntur, et ad diversa omnia distrahuntur, nec ulla est homini ad veritatem via relicta, nisi per falsi abolitionem: quo demum abolito, ad veritatem animus applicari, sicque *λογικὴν*

τὸ ἑξῆς ἐκείνῳ, τό· »ἑκουσίως[1]) θύσω σοι·« λογικὴν καὶ ἄκαπνον θυσίαν προσφέροντες τῷ θεῷ τῶν ὅλων.

2. Πρόκειται δὲ νῦν τῷ Κέλσῳ κατηγορῆσαι τοῦ φάσκοντος λόγου, ὑπὸ τῶν παρὰ Ἰουδαίοις προφητῶν προφητεύεσθαι τὰ περὶ τὸν Χριστὸν Ἰησοῦν. Καὶ πρῶτόν γε κατ' ἀρχὰς ἐξετάζομεν[2]) ὧν οἴεται, τοὺς μὲν ἄλλον εἰσηγουμένους θεὸν, παρὰ τὸν Ἰουδαίων θεὸν, μηδαμῶς δύνασθαι ἀπαντᾶν πρὸς τὰς ἐπαπορήσεις αὐτοῦ· ἡμᾶς δὲ, τοὺς τὸν αὐτὸν τηρήσαντας θεὸν, καταφεύγειν ἐπὶ τὴν διὰ τῶν προφητευομένων περὶ Χριστοῦ ἀπολογίαν. Καί φησι πρὸς ταῦτα· »Ἴδωμεν ὅπη ἐφευρήσουσι παραίτησιν; Οἱ μὲν ἄλλον εἰσηγούμενοι θεὸν, οὐδεμίαν· οἱ δὲ τὸν αὐτὸν, αὖθις τὸ αὐτὸ ἐροῦσιν, ἐκεῖνο δὴ τὸ σοφὸν, ὅτι ἐχρῆν οὕτω γενέσθαι· τεκμήριον δὲ, πάλαι γὰρ ταῦτα προείρητο.« Φήσομεν δὲ πρὸς ταῦτα, ὅτι οὕτως ἐστὶν ἀσθενῆ τὰ εἰρημένα περὶ τοῦ Ἰησοῦ καὶ Χριστιανῶν ἐν τοῖς ὀλίγῳ πρὸ τούτων, ὡς καὶ τοὺς ἄλλον εἰσηγουμένους θεὸν, καὶ τοῦτο πράττοντας ἀσεβῶς, εὐχερέστατα ἀπαντῆσαι πρὸς τὰ ὑπὸ Κέλσου λεγόμενα. Καὶ εἰ μὴ ἄτοπον ἦν ἀφορμὰς διδόναι τοῖς ἀσθενεστέροις πρὸς παραδοχὴν χειρόνων δογμάτων, καὶ ἡμεῖς ἂν τοῦτο πεποιήκειμεν· ἵν' ἐλέγξωμεν ψεῦδος τὸ περὶ τοῦ, τοὺς ἄλλον εἰσηγουμένους θεὸν μηδεμίαν ἔχειν ἀπολογίαν πρὸς τὰ ὑπὸ Κέλσου λελεγμένα. Νυνὶ δὲ ἡμεῖς, φέρε, περὶ τῶν προφητῶν πρὸς τοῖς ἀνωτέρω εἰρημένοις (333) ἀπολογησώμεθα.

3. Φησὶν οὖν· »Τὰ μὲν ὑπὸ τῆς Πυθίας, ἢ Δω-

καὶ ἄκαπνον θυσίαν suo offerre Deo potest. R. — Jam Boherellus: „Praestat altera lectio: περισπασμοῦ, quae confirmatur e pag. (edd. Spenc.) 351. lin. 2."

[1]) Cfr. Psalm. LIV, 6. (LIII.)

[2]) Dubitabat Guietus, an scribendum sit: ἐξετάζων οἴεται. R.

δωνίδων,[1]) ἢ Κλαρίου, ἢ ἐν[2]) Βραγχίδαις, ἢ ἐν Ἀμμωνος ὑπὸ μυρίων τε ἄλλων θεοπρόπων προειρημένα, ὑφ' ὧν ἐπιεικῶς πᾶσα γῆ κατῳκίσθη, ταῦτα μὲν οὐδενὶ λόγῳ τίθενται· τὰ δὲ ὑπὸ τῶν ἐν Ἰουδαίᾳ τῷ ἐκείνων τρόπῳ λεχθέντα, ἢ μὴ λεχθέντα, καὶ ὥσπερ εἰώθασιν ἔτι νῦν οἱ περὶ Φοινίκην τε καὶ Παλαιστίνην, ταῦτά γε θαυμασιὰ καὶ ἀπαράλλακτα ἡγοῦνται.« Λέγωμεν οὖν περὶ τῶν κατειλεγμένων χρηστηρίων, ὅτι δυνατὸν μὲν ἡμῖν, συνάγουσιν ἀπὸ Ἀριστοτέλους,[3]) καὶ τῶν τὰ τοῦ Περιπάτου φιλοσοφησάντων, οὐκ ὀλίγα εἰπεῖν εἰς ἀναιροπὴν τὴν[4]) τοῦ περὶ τῆς Πυθίας καὶ τῶν λοιπῶν χρηστηρίων λόγου· δυνατὸν δὲ καὶ τὰ λελεγμένα τῷ Ἐπικούρῳ,[5]) καὶ τοῖς ἀσπαζομένοις αὐτοῦ τὸν λόγον περὶ τῶν αὐτῶν, παραθέμενον δεῖξαι ὅτι καὶ Ἑλλήνων τινὲς ἀνατρέπουσι τὰς νομιζομένας καὶ τεθαυμασμένας ἐν πάσῃ Ἑλλάδι θεοπροπείας. Ἀλλὰ γὰρ δεδόσθω, μὴ εἶναι πλάσματα, μηδὲ προσποιήσεις ἀνθρώπων περὶ θεοφορίας, τὰ περὶ τὴν Πυθίαν καὶ τὰ λοιπὰ χρηστήρια· ἴδωμεν οὖν, εἰ μὴ καὶ οὕτω δύναται τοῖς φιλαλήθως ἐξετάζουσι τὰ πράγματα[6]) ἀποδείκνυσθαι, ὅτι καὶ τῷ παραδεχομένῳ εἶναι ταῦτα τὰ μαντεῖα οὐκ ἀναγκαῖον προσέσθαι,[7]) ὅτι θεοί τινες

---

[1]) Edd. Spenc. et Ruaei in textu: *Λωδωνίων*, ed. vero Ruaei in notis: »Lege vel cum Gulelo: *Λωδωναίων*, vel potius cum Boherello: *Λωδωνίδων*, ut infra hujusce libri num. 6. et 7.«

[2]) Hoeschel. in textu (edd. Spenc. ad marg.) *ἐν βραχίδαις*. R.

[3]) Vide Euseb. lib. IV. cap. 2. et 3. Praepar. Evangel. coll. lib. I. contra Cels. num. 43.

[4]) Deest *τήν* in edd. Spenc.

[5]) Vide Euseb. lib. IV. cap. 2. et 3. Praepar. Evangel. coll. lib. I. contra Cels. num. 43.

[6]) Hoeschel. et Spenc. in marg. *προστάγματα*.

[7]) Hoeschel. et Spencer. in textu: *προέσθαι*, ad oram vero: *προσέσθαι*.

εἰσι παρ' αὐτοῖς· ἀλλ' ἐκ[1]) τοὐναντίου δαίμονές τινες φαῦλοι, καὶ πνεύματα ἐχθρὰ τῷ γένει τῶν ἀνθρώπων, καὶ κωλύοντα τὴν τῆς ψυχῆς ἄνοδον, καὶ δι' ἀρετῆς πορείαν, καὶ τῆς ἀληθινῆς εὐσεβείας ἀποκατάστασιν πρὸς τὸν θεόν. Ἱστόρηται[2]) τοίνυν περὶ τῆς Πυθίας, ὅπερ δοκεῖ τῶν ἄλλων μαντείων λαμπρότερον τυγχάνειν, ὅτι περικαθεζομένη[3]) τὸ τῆς[4]) Κασταλίας στόμιον ἡ τοῦ Ἀπόλλωνος προφῆτις δέχεται[5]) πνεῦμα διὰ τῶν γυναικείων κόλπων· οὗ πληρωθεῖσα ἀποφθέγγεται τὰ νομιζόμενα εἶναι σεμνὰ καὶ θεῖα μαντεύματα. Ὅρα δὴ διὰ τούτων, εἰ μὴ τὸ τοῦ πνεύματος ἐκείνου ἀκάθαρτον καὶ βέβηλον ἐμφαίνεται, μὴ διὰ μανῶν καὶ ἀφανῶν πόρων, καὶ πολλῷ γυναικείων κόλπων καθαρωτέρων, ἐπεισιὸν[6]) τῇ ψυχῇ τῆς θεσπιζούσης· ἀλλὰ διὰ τούτων, ἃ οὐδὲ θέμις ἦν τῷ σώφρονι καὶ ἀνθρώπῳ

---

[1]) Edd. Spenc. ad marg. ἐκ τοῦ ἐναντίου.

[2]) Vide Diodor. Sic. lib. XVI.

[3]) Hoeschel. in notis: Max. Tyr. ἡ πρόμαντις, καθίζουσα ἐπὶ τρίποδος, ἐμπιπλαμένου δαιμονίου πνεύματος, χρησμῳδεῖ.

[4]) Hoeschel. in notis: Lucian. καὶ τρίποδος δελφικοῦ. Idem et Chrysostomus Homil. XX. I Cor. XII. Hujus verba, ab hoc loco non aliena, sunt haec: Λέγεται ἡ Πυθία, γυνή τις οὖσα, ἐπικαθῆσθαι τῷ τρίποδί ποτε τοῦ Ἀπόλλωνος, διαιροῦσα τὰ σκέλη· εἶθ' οὕτω πνεῦμα πονηρὸν, κάτωθεν ἀναδιδόμενον, καὶ διὰ τῶν γεννητικῶν αὐτῆς διαδυόμενον μορίων, πληροῦν τὴν γυναῖκα τῆς μανίας, καὶ ταύτην τὰς τρίχας λύουσαν λοιπὸν, ἐκβαυχεύεσθαί τε, καὶ ἀφρὸν ἐκ τοῦ στόματος ἀφιέναι, καὶ οὕτως ἐν παροινίᾳ γενομένην τὰ τῆς μανίας λέγεσθαι ῥήματα.

[5]) Hoesch. in notis: Lucian. ἐμπνεῖται.

[6]) Edd. Spenc. ἐπεισιόν. Jam Boherell. vero (itemq. Ruaeus in textu) in notis: »Lege: ἐπεισιόν, vel: ὑπεισιόν.«

βλέπειν, οὔπω λέγεσθαι,[1]) ἢ καὶ ἅπτεσθαι. Καὶ τοῦτο ποιεῖν οὐκ[2]) ἅπαξ που, οὐδὲ δίς· — ἴσως γὰρ ἔδοξεν ἀνεκτότερον τὸ τοιοῦτο τυγχάνειν· — ἀλλὰ τοσαυτάκις, ὁσάκις προφητεύειν ἐκείνη ἀπὸ τοῦ Ἀπόλλωνος πεπίστευται. Ἀλλὰ καὶ τὸ εἰς ἔκστασιν καὶ μανικὴν[3]) ἄγειν κατάστασιν τὴν δῆθεν προφητεύουσαν, ὡς μηδαμῶς αὐτὴν ἑαυτῇ παρακολουθεῖν, οὐ θείου πνεύματος ἔργον ἐστίν· ἐχρῆν[4]) γὰρ τὸν κάτοχον τῷ θείῳ πνεύματι, πολλῷ πρότερον παντὸς οὑτινοσοῦν τοῦ ἀπὸ τῶν χρησμῶν διδασκομένου τὸ συμβαλλόμενον εἰς τὸν μέσον καὶ κατὰ φύσιν βίον, ἢ πρὸς τὸ λυσιτελὲς, ἢ πρὸς τὸ συμφέρον, ὠφεληθῆναι, καὶ διορατικώτερον παρ' ἐκεῖνο μάλιστα καιροῦ τυγχάνειν, ὅτε σύνεστιν αὐτῷ τὸ θεῖον.

4. Ὅθεν ἡμεῖς ἀποδείκνυμεν, συνάγοντες ἀπὸ τῶν ἱερῶν γραμμάτων, ὅτι οἱ ἐν Ἰουδαίοις (334) προφῆται, ἐλλαμπόμενοι ὑπὸ τοῦ θείου πνεύματος τοσοῦτον, ὅσον ἦν καὶ αὐτοῖς τοῖς προφητεύουσι χρήσιμον, προαπέλαυον[5]) τῆς τοῦ κρείττονος εἰς αὐτοὺς ἐπιδημίας· καὶ διὰ τῆς πρὸς τὴν ψυχὴν αὐτῶν, ἵν' οὕτως ὀνομάσω, ἁφῆς τοῦ καλουμένου ἁγίου πνεύματος, διορατικώτεροί

---

[1]) Sic recte Mss. Male autem libri editi (v. c. edd. Spenc.) λέγεται. R.

[2]) Edd. Spenc. et Ruaei: οὐχ ἅπαξ που.

[3]) Optime Mss. μανικήν. Libri autem editi (v. c. edd. Spenc.) μαγικήν. R.

[4]) Locus hic, qui mihi aeque ac Boherello videtur sanus, videbatur Guieto ex luxatione obscurus, et sic corrigendus: Ἐχρὴν γὰρ τὸν κάτοχον τῷ θείῳ πνεύματι τὸν συμβαλλόμενον εἰς τὸν μέσον καὶ κατὰ φύσιν βίον, πολλῷ πρότερον παντὸς οὑτινοσοῦν τοῦ ἀπὸ τῶν χρησμῶν διδασκομένου, ἢ πρὸς τὸ λυσιτελὲς, ἢ πρὸς τὸ συμφέρον ὠφεληθῆναι. R.

[5]) Recte omnino habet Cod. Basil. (itemq. Boherell. in not.) προαπέλαυον. In antea editis (v. c. edd. Spenc.) legitur: προαπέλαβον. R.

τε τὸν νοῦν ἐγίνοντο, καὶ τὴν ψυχὴν λαμπρότεροι. Ἀλλὰ καὶ τὸ σῶμα οὐδαμῶς ἔτι ἀντιπράττον[1]) τῷ καὶ' ἀρετὴν βίῳ, ἅτε κατὰ τὸ παρ' ἡμῖν καλούμενον φρόνημα τῆς σαρκὸς νεκρούμενον. Πνεύματι γὰρ θειοτέρῳ τὰς τοῦ σώματος πράξεις, καὶ ἀπὸ τοῦ φρονήματος[2]) τῆς σαρκὸς ἀρχομένας ἔχθρας τυγχάνειν[3]) πρὸς θεὸν, θανατοῦσθαι πεπείσμεθα. Εἰ δ' ἐξίσταται, καὶ οὐκ ἐν ἑαυτῇ ἐστιν ἡ Πυθία, ὅτε μαντεύεται· ποδαπὸν νομιστέον πνεῦμα, τὸ σκότον καταχέαν τοῦ νοῦ, καὶ τῶν λογισμῶν, ἢ τοιοῦτον ὁποῖόν ἐστι καὶ τὸ τῶν δαιμόνων γένος, οὓς οὐκ ὀλίγοι Χριστιανῶν ἀπελαύνουσι τῶν πασχόντων, σὺν οὐδενὶ περιέργῳ καὶ μαγικῷ, ἢ φαρμακευτικῷ πράγματι, ἀλλὰ μόνῃ εὐχῇ καὶ[4]) ὁρκώσεσιν ἁπλουστέραις, καὶ ὅσα ἂν δύναιτο προσάγειν ἁπλούστερος ἄνθρωπος; Ὡς ἐπίπαν γὰρ ἰδιῶται τὸ τοιοῦτον πράττουσι, παρισάσης τῆς ἐν τῷ λόγῳ Χριστοῦ χάριτος τὸ τῶν δαιμόνων[5]) εὐτελὲς καὶ ἀσθενὲς, οὐ πάντως δεόμενον, πρὸς τὸ ἡττηθῆναι, καὶ εἶξαν ὑπεξελθεῖν ἀπὸ ψυχῆς ἀνθρώπου καὶ σώματος, σοφοῦ τινος καὶ δυνατοῦ ἐν ταῖς λογικαῖς περὶ τῆς πίστεως ἀποδείξεσιν.

5. Ἀλλὰ καὶ εἴπερ πεπίστευται οὐ παρὰ Χριστιανοῖς καὶ Ἰουδαίοις μόνοις, ἀλλὰ καὶ παρ' ἄλλοις πολλοῖς Ἑλλήνων καὶ βαρβάρων, ὅτι ζῇ καὶ ὑπάρχει μετὰ τὸν ἀπὸ τοῦ σώματος χωρισμὸν ἡ ἀνθρωπίνη ψυχή· καὶ τῷ λόγῳ παρίσταται, ὅτι ἡ μὲν καθαρὰ, καὶ μὴ βαρουμένη ὑπὸ τῶν τῆς κακίας μολιβδίδων, μετέωρος

---

[1]) Guieto hic omnino desiderari videbatur: εἶχον. Boherell. legit: ἀνιέπραττε. R.

[2]) Cfr. Rom. VIII, 6. 7.

[3]) Hoeschel. in textu male (edd. Spenc. ad marg.) τυγχάνοντος. R.

[4]) Cfr. lib. I. contra Cels. num. 2.

[5]) Hoeschel. in textu (edd. Spenc. ad marg.) δαιμονίων. R.

φέρεται ἐπὶ τοὺς τόπους τῶν καθαρωτέρων καὶ αἰθερίων σωμάτων, καταλιποῦσα τὰ τῇδε παχέα σώματα, καὶ τὰ ἐν αὐτοῖς μιάσματα· ἡ δὲ φαύλη, καὶ ὑπὸ τῶν ἁμαρτάδων καθελκομένη ἐπὶ τὴν γῆν, καὶ μηδ' ἀναπνεῦσαι δυναμένη, τῇδε φέρεται, καὶ καλινδεῖται, ἡ μέν τις ἐπὶ τὰ μνήματα, ἔνθα καὶ ὤφθη σκιοειδῶν [1]) ψυχῶν φαντάσματα, ἡ δέ τις ἁπαξαπλῶς περὶ τὴν γῆν· ποδαπὰ χρὴ νομίζειν εἶναι πνεύματα, τὰ ὅλους, ἵν' οὕτως ὀνομάσω, αἰῶνας προσδεθέντα, ὥσπερ εἴτε μαγγανείαις τισὶν, εἴτε καὶ διὰ τὴν σφετέραν κακίαν, οἰκοδομαῖς καὶ τόποις; Ὁ λόγος δὴ αἱρεῖ φαῦλ' ἅττα νομίζειν εἶναι τὰ τοιαῦτα τῇ προγνωστικῇ δυνάμει, μέσῃ τυγχανούσῃ, εἰς ἀπάτην ἀνθρώπων χρώμενα, καὶ πρὸς τὸ περισπάσαι αὐτοὺς ἀπὸ τοῦ θεοῦ, καὶ τῆς καθαρᾶς εἰς αὐτὸν εὐσεβείας. Δηλοῖ δὲ τὸ τοιοῦτον τοὺς [2]) αὐτοὺς τυγχάνειν καὶ τὸ, ταῖς ἀπὸ τῶν θυσιῶν ἀναθυμιάσεσι καὶ ταῖς ἀπὸ τῶν αἱμάτων καὶ ὁλοκαυτωμάτων ἀποφοραῖς τρεφόμενα [3]) αὐτῶν τὰ σώματα, [4]) φιληδονούντων τοῖς τοιούτοις, ἐπ' [5]) αὐτὸ τυγχάνειν τοῦ ὡσπερεὶ φιλοζωεῖν· ἀνάλογον φαύλοις ἀνθρώποις, οὐκ ἀσπαζομένοις μὲν τὸ (335) καθαρώτερον ἔξω σωμάτων ζῆν, περιέπουσι δὲ διὰ τὰς σωματικὰς ἡδονὰς τὴν ἐν τῷ γεώδει σώματι ζωήν. Εἴπερ δὲ θεὸς ἦν, ὡς Ἕλληνες οἴονται, ὁ ἐν Δελφοῖς Ἀπόλλων· τίνα μᾶλλον ἐχρῆν αὐτὸν ἐκλέξασθαι προφήτην, ἢ τὸν σοφόν; ἢ, μὴ εὖ-

---

[1]) Cfr. lib. II. contra Cels. num. 60.

[2]) Delet Boherell. articulum: τούς. Guietus autem corrigit: Δηλοῖ δὲ τοιούτους αὐτοὺς τυγχάνειν. R.

[3]) Edd. Spenc. male sic distinguunt singula: τρεφόμενα αὐτῶν τὰ σώματα φιληδονούντων· τοῖς τοιούτοις ἐπ' αὐτὸ τυγχάνειν τοῦ κτλ. Jam Boherell. vero ut nos in textu: »Sic distingue« etc.

[4]) Vide Huet. Origenianor. lib. II. quaest. V.

[5]) Boherell. mavult: ἐπ' αὐτὰ τυγχάνειν, Guietus vero: ἐπὶ τὸ τυγχάνειν. R.

ρισκομένου τοῦ τοιούτου, κἂν τὸν προκύπτοντα; Πῶς δ' ἂν οὐκ ἄνδρα μᾶλλον προφητεύειν ἐβούλετο, ἤπερ γυναῖκα; Εἰ δὲ καὶ τὸ θῆλυ ἤθελεν, ὡς τάχα μὴ δυνάμενος,[1]) ἢ μὴ τερπόμενος ἄλλῳ τινὶ, ἢ τοῖς κύλποις τῶν γυναικῶν· πῶς οὐχὶ παρθένον μᾶλλον ἐχρῆν αὐτὸν ἐπιλέξασθαι, ἤπερ γυναῖκα τὴν τὸ βούλημα αὐτοῦ θεσπίζουσαν;

6. Νυνὶ δὲ ὁ θαυμαζόμενος παρ' Ἕλλησι Πύθιος οὐδένα μὲν σοφὸν, ἀλλ' οὐδ' ὅλως ἄνδρα ἄξιον ἔκρινε τῆς, ὡς Ἕλληνες ὑπολαμβάνουσι, θείας κατακωχῆς.[2]) Ἀλλ' οὐδ' ἐν τῷ θήλει γένει παρθένον τινὰ, ἢ σοφὴν, καὶ ἀπὸ φιλοσοφίας ὠφελημένην· ἀλλά τινα γυναῖκα ἰδιῶτιν. Τάχα γὰρ οἱ ἐν ἀνθρώποις κρείττονες βελτίους ἦσαν τῆς εἰς τὴν κατακωχὴν ἐνεργείας αὐτοῦ. Ἔδει δὲ καὶ, εἴπερ θεὸς ἦν, τῇ προγνώσει αὐτὸν χρήσασθαι δελέατι, ἵν' οὕτως ὀνομάσω, πρὸς τὴν ἐπιστροφὴν, καὶ θεραπείαν, καὶ ἠθικὴν κατόρθωσιν τῶν ἀνθρώπων· νυνὶ δὲ οὐδὲν ἡ ἱστορία τοιοῦτον παραδίδωσι περὶ αὐτοῦ. Εἰ γὰρ καὶ ἀνδρῶν ἁπάντων Σωκράτην εἶπε σοφώτατον[3]) εἶναι· ἤμβλυνε τὸν ἔπαινον αὐτοῦ τὸ πρὸς τούτου λεγόμενον περὶ Εὐριπίδου καὶ Σοφο-

---

[1]) Boherellus: »Legendum puto: *δυνόμενος*.«

[2]) Aliquot Mss. *κατοχῆς*.

[3]) Platon. Apolog. Socr. pag. 20. et 21. *Τῆς γὰρ ἐμῆς, εἰ δή τίς ἐστι σοφία καὶ οἵα, μάρτυρα ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν Δελφοῖς. Χαιρεφῶντα γὰρ ἴστε που. Οὗτος ἐμός τε ἑταῖρος ἦν ἐκ νέου, καὶ ὑμῶν τῷ πλήθει ἑταῖρός τε, καὶ ξυνέφυγε τὴν φυγὴν ταύτην, καὶ μεθ' ὑμῶν κατῆλθε. Καὶ ἴστε δὴ οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ, τι ὁρμήσειε. Καὶ δή ποτε καὶ εἰς Δελφοὺς ἐλθὼν, ἐτόλμησε τοῦτο μαντεύσασθαι, — καὶ ὅπερ λέγω, μὴ θορυβεῖτε, ὦ ἄνδρες. Ἤρετο γὰρ δὴ εἴ τις ἐμοῦ εἴη σοφώτερος. Ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα σοφώτερον εἶναι.* Cfr. ed. Bekkeri Part. I. Vol. II. pag. 96. 97.

κλέους ἐν τῷ· »σοφὸς[1]) Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης.« Τραγῳδοποιῶν[2]) οὖν σοφῶν ὑπ' αὐτοῦ λελεγμένων, κρείττων εἶναι νομισθεὶς ὁ Σωκράτης τῶν ἐπὶ τῆς σκηνῆς καὶ τῆς ὀρχήστρας τοῦ τυχόντος ἄθλου ἕνεκεν ἀγωνιζομένων, καὶ ὅπου μὲν λύπας καὶ ὀίκτους τοῖς θεαταῖς ἐμποιούντων, ὅπου δὲ ἀσέμνους γέλωτας· — τοιοῦτον γάρ τι βούλεται τὰ σατυρικὰ δράματα· — οὐ πάνυ τι τὸ διὰ φιλοσοφίαν καὶ ἀλήθειαν ἐμφαίνει σεμνὸν, καὶ διὰ σεμνότητα ἐπαινετόν. Καὶ τάχα οὐ τοσοῦτον διὰ φιλοσοφίαν ἀνδρῶν εἶπεν αὐτὸν ἁπάντων σοφώτατον, ὅσον διὰ τὰς θυσίας, καὶ ἃς προσήνεγκε[3]) κνίσσας αὐτῷ τε καὶ τοῖς λοιποῖς δαίμοσι. Καὶ διὰ ταῦτα ἐοίκασι μᾶλλον ποιεῖν οἱ δαίμονες τὰ ἀξιούμενα ὑπὸ τῶν αὐτοῖς προσαγόντων, ἢ διὰ τὰ ἔργα τῆς ἀρετῆς. Διόπερ διαγράφων τὰ γινόμενα ὁ τῶν ποιητῶν ἄριστος Ὅμηρος, καὶ διδάσκων, τίνα μάλιστά ἐστι τὰ πείθοντα τοὺς δαίμονας ποιεῖν ἃ βούλονται οἱ θύοντες, εἰσήγαγε τὸν Χρύσην,[4]) ἕνεκεν ὀλίγων στεφάνων, καὶ μηρίων ταύρων καὶ αἰγῶν, τυγχάνοντα ὧν ἤτησε καθ' Ἑλλήνων διὰ τὴν θυγατέρα, ἵνα λοιμώξαντες ἀποδώσειαν αὐτῷ τὴν Χρυσηΐδα. Μέμνημαι δὲ παρά τινι τῶν Πυθαγορείων,[5]) ἀναγράψαντι περὶ τῶν ἐν[6]) ὑπο-

---

[1]) Spencerus: Suidas in voc. σοφός.
Σοφὸς Σοφοκλῆς· σοφώτερος δ' Εὐριπίδης·
Ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτερος.
Apud Aristophan. Scholiast. in Nubibus legitur Σωκράτης σοφώτατος. Quem vide.

[2]) Edd. Spenc. Τραγωδιοποιῶν.

[3]) Hoeschel. in textu (Spenc. ad marg.) προσήνεγκε. Spenc. (in textu): προήνεγκε.

[4]) Cfr. Iliad. I. vers. 37. seqq.

[5]) Hoeschel. in textu (Spenc. ad marg.) Πυθαγορείων. Spenc. (in textu): Πυθαγορίων. R.

[6]) Cfr. lib. IV. contra Cels. num. 38., ed. nostr. Tom. XIX. pag. 58. not. 1.

νοίᾳ παρὰ τῷ ποιητῇ λελεγμένων, ἀναγνοὺς, ὅτι τὰ τοῦ Χρύσου πρὸς τὸν Ἀπόλλωνα ἔπη, καὶ ὁ ἐξ Ἀπόλλωνος ἐπιπεμφθεὶς τοῖς Ἕλλησι λοιμὸς, διδάσκει ὅτι ἠπίσιατο. (336.) Ὅμηρος πονηρούς τινας δαίμονας, χαίροντας ταῖς κνίσσαις καὶ ταῖς θυσίαις, μισθοὺς ἀποδιδόναι τοῖς θύσασι τὴν ἑτέρων φθορὰν, εἰ τοιοῦτο οἱ θύοντες εὔχοιντο. Καὶ »ὁ [1]) Δωδώνης δὲ μεδέων δυσχειμέρου, παρ' ᾧ εἰσιν οἱ ὑποφῆται [2]) ἀνιπτόποδες, χαμαιεῦναι,« ἀποδοκιμάσας τὸ τῶν ἀνδρῶν εἰς προφητείαν γένος, ταῖς Δωδωνίσι χρῆται, ὡς καὶ ὁ Κέλσος παρέστησεν. Ἔστω δέ τις τούτοις παραπλήσιος Κλάριος, καὶ ἕτερος ἐν Βραγχίδαις, καὶ ἄλλος ἐν Ἄμμωνος, ἢ ὅποι ποτὲ γῆς μαντευόμενοι· πόθεν οὖν δειχθήσεται, καὶ [3]) εἰ θεοὶ μέν εἰσι, οὐ δαιμόνια δέ τινα;

7. Τῶν δ' ἐν Ἰουδαίοις προφητῶν οἱ [4]) μὲν ἀπὸ προφητείας καὶ τῆς θείας κατακωχῆς, ὡς ἂν σοφοί· οἱ δ' ἀπ' αὐτῆς τῆς προφητείας φωτισθέντες τὸν νοῦν τοιοῦτοι γεγόνασιν, αἱρεθέντες ὑπὸ τῆς προνοίας εἰς τὸ πιστευθῆναι τὸ θεῖον πνεῦμα, καὶ τοὺς ἀπὸ τούτου λόγους, διὰ τὸ τοῦ βίου δυσμίμητον, καὶ σφόδρα εὔτονον, καὶ ἐλευθέριον, καὶ πάντη πρὸς θάνατον καὶ κινδύνους ἀκατάπληκτον. Τοιούτους γὰρ καὶ ὁ λόγος αἱρεῖ [5]) δεῖν εἶναι τοὺς τοῦ ἐπὶ πᾶσι θεοῦ προφήτας, οἵτινες παίγνιον ἀπέφηναν τὴν Ἀντιθένους, καὶ Κρά-

---

[1]) Cfr. Iliad. XVI. vers. 234. 235.

[2]) Edd. Spenc. et Ruaei: *προφῆται*. Jam Boherell. vero, quem Ruaeus sequitur in notis: »Ex Iliad XVI. vers. 235., unde haec desumta sunt, legendum: *ὑποφῆται*.« [3]) Boherellus: »Malim: *ὅτι καί*.«

[4]) Edd. Spenc. et Ruaei ut nos in textu, ed. vero Ruaei in notis: »Mss *οἱ μὲν προφῆται τῆς προφητείας καὶ τῆς θείας κατοχῆς ὡς ἂν σοφοί*, sed legendum: *οἱ μὲν πρὸ προφητείας καὶ τῆς θείας κατακωχῆς* (vel: *κατοχῆς*) *ἦσαν σοφοί*, ut recte monuit Boherellus.«

[5]) Hoeschel in textu, Spenc. ad marg. *ἐρεῖ*.

ητος, καὶ Διογένους εὐτονίαν. Δι' ἀλήθειαν γοῦν καὶ τὸ ἐλευθερίως ἐλέγχειν τοὺς ἁμαρτάνοντας »ελιθάσθησαν, [1]) ἐπρίσθησαν, ἐπειράσθησαν, [2]) ἐν φόνῳ μαχαίρας ἀπέθανον. Περιῆλθον γὰρ ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, κακουχούμενοι, ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, ὧν οὐκ ἦν ἄξιος ὁ ἐπὶ γῆς κόσμος· « ἀεὶ ἑνορῶντες τῷ θεῷ, καὶ τοῖς ἀοράτοις τοῦ θεοῦ, καὶ μὴ [3]) βλεπομένοις αἰσθητῶς, καὶ διὰ τοῦτο οὖσιν αἰωνίοις. Ὁ δὲ βίος ἑκάστου τῶν προφητῶν ἀναγέγραπται· ἀρκεῖ δὲ ἐπὶ τοῦ παρόντος παραθέσθαι τὸν Μωϋσέως βίον· — καὶ γὰρ αὐτοῦ φέρονται προφητεῖαι, ἀναγεγραμμέναι ἐν τῷ νόμῳ· — καὶ τὸν Ἱερεμίου, ᾠδόμενον ἐν τῇ ὁμωνύμῳ αὐτοῦ προφητείᾳ· καὶ τὸν Ἡσαΐου, [4]) ὃς ἐπορεύθη ὑπερτείνων [5]) πᾶσαν ἄσκησιν γυμνὸς καὶ ἀνυπόδετος ἔτεσι τρισίν. Ἴδε δὲ καὶ παιδαρίων, [6]) τοῦ Δανιὴλ καὶ τῶν σὺν αὐτῷ, τὸν ἐρρωμένον βίον, ἀναγνοὺς τὴν ὑδροποσίαν αὐτῶν, καὶ ὅτι [7]) ἡ τροφὴ ἦν αὐτοῖς ὄσπριον, ἐμψύχων ἀπεχομένοις. Εἰ δὲ δύνασαι, καὶ τὰ πρὸ τούτων θέασαι, Νῶε προφητεύσαντος· [8]) καὶ τοῦ Ἰσαὰκ [9]) τῷ υἱῷ ἐπευξαμένου προφητικῶς· καὶ τοῦ Ἰακὼβ λέγοντος ἑκάστῳ τῶν δώ-

---

[1]) Cfr. Hebr. XI, 37. 38.

[2]) Hoeschel. et Spenc. in marg. ἐπειρώθησαν. Quod, etsi nihili videtur, mirum tamen in modum, inquit Boherellus, confirmat ingeniosam Tanaquilli Fabri conjecturam legentis epist. critic. 14. lib. 2. ἐπηρώθησαν, id est: *mutilationem passi sunt.* Neque etiam aliter legendum videbatur Guieto. R.

[3]) Cfr. II Cor. IV, 18. [4]) Cfr. Jesai. XX, 2. 3.

[5]) Codd. Basil. et Vatican. ὑπέρτινων πᾶσαν ἄσκησιν, quae lectio minime (?) est spernenda. R.

[6]) Cfr. Dan. I, 15. seqq.

[7]) Spenc. ὅσα, pro quo Boherell. legi vult: ὡς.

[8]) Cfr. Gen IX, 25—27.

[9]) Cfr. Gen. XXVII, 27.

δεκα· »δεῦτε,[1]) ἵνα ἀναγγείλω ὑμῖν, τί ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν.« Οὗτοι δὴ, καὶ ἄλλοι μύριοι, προφητεύσαντες τῷ θεῷ, καὶ τὰ περὶ Ἰησοῦ τοῦ Χριστοῦ προεῖπον. Διόπερ ἐν οὐδενὶ μὲν τιθέμεθα λόγῳ τὰ ὑπὸ τῆς Πυθίας, ἢ Δωδωνίδων, ἢ Κλαρίου, ἢ ἐν Βραγχίδαις, ἢ ἐν Ἄμμωνος, ἢ ὑπὸ μυρίων ἄλλων λεγομένων θεοπρόπων προειρημένα· τὰ[2]) δ' ὑπὸ τῶν ἐν Ἰουδαίᾳ προφητευσάντων τεθήπαμεν, ὁρῶντες ὅτι ἄξιος ἦν αὐτῶν ὁ ἐρρωμένος, καὶ εὔτονος, καὶ σεμνὸς βίος, πνεύματος θεοῦ (337) τρόπῳ προφητεύοντος[3]) καινῷ, καὶ οὐδὲν ἔχοντι παραπλήσιον ταῖς ἀπὸ δαιμόνων μαντείαις.

8. Οὐκ οἶδα δ' ὅπως ὁ Κέλσος, εἰπών· »τὰ δ' ὑπὸ τῶν ἐν Ἰουδαίᾳ τῷ ἐκείνων τρόπῳ λεχθέντα·« προσέθηκεν· »ἢ μὴ λεχθέντα·« ὡς ἄπιστος φάσκων δύνασθαι καὶ μὴ λελέχθαι αὐτά· ἀλλ' ἀναγεγράφθαι τάχα τὰ μὴ λεχθέντα. Οὐ γὰρ οἶδε τοὺς χρόνους, οὐδ' ὅτι πρὸ πολλῶν ἐτῶν μυρία προεπόντες ἔλεγον καὶ περὶ τῆς Χριστοῦ ἐπιδημίας. Πάλιν τε αὖ, τοὺς ἀρχαίους προφήτας διαβαλεῖν ἐθέλων, φησὶν »αὐτοὺς πεπροφητευκέναι τὸν τρόπον τοῦτον, ὃν εἰώθασι, φησὶν, ἔτι νῦν οἱ περὶ Φοινίκην τε καὶ Παλαιστίνην·« μὴ δηλώσας πότερον ἀλλοτρίους λέγει τινὰς τοῦ Ἰουδαίων λόγου καὶ Χριστιανῶν, ἢ καὶ κατὰ τὸν χαρακτῆρα τῶν προφητῶν Ἰουδαϊκῶς προφητεύοντας. Ὅπως δ' ἂν ἔχῃ ἃ λέγει, ἐλέγχεται ἐψευσμένα. Οὔτε γάρ[4]) τινες τῶν τῆς πί-

---

[1]) Cfr. Gen. XLIX, 1.

[2]) Mss. (itemq. Spenc. ad marg.) τὰ δ' ὑπὸ τῶν κτλ. Spenc. (in textu): τὰ δ' ἀπὸ τῶν κτλ. Sed opinor veram lectionem fuisse: τὰ δ' ὑπὸ τῶν ἐν Ἰουδαίᾳ προφητευσάντων λεχθέντα τεθήπαμεν, ut conjicere est ex initio numeri sequentis. R.

[3]) Hoeschel. in textu (Spenc. ad marg.) προφητεύοντος, et ita Codex Anglicanus primus. R.

[4]) Spenc. γὰρ τῶν κτλ. Jam Boherell. vero in notis: »Legendum videtur: γάρ τινες τῶν« κτλ.

στεως ἀλλοτρίων παραπλήσιόν τι τοῖς προφήταις πεποιήκασιν, οὔτε νεώτεροι καὶ μετὰ τὴν Ἰησοῦ ἐπιδημίαν ἱστόρηνται ἐν Ἰουδαίοις τινὲς προφητεύσαντες. Τὸ γὰρ ἅγιον πνεῦμα ὡμολόγηται ἐκείνους καταλελοιπέναι, ἀσεβήσαντας εἰς τὸν θεὸν, καὶ τὸν προφητευθέντα ὑπὸ τῶν παρ' αὐτοῖς προφητῶν. Σημεῖα δὲ τοῦ ἁγίου πνεύματος κατ' ἀρχὰς μὲν τῆς Ἰησοῦ διδασκαλίας, μετὰ δὲ τὴν ἀνάληψιν αὐτοῦ πλείονα ἐδείκνυτο, ὕστερον δὲ ἐλάττονα· πλὴν καὶ νῦν ἔτι ἴχνη ἐστὶν αὐτοῦ παρ' ὀλίγοις, τὰς ψυχὰς τῷ λόγῳ καὶ ταῖς κατ' αὐτὸν πράξεσι κεκαθαρμένοις. »Ἅγιον[1]) γὰρ πνεῦμα παιδείας φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων.

9. Ἐπεὶ δὲ καὶ τὸν τρόπον τῶν ἐν Φοινίκῃ καὶ Παλαιστίνῃ μαντείων ἐπαγγέλλεται φράσειν ὁ Κέλσος,[2]) ὡς ἀκούσας καὶ πάνυ καταμαθών· φέρε, καὶ ταῦτα κατανοήσωμεν. Πρῶτον δὴ λέγει »πλείονα εἴδη εἶναι προφητειῶν·« μὴ ἐκτιθέμενος αὐτά. Οὐδὲ γὰρ εἶχεν, ἀλλὰ ψευδῶς ἐναπετείνετο.[3]) Ὃ δέ φησιν εἶναι τελεώτατον παρὰ τοῖς τῇδε ἀνδράσιν ἴδωμεν. »Πολλοὶ, φησὶ, καὶ ἀνώνυμοι ῥᾳστα ἐκ τῆς προσιυχούσης αἰτίας, καὶ ἐν ἱεροῖς, καὶ ἔξω ἱερῶν, οἱ δὲ καὶ ἀγείραντες καὶ ἐπιφοιτῶντες πόλεσιν, ἢ στρατοπέδοις, κινοῦνται δῆθεν ὡς θεσπίζοντες. Πρόχειρον δ' ἑκάστῳ καὶ σύνηθες εἰπεῖν· ἐγὼ[4]) ὁ θεός εἰμι, ἢ θεοῦ παῖς, ἢ πνεῦμα θεῖον. Ἧκω

---

[1]) Sap. Sal. I, 5.

[2]) Libri editi (v. c. edd. Sp.) in marg. male: λόγος. R.

[3]) Boherellus: »Lego: ἐπανετείνετο, ut eodem verbo utatur Origenes, quo Celsus initio pag. edd. Spenc. 338. Vide et pag. edd. Spenc. 340. lin. 2.« — Cfr. pag. 14. not. 2. coll. pag. 15. not. 5. et pag. 18. not. 3.

[4]) Spencerus: Talis erat Simon Magus. Iren. lib. I. cap. 23. (20.) »Hic igitur a multis quasi Deus glorificatus est, et docuit semet ipsum esse, qui inter Judaeos quidem quasi Filius apparuerit, in Samaria autem quasi Pater descenderit, et in reliquis vero gentibus quasi Spi-

δέ· ἤδη γὰρ ὁ κόσμος ἀπόλλυται, καὶ ὑμεῖς, ὦ ἄνθρωποι, διὰ τὰς ἀδικίας οἴχεσθε. Ἐγὼ δὲ σῶσαι θέλω· καὶ ὄψεσθέ με αὖθις μετ' οὐρανίου δυνάμεως ἐπανιόντα. Μακάριος ὁ νῦν με θρησκεύσας, τοῖς δ' ἄλλοις ἅπασι πῦρ αἰώνιον ἐπιβαλῶ, καὶ πόλεσι, καὶ χώραις. Καὶ ἄνθρωποι,[1]) οἳ μὴ τὰς ἑαυτῶν ποινὰς ἴσασι, μεταγνώσονται μάτην καὶ στενάξουσι· τοὺς δέ μοι πεισθέντας, αἰωνίους φυλάξω.« Εἶτα τούτοις (338) ἑξῆς φησι· »Ταῦτ'[2]) ἐπανατεινάμενοι προστιθέασιν ἐφεξῆς ἄγνωστα, καὶ πάροιστρα, καὶ πάντη ἄδηλα, ὧν τὸ μὲν γνώρισμα[3]) οὐδεὶς ἂν ἔχων νοῦν εὑρεῖν δύναιτο· ἀσαφῆ γὰρ καὶ τὸ μηδέν· ἀνοήτῳ δὲ ἢ γόητι παντὶ περὶ παντὸς ἀφορμὴν ἐνδίδωσιν, ὅπη βούλεται τὸ λεχθὲν σφετερίζεσθαι.«

10. Ἐχρῆν δὲ αὐτὸν, εἴπερ εὐγνωμόνει πρὸς τὴν κατηγορίαν, ἐκθέσθαι αὐταῖς λέξεσι τὰς προφητείας· εἴτ' ἐν αἷς θεὸς παντοκράτωρ ἐπηγγέλλετο εἶναι ὁ λέγων, εἴτ' ἐν αἷς ὁ υἱὸς τοῦ θεοῦ, εἴτε καὶ ἐν αἷς τὸ

---

ritus sanctus adventaverit. Esse autem se sublimissimam virtutem, (hoc est, eum, qui sit super omnia pater,) et sustinere vocari se quodcunque eum vocant homines.« Talis Dositheus. Orig. lib. I. contra Cels. num. 57., et Tom. XIV. in Joann. »Sic Dositheum etiam quendam exstitisse ex Samaritanis, qui se ipsum diceret Messiam prophetarum.« Talis et Menander. Euseb. lib. III. cap. 23. eccles. hist. Tertull. de Praescriptione adversus Haereticos: »Post hunc Menander, discipulus ipsius, similiter Magus, eadem dicens, quae Simon ipse, quidquid se Simon dixerat, hoc se Menander esse dicebat, negans habere posse quemquam salutem, nisi in nomine suo baptizatus fuisset.«

[1]) Edd. Spenc. et Ruaei in textu: ἀνθρώποις, Ruaeus vero in notis: «Lego cum Boherello: ἄνθρωποι.«

[2]) Cfr. pag. 13. not. 3.

[3]) Codd. Reg. et Basil. γνῶσμα. Hoeschel. in textu (Spenc. ad marg.) γνῶναι. Spenc. (in textu): γνῶμα. R.

πνεῦμα τὸ ἅγιον λέγον[1]) εἶναι ἐπιστεύετο. Οὕτω γὰρ ἠγωνίασεν ἀνασκευάσαι τὰ εἰρημένα, καὶ δεῖξαι, ὅτι οὐκ ἔνθεοι ἦσαν οἱ λόγοι, περιέχοντες ἐπιστροφὴν ἀπὸ τῶν ἁμαρτημάτων, καὶ ἔλεγχον τῶν[2]) ποτε ὄντων, καὶ πρόγνωσιν περὶ τῶν μελλόντων. Διὸ καὶ οἱ καὶ αὐτοὺς ἀπογραψάμενοι τὰς προφητείας αὐτῶν ἐφύλαξαν· ἵνα καὶ οἱ μεταγενέστεροι ἀναγινώσκοντες θαυμάζωσιν ὡς λόγους θεοῦ, καὶ ὠφελούμενοι οὐ μόνον ἀπὸ τῶν ἐπιπληκτικῶν καὶ ἐπιστρεπτικῶν, ἀλλὰ καὶ ἀπὸ τῶν προγνωστικῶν, ταῖς ἐκβάσεσι πειθόμενοι περὶ τοῦ θεῖον εἶναι πνεῦμα τὸ προειρηκὸς, τὴν κατὰ τὸν λόγον εὐσέβειαν ἀσκοῦντες διατελῶσι πειθόμενοι τῷ νόμῳ, καὶ τοῖς προφήταις. Οἱ μὲν οὖν προφῆται, ὅσα ἦν αὐτόθεν νοηθῆναι τοῖς ἀκούουσι χρήσιμα, καὶ συμβαλλόμενα τῇ τῶν ἠθῶν ἐπανορθώσει, χωρὶς πάσης ἐπικρύψεως, κατὰ τὸ βούλημα τοῦ θεοῦ, εἰρήκασιν· ὅσα δὲ μυστικώτερα ἦν, καὶ ἐποπτικώτερα, καὶ ἐχόμενα θεωρίας τῆς ὑπὲρ τὴν πάνδημον ἀκοὴν, ταῦτα δι' αἰνιγμάτων καὶ ἀλληγοριῶν, καὶ τῶν καλουμένων σκοτεινῶν λόγων, καὶ τῶν ὀνομαζομένων παραβολῶν, ἢ παροιμιῶν, ἀπεφήναντο· ἵν' οἱ μὴ φυγοπονοῦντες, ἀλλὰ πάντα πόνον ὑπὲρ ἀρετῆς καὶ ἀληθείας ἀναδεχόμενοι, ἐξετάσαντες εὕρωσι, καὶ εὑρόντες, ὡς λόγος αἱρεῖ, οἰκονομήσωσιν. Ὁ δὲ γεννάδας Κέλσος, ὥσπερεὶ θυμωθεὶς ἐπὶ τῷ μὴ νενοηκέναι[3]) τοὺς τῶν[4]) προφητῶν τοιούτους λόγους, ἐλοιδόρησεν αὐτοὺς, εἰπών· »ὅτι ταῦτα[5]) ἐπανατεινάμενοι προστιθέασιν ἐφεξῆς ἄγνωστα, καὶ πάροιστρα,

---

[1]) Hoeschel. (Spenc. ad marg.) et Mss. λέγον εἶναι ἐπισιεύετο. Spenc. (in textu): λέγων εἶναι ἐπιστεύετο. Haec autem Guieto adititia videntur. R.

[2]) Guieto scribendum videtur: τῶν τότε ὄντων. R.

[3]) Spenc. in textu: νενοηκέναι τῶν προφητῶν τοὺς τοιούτους λόγους, ad marg. vero, ut nos in textu.

[4]) Verba: τῶν προφητῶν, Guieto suspecta sunt. R.

[5]) Cfr. pag. 13. not. 3.

καὶ πάντη ἄδηλα, ὧν τὸ μὲν γνώρισμα [1]) οὐδεὶς ἂν νοῖν ἔχων εὑρεῖν δύναιτο· ἀσαφῆ γὰρ καὶ τὸ μηδέν· ἀνοητῳ δὲ ἢ γόητι παντὶ περὶ παντὸς ἀφορμὴν ἐνδίδωσιν, ὅπη βούλεται τὸ λεχθὲν σφετερίζεσθαι.« Καὶ πανούργως μοι ἔδοξε ταῦτ' εἰρηκέναι, κωλύειν, τὸ ὅσον ἐφ' ἑαυτῷ, βουλόμενος τοὺς ἐντυγχάνοντας ταῖς προφητείαις βασανίζειν καὶ ἐξετάζειν αὐτῶν τὸν νοῦν· καὶ πέπονθέ τι πρᾶγμα παραπλήσιον τοῖς εἰποῦσι περί τινος προφήτου, εἰσελθόντος πρός τινα καὶ τὰ μέλλοντα προεπόντος αὐτῷ· »τί [2]) εἰσῆλθεν ὁ ἐπίληπτος οὗτος πρὸς σέ;«

11. Εἰκὸς μὲν οὖν εἶναι λόγους, πολλῷ τῆς ἡμετέρας ἕξεως σοφωτέρους, τοὺς δυναμένους ἀποδεικνύναι ψευδόμενον ἐν τούτοις τὸν Κέλσον, καὶ ἐνθέους τὰς προφητείας· πλὴν καὶ ἡμεῖς, κατὰ τὸ δυναιὸν ἡμῖν, πεποιήκαμεν, τὰ, ὥς φησι Κέλσος, πάροιστρα καὶ πάντη ἄδηλα, (339) πρὸς λέξιν διηγησάμενοι ἐν τοῖς πραγματευθεῖσιν ἡμῖν εἰς τὸν Ἡσαΐαν, καὶ εἰς τὸν Ἰεζεκιὴλ, καὶ εἴς τινας τῶν δώδεκα. Θεοῦ δὲ διδόντος τὴν ἐν τῷ λόγῳ αὐτοῦ προκοπὴν, καθ' οὓς βούλεται χρόνους, προστεθήσεται τοῖς ἤδη [3]) ὑπαγορευθεῖσιν εἰς ταῦτα ἤτοι τὰ λείποντα, ἢ ὅσα γ' ἂν φθάσωμεν σαφηνίσαι. Καὶ ἄλλοι δὲ, οἱ βουλόμενοι ἐξετάζειν τὴν γραφὴν, νοῦν ἔχοντες τὸ γνῶμα [4]) αὐτῆς εὑρεῖν ἂν δύναιντο· οὔσης πολλαχοῦ ἀληθῶς ἀσαφοῦς μὲν, οὐ μὴν, ὥς φησι Κέλσος, τὸ μηδέν. Ἀλλ' οὐδὲ δύναταί τις ἀνόητος ἢ γόης ἐξομαλίσαι, ἢ ὅπη ποτὲ βούλεται, τὸ λεχθὲν σφετερίσασθαι· μόνος δὲ καὶ πᾶς ὁ κατ' ἀλήθειαν ἐν Χρι-

---

[1]) Codd. Reg. et Basil. γνώρισμα. Hoeschel. et Spenc. γνῶμα. R. — Cfr. pag. 14. not. 3.

[2]) Cfr. II Regg. IX, 11. (IV. Regg.)

[3]) Spenc. ad marg. ἤδη εἰς ταῦτα ὑπαγορευθεῖσιν κτλ.

[4]) Libri editi (v. c. edd. Spenc.) et Mss. hoc loco habent: γνῶμα, licet supra Mss. habeant: γνώρισμα. R. — Cfr. pag. 15. not. 5.

στῷ σοφὸς τὸν εἰρμὸν[1]) πάντα ἀποδῴῃ[2]) ἂν τῶν μετ' ἐπικρύψεως εἰρημένων ἐν[3]) ταῖς προφητείαις, πνευματικὰ[4]) πνευματικοῖς συγκρίνων, καὶ κατασκευάζων ἀπὸ τῆς συνηθείας τῶν γραφῶν ἕκαστον τῶν εὑρισκομένων. Οὐ πιστευτέον δὲ τῷ Κέλσῳ λέγοντι »τοιούτων ἀνθρώπων γεγονέναι αὐτήκοον.« Οὐδὲ γὰρ κατὰ τοὺς Κέλσου χρόνους γεγόνασί τινες προφῆται τοῖς ἀρχαίοις παραπλήσιοι· ἐπεὶ κἂν παραπλησίως τοῖς πάλαι γραφεῖσιν ἀνεγράφησαν καὶ ἐξῆς προφητεῖαι ὑπὸ τῶν ἀποδεξαμένων καὶ θαυμασάντων αὐτάς. Δοκεῖ δέ μοι πάντη δῆλον εἶναι τὸ τοῦ Κέλσου ψεῦδος, ὅτι »οἱ δῆθεν προφῆται, ὧν αὐτήκοος[5]) ἐγένετο, ἐλεγχθέντες ὑπὸ Κέλσου, ὡμολόγησαν αὐτῷ οὗ τινος ἐδέοντο· καὶ ὅτι ἐπλάσσοντο λέγοντες ἀλλοπρόσαλλα.« Ἔδει δ' αὐτὸν καὶ ὀνόματα θεῖναι ὧν ἔφασκεν αὐτήκοος γεγονέναι· ἵνα ἐκ τῶν ὀνομάτων, εἴπερ εἶχεν εἰπεῖν, φανῇ τοῖς κρίνειν δυναμένοις, πότερον ἀληθῆ ἢ ψευδῆ ἔλεγεν.

12. Οἴεται δὲ καὶ τοὺς ἀπὸ τῶν προφητῶν ἀπολογουμένους περὶ τῶν κατὰ τὸν Χριστὸν μηδὲν μὲν δύνασθαι πρὸς ἔπος λέγειν, ἐπὰν φαίνεταί τι πονηρὸν, ἢ αἰσχρὸν, ἢ ἀκάθαρτον λεγόμενον περὶ τοῦ θείου, ἢ μιαρόν. Διὸ καὶ, ὡς μηδεμιᾶς οὔσης ἀπολογίας, συνείρει ἑαυτῷ μυρία περὶ τῶν μὴ διδομένων. Εἰδέναι[6]) δὲ χρὴ, ὅτι καὶ οἱ βουλόμενοι κατὰ τὰς θείας ζῆν γραφὰς, καὶ ἐπιστάμενοι, ὅτι »γνῶσις[7]) ἀσυνέτου ἀδιεξέταστοι λόγοι·« καὶ ἀναγνόντες τό· »ἕτοιμοι[8]) ἀεὶ πρὸς

---

[1]) Edd. Spenc. et Ruaei: εἱρμόν.
[2]) Spenc. ad marg. ἀποδοίη.
[3]) Cod. Reg. et Basil. ἐν τοῖς προφήταις.
[4]) Cfr. I Cor. II, 13.
[5]) Spenc. ad marg. αὐτήκους.
[6]) Spenc. ad marg. εἰδέναι χρή.
[7]) Sap. Sirac. XXI, 18. (Ecclesiastic.)
[8]) Cfr. I Petr. III, 15. — Edd. N. T. ὑμᾶς et ὑμῖν.

ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ἡμᾶς λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος·« οὐκ ἐπὶ μόνον τὸ προειρῆσθαι τάδε τινὰ καταφεύγουσιν· ἀλλὰ γὰρ καὶ τὰς δοκούσας ἀπεμφάσεις λύειν πειρῶνται, καὶ δεικνύναι οὐδὲν εἶναι πονηρὸν ἐν τοῖς λόγοις, οὐδ' αἰσχρὸν, οὐδ' ἀκάθαρτον, οὐδὲ μιαρόν· ἀλλὰ τοιοῦτον γίγνεσθαι, ὡς χρὴ ἐκδέχεσθαι τοῖς [1]) συνιεῖσι τὴν θείαν γραφήν. Ἐχρῆν δ' αὐτὸν ἀπὸ τῶν προφητῶν τὸ φαινόμενον ἐν αὐτοῖς πονηρὸν, ἢ τὸ δοκοῦν αὐτῷ αἰσχρὸν, ἢ τὸ νομιζόμενον αὐτῷ ἀκάθαρτον, ἢ ὃ ὑπελάμβανεν εἶναι μιαρὸν, παραθέσθαι, εἴπερ τοιαῦτα ἔβλεπεν ἐν τοῖς προφήταις εἰρημένα· πληκτικώτερος γὰρ ἂν ὁ (340) λόγος αὐτοῦ ἦν, καὶ πρὸς ὃ ἐβούλετο ἀνυστικώτερος·[2]) νυνὶ δὲ οὐ παρέθετο, ἀλλ' ἐπανατεινάμενος[3]) ἀπειλεῖ τοιαῦτα φαίνεσθαι ἐν ταῖς γραφαῖς, καταψευδόμενος αὐτῶν. Πρὸς οὖν κενοὺς[4]) ψόφους ὀνομάτων οὐδεὶς λόγος αἱρεῖ ἀπολογήσασθαι, ὑπὲρ τοῦ δεῖξαι, ὅτι οὐδὲν πονηρὸν, ἢ αἰσχρὸν, ἢ ἀκάθαρτον, ἢ μιαρόν ἐστιν ἐν τοῖς τῶν προφητῶν λόγοις.

13. Ἀλλ' οὐδὲ »ποιεῖ ἢ πάσχει αἴσχιστα ὁ θεὸς, οὐδὲ τῷ κακῷ διακονεῖται,« ὡς οἴεται Κέλσος· οὐδὲ γὰρ προείρηταί τι τῶν τοιούτων, κἂν λέγῃ αὐτὸς προειρῆσθαι. Ἔμελλε[5]) τὸν θεὸν τῷ κακῷ διακονεῖσθαι, ἢ ποιεῖν, ἢ πάσχειν αἴσχιστα, παραθέσθαι τὰς ἀπὸ τῶν προφητῶν εἰς τοῦτο λέξεις· καὶ μὴ μάτην μολύνειν

---

[1]) Codd. Reg. et Basil. τοῖς μὴ συνιεῖσι. R.

[2]) Mss. ἀνυτικώτερος. R.

[3]) Cfr. pag. 13. not. 3.

[4]) Hoeschel. in textu, Spenc. ad marg. καινούς.

[5]) Sic habent omnes Mss. (itemq. edd. Spenc. ad marg.), nec ferenda Spenceri audacia, qui Hoeschelii conjecturam in margine positam, textui suo inseruit hoc modo: Εἰ γὰρ ἔμελλεν ὁ θεὸς τῷ κακῷ διακονεῖσθαι, ἢ ποιεῖν, ἢ πάσχειν αἴσχιστα, ἔδει παραθέσθαι κτλ. R.

ἐθέλειν τοὺς ἀκούοντας αὐτοῦ. Ἃ μὲν οὖν πείσεται Χριστὸς, προεῖπον οἱ προφῆται, καὶ τὴν αἰτίαν τιθέντες τοῦ, δι' ὃ πείσεται· καὶ ὁ θεὸς ἠπίστατο ἅπερ ὁ Χριστὸς αὐτοῦ πείσεται. Πόθεν δ', ὅτι καὶ μιαρώτατα καὶ ἀκαθαρτότατα ταῦτ' ἦν; ὡς φησιν ὁ Κέλσος. Ἀλλὰ δόξει διδάσκειν πῶς μιαρώτατα καὶ ἀκαθαρτότατα ταῦτ' ἄττα ἦν, ἃ καὶ ὑπέμεινεν· ἐπεί φησι· »τί γὰρ ἄλλο ἦν θεῷ τὸ προβάτων σάρκας ἐσθίειν, καὶ χολὴν, ἢ ὄξος πίνειν, πλὴν σκατοφαγεῖν;« Θεὸς δὲ καθ' ἡμᾶς προβάτων σάρκας οὐκ ἤσθιεν. Ἵνα γὰρ καὶ δόξῃ, ὅτι ἤσθιεν· ὡς σῶμα φορῶν, ὁ Ἰησοῦς ἤσθιεν. Ἀλλὰ καὶ περὶ τῆς χολῆς καὶ τοῦ ὄξους προφητευθέντων ἐν τῷ· »ἔδωκαν [1]) εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος·« ἐν τοῖς ἀνωτέρω προειρηκότες ἀναγκαζόμεθα ὑπὸ τοῦ Κέλσου παλιλλογεῖν. Ἀεὶ γὰρ οἱ τῷ τῆς ἀληθείας ἐπιβουλεύοντες λόγῳ, χολὴν τὴν [2]) ἀπὸ τῆς ἑαυτῶν κακίας, καὶ ὄξος τὸ ἀπὸ τῆς ἰδίας ἐπὶ τὰ φαῦλα τροπῆς [3]) προσάγουσι τῷ [4]) Χριστῷ καὶ υἱῷ τοῦ θεοῦ· ὃς »γευσάμενος [5]) οὐ θέλει πιεῖν.«

14. Εἶτα μετὰ ταῦτα, βουλόμενος ἀνατρέπειν τὴν πίστιν τῶν, διὰ τὸ πεπροφητεῦσθαι, παραδεξαμένων τὰ τοῦ Ἰησοῦ, φησί· »Φέρε, ἐὰν προείπωσιν οἱ προφῆται τὸν μέγαν θεὸν, ἵνα μηδὲν ἄλλο φορτικώτερον εἴπω, δουλεύσειν, [6]) ἢ νοσήσειν, ἢ ἀποθανεῖν· τεθνη-

---

[1]) Psalm. LXIX, 21. (LXVIII.)

[2]) Libri editi (v. c. edd. Spenc.) in textu: ἦν ἀπὸ τῆς κτλ., ad marg. vero rectius: τὴν ἀπὸ τῆς κτλ. R.

[3]) Sic Mss. Libri editi (v. c. edd. Spenc.) ῥοπῆς. R.

[4]) Cod. Reg. τῷ Χριστῷ καὶ υἱῷ τοῦ θεοῦ. Cod. Basil. τῷ Χριστῷ τοῦ θεοῦ. Hoeschel. et Spenc. τῷ κυρίῳ τοῦ θεοῦ. R. — Boherellus: »Malim: τῷ Χριστῷ τοῦ θεοῦ.«

[5]) Codd. Reg. et Basil. γευσάμενος οὐκ ἤθελε πιεῖν. R. — Cfr. Matth. XXVII, 34.

[6]) Cfr. lib. huj. num. 15.

ξεσθαι δεήσει τὸν θεὸν, ἢ δουλεύσειν, ἢ νοσήσειν, ἐπειδὴ προείρητο· ἵνα πιστευθῇ ἀποθανὼν ὅτι θεὸς ἦν; Ἀλλ' οὐκ ἂν προείποιεν τοῦτο οἱ προφῆται· κακὸν γάρ ἐστι καὶ ἀνόσιον. Οὐκοῦν οὔτ' εἰ προεῖπον, οὔτ' εἰ μὴ προεῖπον, σκεπτέον· ἀλλ' εἰ τὸ ἔργον ἄξιόν ἐστι θεοῦ, καὶ καλόν. Τῷ δ' αἰσχρῷ καὶ κακῷ, κἂν πάντες ἄνθρωποι μαινόμενοι προλέγειν δοκῶσιν, ἀπιστητέον. Πῶς οὖν τὰ περὶ τούτου, ὡς περὶ θεὸν, πραχθέντα ἐστὶν ὅσια;« Φαίνεται δὴ διὰ τούτων ἰσχυρὸν μέν τι πρὸς πειθὼ τῶν ἀκουόντων ὑπονενοηκέναι τὸ περὶ τοῦ πεπροφητεῦσθαι τὸν Ἰησοῦν κεφάλαιον· ἄλλῳ δὲ πιθανῷ πειρᾶσθαι ἀνατρέπειν τὸν λόγον, φάσκων· »Οὐκοῦν οὔτ' εἰ προεῖπον, οὔτε[1]) εἰ μὴ προεῖπον, σκεπτέον.« Ἐρῶ δ', εἴπερ μὴ παραλογιστικῶς, ἀλλ' ἀποδεικτικῶς ἐβούλετο ἐνστῆναι τῷ λεγομένῳ, εἰπεῖν· »Οὐκοῦν ἀποδεικτέον, ὅτι οὐ (341) προεῖπον· ἢ οὖν, καθὼς προεῖπον, τὰ περὶ τοῦ Χριστοῦ πεπλήρωται ἐν τῷ Ἰησοῦ λεχθέντα·« καὶ ἐπιφέρειν τὴν δοκοῦσαν αὐτῷ ἀπόδειξιν. Οὕτω γὰρ ἐφαίνετο ἄν, τίνα μὲν αἱ προφητεῖαι λέγουσιν ὑφ' ἡμῶν ἀναφερόμενα ἐπὶ τὸν Ἰησοῦν, πῶς δὲ οὗτος ψευδοποιεῖ τὴν ἐκδοχὴν ἡμῶν· καὶ εὑρεθῇ ἄν, πότερον γενναίως ἀνατρέπει τὰ ὑφ' ἡμῶν φερόμενα ἀπὸ τῶν προφητῶν εἰς τὸν περὶ τοῦ Ἰησοῦ λόγον· ἢ ἁλίσκεται ἀναισχύντως βιάζεσθαι θέλων τὴν τῆς ἀληθείας ἐνάργειαν, ὡς οὐκ ἀλήθειαν.

15. Ἐπεὶ δ' ἀδύναταί τινα καὶ ἀπρεπῆ θεῷ καθ' ὑπόθεσιν τιθείς φησιν· »Εἰ ταῦτα προφητεύοιτο περὶ τοῦ ἐπὶ πᾶσι θεοῦ· ἆρ', ἐπεὶ προλέγεται, πιστεύειν[2]) δεῖ τὰ τοιαῦτα περὶ θεοῦ;« καὶ νομίζει κατασκευάζεσθαι, ὅτι, κἂν ἀληθῶς ὦσι προειρηκότες οἱ προφῆται

[1]) Edd. Spenc. οὔτ' εἰ μὴ κτλ.

[2]) Codd. Reg. et Basil. πιστεύειν. Libri editi (v. c. edd. Spenc.) πιστεύεσθαι. R.

περὶ υἱοῦ θεοῦ τοιαῦτα, ἀδύνατον [1]) ἦν αὐτὸν παθεῖν ἢ δράσαι χρῆναι πιστεύειν τοῖς προειρημένοις· λεκτέον, ὅτι ἡ ὑπόθεσις αὐτοῦ ἄτοπος οὖσα ποιήσαι ἂν συνημμένα εἰς τὰ ἀλλήλοις ἀντικείμενα λήγοντα· ὅπερ οὕτω δείκνυται. Εἰ οἱ ἀληθῶς προφῆται τοῦ ἐπὶ πᾶσι θεοῦ δουλεύσειν, [2]) ἢ νοσήσειν ἀεί, ἢ τεθνήξεσθαι φήσουσι [3]) τὸν θεὸν, συμβήσεται ταῦτα περὶ τὸν θεόν· ἀψευδεῖν γὰρ ἀνάγκη τοὺς τοῦ μεγάλου θεοῦ προφήτας. Ἀλλὰ καὶ εἰ οἱ ἀληθῶς προφῆται τοῦ ἐπὶ πᾶσι θεοῦ τὰ αὐτὰ ταῦτά φασιν, ἐπεὶ τὰ τῇ φύσει ἀδύνατα οὐκ ἔστιν ἀληθῆ· οὐκ ἂν συμβαίη περὶ τὸν θεὸν, ἃ λέγουσιν οἱ προφῆται, ἀληθῆ. Ὅταν δὲ δύο συνημμένα λήγῃ εἰς τὰ ἀλλήλοις ἀντικείμενα τῷ καλουμένῳ διὰ δύο τροπικῶν [4])

---

[1]) Boherellus: »Constructio verborum haec est: ἀδύνατον ἦν χρῆναι πιστεύειν τοῖς προειρημένοις αὐτὸν παθεῖν ἢ δράσαι.«

[2]) Edd. Spenc. et Ruaei in textu: δουλεύειν, ἢ νοσεῖν. Bene tamen Ruaeus, Boherello praeeunte, in notis: »Lego: δουλεύσειν, ἢ νοσήσειν.« — Cfr. pag. 19. not. 6. coll. pag. 23. not. 2. et pag. 24. not. 1.

[3]) Hoeschel. et Mss. (itemq. edd. Spenc. ad marg.) habent: φήσομεν. Verum tamen ad marg. Cod. Basil. legitur ex correctione: φήσοιεν, quae lectio videretur praeferenda, si plurium Mss. auctoritate firmaretur. R.

[4]) Edd. Spenc. et Ruaei in textu: προφητικῶν. Jam Boherellus vero in notis: »Lege: τροπικῶν, ut doctissime emendat Henric. Valesius in ep. ad Claudium Sarravium scripta, quam affert Spencerus in Annotationibus ad hunc locum. Τροπικόν autem idem est ac propositio, sive λῆμμα, ut explicat Valesius, qui multa alia habet lectu digna.« Ruaeus in notis: »Lege: διὰ δύο τροπικῶν, ut recte monuit doctissimus Henric. Valesius epist. ad Sarravium. Fallitur Stephanus le Moyne, qui in notis ad varia sacra pag. 498. in hoc Origenis loco τρόπων pro τροπικῶν legere maluit. Τοῦ διὰ δύο τροπικῶν θεωρήματος meminit Sextus Empiricus in lib. II. Pyr-

θεωρήματι, ἀναιρεῖται τὸ ἐν ἀμφοτέροις τοῖς συνημμένοις ἡγούμενον· ὅπερ ἐν τούτοις ἐστὶ τὸ, προλέγειν

---

rhon. Hypotypos. novae edit. Lipsiens. pag. 66. *Ὥσπερ γὰρ ὁ μὴ εἰδὼς εἰ τύχοι, τί ἐστιν τὸ καθ' ὃ περιαιρουμένου, ἢ τὸ διὰ δύο τροπικῶν θεώρημα, οὐδὲ εἰπεῖν τι δύναται περὶ αὐτῶν.*« »»Cum autem, inquit doctissimus Joann. Albert. Fabricius not. in hunc locum, ex Joann. Philopon. in I. priorum Analyticorum constet *τροπικόν* Stoicis dictam esse propositionem connexam in Syllogismo hypothetico, consentaneum est, *διὰ δύο τροπικῶν θεώρημα* esse argumentum, quo bina connexa sibi opponuntur: talia nempe, quae vel ex duobus contrariis antecedentibus idem colligunt consequens hoc modo: Si est A., est B.; et si non est A., est B. Atqui aut est A., aut non est A.; ergo est B. Vel quae ex eodem antecedente duo contraria colligunt consequentia, atque inde antecedens ipsum evertunt.«« »Quid ajebat Celsus? Si prophetae, inquit, praedixerint summum omnium Deum serviturum esse, aut aegrotaturum, aut moriturum: num idcirco necesse erit illum et servire et aegrotare et mori, ut mortuus Deus esse credatur? Sed profecto nec prophetae haec unquam praedixerunt: sunt enim impia et a ratione prorsus aliena. Proinde, non quid prophetae praedixerint, quid minime praedixerint, disquirendum est; sed utrum id, quod praedixerunt, majestati divinae conveniat. Nam si id indecorum ac turpe est; tametsi omnes homines, furore correpti, id praedixerint, fidem nunquam merebitur. Respondet Origenes, in hac Celsi argumentatione deprehendi connexa, quae desinunt in consequentia sibi invicem opposita ac repugnantia hoc modo: Si, inquit, veri prophetae summi Dei praedixerint illum esse serviturum ac moriturum, necessario haec fient, quandoquidem veri sunt prophetae Dei. Rursus, si iidem prophetae ista de Deo pronuntiaverint, non evenient, quippe cum sint naturae divinae contraria. Haec duo sunt connexa, quorum consequentia sibi invicem repugnant, evenient scilicet et non evenient. Quotiescunque autem, ait Origenes,

τοὺς προφήτας τὸν[1]) μέγαν θεὸν δουλεύσειν,[2]) ἢ νοσήσειν, ἢ τεθνήξεσθαι. Συνάγεται οὖν τό· Οὐκ ἄρα

---

in duobus connexis idem est antecedens, sed consequentia sibi invicem repugnant, tunc antecedens, quod commune est in duobus connexis, refelli solet argumentatione illa, quam Stoici διὰ δύο τροπικῶν vocant, et cujus exemplum hoc loco affert.« »»At vero, inquit doctissimus Valesius, haec Origenis responsio subtilior videtur esse, quam verior; neque enim Celsus ita argumentabatur, ut vult Origenes: sed hoc ajebat Celsus, non esse attendendum, an prophetae aliquid de Deo praedixerint, an non: sed illud praecipue inquiri oportere, utrum honesta et pia, et quae conveniant majestati divinae, ab iis pronuntiata sint: sin minus, eorum praedictiones nihilo pluris esse faciendas, quam furiosorum hominum sermones. Quae quidem argumentatio validissima est ad convellendam fidem Christianorum de Christo, quae vaticiniis prophetarum praecipue nitebatur. Hoc igitur probare debebat Origenes, et omnes ingenii nervos eo intendere, ut demonstraret, quaecunque a prophetis nostris de Christo essent pronuntiata, pia esse, ac honesta, nec a ratione, nec a majestate divina abhorrere.«« »Atqui, pace tanti viri dixerim, id ab Origene praestitum est, si quidem num. 13. 16. et 17. declarat ea omnia, quae, licet prophetis praedicta, Celsus Deo indigna existimabat, non utique Jesum, quatenus Deus, sed quatenus homo erat, pertulisse; ac proinde nihil, quod Deo minime conveniat, fuisse a prophetis praedictum, tanquam Deo eventurum. Ceterum verisimile est, Stoicos etiam habuisse argumenti genus, quod διὰ τριῶν τροπικῶν appellarunt, non modo quia in Galeni loco lib. 2. de dogmatibus Hippocratis, et Platon. Tom. I. ed. Graec. Basil. pag. 254. vers. ultimo videtur legendum: νυνὶ δὲ πῶς μὲν οἱ διὰ δύο τροπικῶν ἢ τριῶν ἀναλύονται συλλογισμοί, licet Valesius

[1]) Ed. Ruaei: τὸ μέγαν κτλ.

[2]) Edd. Spenc. et Ruaei hoc loco, ut nos in textu. Cfr. pag. 21. not. 2.

προεῖπον οἱ προφῆται τὸν μέγαν θεὸν δουλεύσειν,[1]) ἢ νοσήσειν, ἢ τεθνήξεσθαι· καὶ ὑπάγεταί γε ὁ λόγος τρόπῳ τοιούτῳ· Εἰ τὸ πρῶτον, καὶ τὸ δεύτερον· εἰ[2]) οὐ τὸ πρῶτον, οὐ τὸ δεύτερον· οὐκ ἄρα τὸ πρῶτον. Φέρουσι δὲ καὶ ἐπὶ[3]) ὕλης τὸν[4]) τρόπον τοῦτον οἱ ἀπὸ τῆς Στοᾶς, λέγοντες[5]) τό· εἰ ἐπίστασαι, ὅτι τέθνηκας, τέθνηκας. Εἰ ἐπίστασαι, ὅτι τέθνηκας, οὐ τέθνηκας. Καὶ[6]) ἀκολουθεῖ τό· Οὐκ ἄρα ἐπίστασαι, ὅτι τέθνηκας. Τὸν τρόπον δὲ τοῦτον κατασκευάζουσι τὰ συνημμένα· Εἰ ἐπίστασαι, ὅτι τέθνηκας, ἔστιν ὃ ἐπί-

---

vocabulum τριῶν jubet delere, sed etiam Laërtius VII. 191. inter Chrysippi scripta memorat librum περὶ τοῦ διὰ τριῶν. Vide Sarravii epistolam, qua Valesio respondet. Exstat inter ejus epistolas Arausioni ann. 1654. editas pag. 184.« — Cfr. Excurs. XI. ad calcem Tomi hujus appositus.

[1]) Edd. Spenc. et Ruaei hoc quoque loco, ut nos in textu. Cfr. pag. 23. not. 2. coll. pag. 21. not. 2.

[2]) Valesius expungit primo loco particulam negantem, et legit: εἰ τὸ πρῶτον, οὐ τὸ δεύτερον. R. — Cfr. Excurs. XI.

[3]) Boherellus; »Verba: ἐπὶ ὕλης Valesius explicat: *In rebus ipsis.* Vulgo etiam dicunt: *Hac in materia.*« — Cfr. Excurs. XI.

[4]) Valesius legit: τὸν τύπον. — Cfr. Excurs. XI.

[5]) Edd. Spenc. et Ruaei in textu, illae: λέγοντες τό· εἰ ἐπίστασαι, ὅτι τέθνηκας, οὐ τέθνηκας· ἀκολουθεῖ κτλ., haec: λέγοντες τό· εἰ ἐπίστασαι, ὅτι τέθνηκας· ἀκολουθεῖ κτλ. Jam Boherellus vero, quem Ruaeus totus sequitur, in notis: »Deest alterum e Connexis, monente Valesio. Sic igitur restitue: Εἰ ἐπίστασαι, ὅτι τέθνηκας, τέθνηκας· εἰ ἐπίστασαι, ὅτι τέθνηκας, οὐ τέθνηκας.«

[6]) Boherellus: »Velim praeponi καί, ut paulo infra.« — De partic. καί in edd. Spenc. et Ruaei omissa cfr. pag. huj. not. 5.

σιασαι· ἔστιν ἄρα τό· τέθνηκας. Καὶ πάλιν· Εἰ ἐπίστασαι, ὅτι οὐ[1] τέθνηκας, καὶ ἔστιν ὃ ἐπίστασαι· οὐ τέθνηκας. Ἐπεὶ δὲ ὁ τεθνηκὼς[2] οὐδὲν ἐπίσταται· δηλονότι εἰ ἐπίστασαι, ὅτι τέθνηκας, οὐ τέθνηκας. Καὶ[3] ἀκολουθεῖ, ὡς προεῖπον, ἀμφοτέροις τοῖς συνημμένοις τό· Οὐκ ἄρα ἐπίστασαι, ὅτι τέθνηκας. Τοιοῦτόν τί ἐστι καὶ περὶ τὴν Κέλσου ὑπόθεσιν, λέγοντος ἣν προεξεθέμεθα λέξιν.

16. Ἀλλ' οὐδ' ἅπερ ἐν[4] ὑποθέσει παρειλήφαμεν,[5] παραπλήσιά ἐστι ταῖς περὶ Ἰησοῦ προφητείαις. Οὐ γὰρ (342) προεῖπον αἱ προφητεῖαι θεὸν σταυρωθήσεσθαι, αἵ τινές φασι περὶ τοῦ ἀναδεξαμένου τὸν θάνατον· »καὶ[6] εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἄνθρωπος ἐν πληγῇ ὢν καὶ πόνῳ, καὶ εἰδὼς φέρειν μαλακίαν.« Ὅρα[7] οὖν ὡς σαφῶς ἄνθρωπον εἰρήκασι τὸν πεπονθότα ἀνθρώπινα. Καὶ αὐτὸς ἀκριβῶς εἰδὼς Ἰησοῦς, ὅτι τὸ ἀποθνῆσκον

---

[1]) Boherellus, quem Ruaeus sequitur, in notis: »Bene Valesius delet οὐ. Sequentia vero: καὶ ἔστιν ὃ ἐπίστασαι· οὐ τέθνηκας, sic corrigit: ἐπίστασαι, ὅτι τέθνηκας. At ego pro istis: καὶ ἔστιν ὅ, quae Valesius omnino delet, haec reponenda putem: τοῦτο ἄρα. Ut sit: τοῦτο ἄρα ἐπίστασαι, ὅτι τέθνηκας.«

[2]) Edd. Spenc. et Ruaei in textu: τεθνηκὼς ἐπίσταται. Jam Boherell. vero, quem Ruaeus sequitur, in notis: »Bene Valesius: τεθνηκὼς οὐδὲν ἐπίσταται.«

[3]) Cfr. pag. 24. not. 6.

[4]) Hoeschel. in textu, Spenc. ad marg. ἐν ὑποθέσεσι.

[5]) Boherellus: »Lege: παρειλήφε.«

[6]) Cfr. Jesai. LIII, 2. 3.

[7]) Edd. Spenc. et Ruaei in textu: Ὅρα οὖν, σαφῶς κτλ. Ed. vero Ruaei in notis: »Lege cum Boherello: Ὅρα ὡς σαφῶς κτλ., vel cum Guieto: Ὅρα οὖν πῶς σαφῶς« κτλ.

ἄνθρωπος ἦν, φησὶ πρὸς τοὺς ἐπιβουλεύοντας αὐτῷ· »νῦν[1]) δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ[2]) τοῦ θεοῦ.« Εἰ δέ τι θεῖον ἐν τῷ καὶ αὐτὸν νοουμένῳ ἀνθρώπῳ ἐτύγχανεν, ὅπερ ἦν ὁ μονογενὴς[3]) τοῦ θεοῦ, καὶ »ὁ πρωτότοκος[4]) πάσης κτίσεως,« ὁ λέγων »ἐγώ[5]) εἰμι ἡ ἀλήθεια,« καὶ »ἐγώ[6]) εἰμι ἡ ζωή,« καὶ »ἐγώ[7]) εἰμι ἡ θύρα,« καὶ »ἐγώ[8]) εἰμι ἡ ὁδός,« καί· »ἐγώ[9]) εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς·« ἄλλος δήπου ὁ περὶ τούτου καὶ τῆς οὐσίας αὐτοῦ λόγος ἐστὶ, παρὰ τὸν περὶ τοῦ νοουμένου κατὰ τὸν Ἰησοῦν ἄνθρωπον. Διόπερ οὐδ' οἱ πάνυ ἁπλούστατοι, καὶ λόγοις οὐκ ἐντεθραμμένοι ἐξεταστικοῖς Χριστιανοὶ εἴποιεν ἂν τεθνηκέναι τὴν ἀλήθειαν, ἢ τὴν ζωὴν, ἢ τὴν ὁδὸν, ἢ τὸν ἐξ οὐρανοῦ καταβάντα ζῶντα ἄρτον, ἢ τὴν ἀνάστασιν· φησὶ γὰρ ἑαυτὸν ἀνάστασιν εἶναι ὁ ἐν τῷ φαινομένῳ ἀνθρώπῳ κατὰ τὸν Ἰησοῦν διδάξας τό· »ἐγώ[10]) εἰμι ἡ ἀνάστασις.« Ἀλλὰ καὶ οὐδεὶς οὕτως[11]) ἐμβρόντητος ἡμῶν ἐστιν, ἵν' εἴπῃ· τέθνηκεν ἡ ζωή· ἢ· τέθνηκεν ἡ ἀνάστασις. Ἦν δ' ἂν τὸ τῆς ὑποθέσεως τοῦ Κέλσου χώραν ἔχον, εἰ ἐφάσκομεν προειρηκέναι τοὺς προφήτας τεθνηξεσθαι τὸν θεὸν λόγον, ἢ τὴν ἀλήθειαν, ἢ τὴν ζωὴν, ἢ τὴν ἀνάστασιν, ἤ τι τῶν ἄλλων, ἃ φησιν εἶναι ὁ υἱὸς τοῦ θεοῦ.

17. Ἀληθεύει οὖν ἐν μόνῳ κατὰ τὸν τόπον ὁ Κέλ-

---

[1]) Ev. Joann. VIII, 40.
[2]) Hoeschel. in textu, Spenc. in marg. ἀπὸ τοῦ θεοῦ.
[3]) Cfr. ev. Joann. I, 14.
[4]) Coloss. I, 15. [5]) Ev. Joann. XIV, 6.
[6]) Ev. Joann. XIV, 6. [7]) Ev. Joann. X, 9.
[8]) Ev. Joann. XIV, 6.
[9]) Ev. Joann. VI, 51. coll. 50.
[10]) Ev. Joann. XI, 25.
[11]) Uncis inclusum legitur οὕτως in edd. Spenc.

σος τῷ· »Ἀλλ' οὐκ ἂν προείποιεν τοῦτο οἱ προφῆται· κακὸν γάρ ἐστι καὶ ἀνόσιον.« Τί δὲ τοῦτο ἢ ὅτι ὁ μέγας θεὸς δουλεύσει, ἢ τεθνήξεται; Ἄξιον δὲ θεοῦ [1]) ἐστι τὸ προφητευθὲν ὑπὸ τῶν προφητῶν, ὅτι τῆς θείας φύσεως ἀπαύγασμα καὶ χαρακτὴρ τις ἐνανθρωπούσῃ [2]) ψυχῇ ἱερᾷ τῇ τοῦ Ἰησοῦ συνεπιδημήσει τῷ βίῳ, ἵνα σπείρῃ λόγον οἰκειοῦντα τῷ τῶν ὅλων θεῷ τὸν παραδεξάμενον [3]) αὐτὸν εἰς τὴν ἑαυτοῦ ψυχὴν καὶ γεωργήσαντα, καὶ ἐπὶ τέλος ἀγαγόντα πάντα, [4]) οὗ τὴν δύναμιν ἐν ἑαυτῷ ἔχει τοῦ ἐν ἀνθρώπου σώματι καὶ ψυχῇ ἐσομένου θεοῦ λόγου. Οὕτω [5]) δ' ἔσται, ὡς μὴ ἀποκεκλεῖσθαι τὰς αὐγὰς αὐτοῦ ἐν ἐκείνῳ μόνῳ, μηδ' [6]) ὀνομάζεσθαι, ὅτι οὐδαμοῦ ἀλλαχοῦ ἐστι τὸ τῶν αὐγῶν τούτων παρεκτικὸν φῶς, θεὸς λόγος ὤν. Τὰ περὶ τὸν Ἰησοῦν τοίνυν, καθὸ μὲν νενόηται θεότητι ἐν αὐτῷ

---

[1]) Edd. Spenc. θεοῦ τὸ προφητευθέν ἐστι ὑπὸ τῶν κτλ.

[2]) Mallet Guietus: ἐνανθρωπῶν. R.

[3]) Mallet Guietus: παραδεξόμενον αὐτὸν εἰς τὴν ἑαυτοῦ ψυχὴν, καὶ γεωργήσοντα, καὶ ἐπὶ τέλος ἄξοντα. Boherello nihil mutandum videtur, sed ista verba: καὶ ἐπὶ τέλος ἀγαγόντα explicanda putat ex Hebr. II, 10. ut jungantur cum λόγον οἰκειοῦντα, non vero cum γεωργήσαντα. R.

[4]) Ad oram libror. editorum (v. c. edd. Spenc.) scribitur: παντός. Lego cum Boherello: πάντα ὅς. Guietus autem legi vult: πᾶν τὸ οὗ τὴν δύναμιν ἐν ἑαυτῷ ἔχει ὁ ἐν ἀνθρώπου σώματι καὶ ψυχῇ ἐσόμενος θεοῦ λόγος. R.

[5]) Dubitat Guietus, an non scribendum sit: Οὕτω δ' ἔσται τῷ μὴ ἀποκεκλεῖσθαι τὰς αὐγὰς αὐτοῦ ἐν ἐκείνῳ μόνῳ· μηδὲ νομίζεσθαι, ὅτι οὐδαμοῦ ἀλλαχοῦ ἐστι τὸ τῶν αὐγῶν τούτων παρεκτικὸν φῶς, θεὸς λόγος ὤν. Τὰ περὶ τὸν Ἰησοῦν τοίνυν, καθ' ὃ μὲν νενόηται θεότητι ἐν αὐτῷ πραχθέντα, ἐστὶν ὅσια, καί κτλ. R.

[6]) Sic Hoeschel. in textu (Spenc. ad marg.), et omnes Mss. Spencerus vero Hoeschelianam conjecturam, quae erat in margine, textui suo inseruit: μηδὲ νομίζεσθαι. R.

πραχθέντα, ἐστὶν ὅσια, καὶ οὐ μαχόμενα τῇ περὶ τοῦ θείου ἐννοίᾳ· καθὸ δὲ ἄνθρωπος ἦν, παντὸς μᾶλλον ἀνθρώπου κεκοσμημένος τῇ ἄκρᾳ μετοχῇ τοῦ αὐτολόγου, (343) καὶ τῆς αὐτοσοφίας, ὑπέμεινεν, ὡς σοφὸς καὶ τέλειος, ἅπερ ἐχρῆν ὑπομεῖναι τὸν ὑπὲρ παντὸς τοῦ γένους τῶν ἀνθρώπων, ἢ [1]) καὶ τῶν λογικῶν, πάντα πράττοντα. Καὶ οὐδὲν ἄτοπον, καὶ ἀποτεθνηκέναι τὸν ἄνθρωπον, καὶ τὸν θάνατον αὐτοῦ οὐ μόνον παράδειγμα ἐκκεῖσθαι τοῦ ὑπὲρ εὐσεβείας ἀποθνήσκειν, ἀλλὰ γὰρ καὶ εἰργάσθαι ἀρχὴν καὶ προκοπὴν τῆς καταλύσεως τοῦ πονηροῦ καὶ διαβόλου, πᾶσαν τὴν γῆν νενεμημένου. Σημεῖα δὲ τῆς καθαιρέσεώς εἰσιν αὐτοῦ οἱ διὰ τὴν ἐπιδημίαν Ἰησοῦ πανταχόθεν φυγόντες μὲν τοὺς κατέχοντας αὐτοὺς δαίμονας· διὰ δὲ τοῦ ἠλευθερῶσθαι ἀπὸ τῆς ὑπ' ἐκείνους δουλείας, ἀνατιθέντες ἑαυτοὺς τῷ θεῷ καὶ τῇ, κατὰ τὸ δυνατὸν αὐτοῖς, καθαρωτέρᾳ ὁσημέραι εἰς αὐτὸν εὐσεβείᾳ.

18. Ἐξῆς δὲ τούτοις τοιαῦτά φησιν ὁ Κέλσος· »Ἐκεῖνο δ' οὐκ ἐνθυμηθήσονται πάλιν; Εἰ προεῖπον οἱ τοῦ Ἰουδαίων θεοῦ προφῆται, τοῦτον ἐκείνου παῖδα ἐσόμενον, πῶς ἐκεῖνος μὲν διὰ Μωϋσέως νομοθετεῖ πλουτεῖν, καὶ δυναστεύειν, καὶ καταπιμπλάναι τὴν γῆν, καὶ καταφονεύειν τοὺς πολεμίους ἡβηδὸν, καὶ παγγενεὶ κτείνειν, ὅπερ καὶ αὐτὸς ἐν ὀφθαλμοῖς τῶν Ἰουδαίων, ὥς φησι Μωϋσῆς, ποιεῖ, καὶ πρὸς ταῦτα, ἂν μὴ πείθωνται, διαῤῥήδην αὐτοὺς τὰ τῶν πολεμίων δράσειν, ἀπειλεῖ· ὁ δ' υἱὸς ἆρα αὐτοῦ, ὁ Ναζωραῖος ἄνθρωπος, ἀντινομοθετεῖ, μηδὲ παριτητὸν εἶναι πρὸς τὸν πατέρα τῷ πλουτοῦντι, ἢ φιλαρχιῶντι, ἢ σοφίας ἢ δόξης ἀντιποιουμένῳ· δεῖν δὲ σίτων μὲν καὶ ταμείου μὴ μᾶλλόν τι φροντίζειν ἢ τοὺς κόρακας, [2]) ἐσθῆτος δὲ ἧττον ἢ τὰ

---

[1]) Vide Huetium lib. II. Origenianor. quaest. III. num. XX. seqq.

[2]) Cfr. Luc. XII, 24.

κρίνα· τῷ δ' ἅπαξ τυπτήσαντι [1]) παρέχειν καὶ αὖθις τύπτειν; Πότερον Μωσῆς ἢ Ἰησοῦς ψεύδεται; ἢ ὁ πατὴρ, τοῦτον πέμπων, ἐπελάθετο τίνα Μωϋσῆ διετάξατο; [2]) ἢ καταγνοὺς τῶν ἰδίων νόμων μετέγνω, καὶ τὸν ἄγγελον [3]) ἐπὶ τοῖς ἐναντίοις ἀποστέλλει; « Πέπονθε δὴ διὰ τούτων Κέλσος πρᾶγμα, ὁ πάντ' ἐπίστασθαι ἐπαγγελλόμενος, ἰδιωτικώτατον, περὶ τοῦ νοῦ τῶν γραφῶν οἰηθεὶς πλέον τῶν κατὰ τὸ γράμμα λέξεων μηδένα λόγον εἶναι βαθύτερον ἐν τῷ νόμῳ καὶ τοῖς προφήταις· οὐχ ὁρῶν, ὅτι οὐκ ἂν οὕτω προφανῶς ἀπιθάνως τὸν σωματικὸν ἐπηγγέλλετο [4]) πλοῦτον τοῖς ὀρθῶς βιώσασιν ὁ λόγος, δεικνυμένων δικαιοτάτων ἐν ἄκρᾳ πενίᾳ βεβιωκέναι. Οἱ γοῦν προφῆται, καὶ διὰ τὸ καθαρῶς βεβιωκέναι τὸ θεῖον πνεῦμα χωρήσαντες, περιῆλθον [5]) »ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς·« » πολλαὶ [6]) γὰρ αἱ θλίψεις τῶν δικαίων·« καιὰ τὸν ὑμνωδόν. Εἴπερ δὲ ἀνέγνω τὸν Μωϋσέως νόμον ὁ Κέλσος, εἰκὸς, ὅτι τό· »δανειεῖς [7]) ἔθνεσι πολλοῖς, σὺ δὲ οὐ [8]) δανειῇ·« λεγόμενον πρὸς τὸν τηροῦντα τὸν νόμον, ᾠήθη τοιοῦτον εἶναι, (344) ὥστ' ἐν ἐπαγγελίᾳ λέγεσθαι τῷ δικαίῳ, τοσοῦτον πλουτήσειν τὸν τυφλὸν

---

[1]) Cfr. Luc. VI, 29.

[2]) Libri editi (v. c. edd. Spenc.) hoc loco habent: *διελέξατο*. At legendum esse (duce Boherell.) *διετάξατο*, patet ex hujus libri num. 25. R.

[3]) Edd. Spenc. ἄγγελον καὶ ἐπὶ τοῖς κτλ. Jam Boherell. vero: »Dele *καί* ex lib. huj. num. 25.«

[4]) Ad oram libror. editor. (v. c. edd. Spenc.) legitur: *ἀπηγγέλλετο*. R.

[5]) Cfr. Hebr. XI, 37. 38.

[6]) Psalm. XXXIV, 20. (XXXIII.)

[7]) Deut. XV, 6. coll. XXVIII, 12.

[8]) Mallet Guietus: *οὐ δανιῇ*. R.

πλοῦτον, ὥστε, διὰ τὸ πλῆθος τῶν χρημάτων, οὐ μόνον Ἰουδαίοις δανείζειν τὸν δίκαιον, ἀλλ' οὐδ' ἄλλων ἑνὶ ἔθνει, ἢ δευτέρῳ, ἢ τρίτῳ, ἀλλὰ πολλοῖς. Πόσα οὖν ὁ δίκαιος ἐκέκτητο χρήματα, μισθὸν τῆς δικαιοσύνης αὐτὰ κατὰ τὸν νόμον λαβών, ἵνα δανείζῃ[1]) πολλοῖς ἔθνεσιν; Ἀκόλουθον δ' ἐστὶ τῇ τοιαύτῃ ἐκδοχῇ καὶ τὸ ὑπολαμβάνειν, ὅτι οὐδέ ποτε ὁ δίκαιος δανείζεται· ἐπεὶ γέγραπται· »σὺ[2]) δὲ οὐ δανειῇ.« Ἆρ οὖν ἔμεινε τὸ ἔθνος τοσούτοις χρόνοις ἐν τῇ κατὰ Μωϋσέα θεοσεβείᾳ, προφανῶς βλέπον ψευδόμενον, ὅσον ἐπὶ τῷ Κέλσῳ, τὸν νομοθέτην; Οὐδὲ γὰρ ἱστόρηταί τις τοσοῦτον πλουτήσας, ὡς δεδανεικέναι ἔθνεσι πολλοῖς. Ἀλλ' οὐ πιθανὸν, οὕτως αὐτοὺς διδασκομένους ἀκούειν τοῦ νόμου, ὡς Κέλσος ᾤετο, καὶ προφανῶς βλέποντας ψευδεῖς τὰς κατὰ τὸν νόμον ἐπαγγελίας ἀγωνίζεσθαι περὶ τοῦ νόμου. Ἐὰν δὲ τὰς ἀναγεγραμμένας τις ἁμαρτίας τοῦ λαοῦ φέρῃ παράδειγμα τοῦ καταπεφρονηκέναι αὐτοὺς τοῦ νόμου, τάχα διὰ τὸ κατεγνωκέναι αὐτοὺς[3]) ὡς ψευδομένου· λεκτέον πρὸς αὐτὸν, ὅτι ἀναγνωστέον καὶ τοὺς χρόνους, ἐν οἷς ὅλος ὁ λαὸς ἀναγέγραπται, μετὰ τὸ πεποιηκέναι τὸ πονηρὸν ἐνώπιον κυρίου, ἐπὶ τὸ βέλτιον καὶ τὴν κατὰ τὸν νόμον θεοσέβειαν μεταβεβληκέναι.

19. Ἀλλὰ καὶ, εἴπερ δυναστεύειν αὐτοῖς ὁ νόμος[4]) ἐπηγγέλλετο, λέγων· »ἄρξεις[5]) σὺ δὲ ἐθνῶν πολλῶν, σοῦ δὲ οὐκ ἄρξουσι·« καὶ μηδὲν δηλοῦται διὰ τούτων βαθύτερον· δῆλον, ὅτι πολλῷ πλέον κατεγίνωσκεν ὁ

---

[1]) Cod. Julian. (itemq. Boherell.) δανείζῃ. Codd. Reg. et Basil. δανειῇ. Libri editi (v. c. edd. Spenc.) δανείζει. R. — Hoeschel. in notis: »Cod. Palat. δανειῇ.«

[2]) Deut. XV, 6. coll. XXVIII, 12. et XXIII, 19.

[3]) Boherellus, quocum Ruaeus totus facit: »Malim: αὐτοῦ ὡς ψευδομένου.«

[4]) Hoeschel. in textu, Spenc. ad marg. λόγος.

[5]) Cfr. Deut. XV, 6. coll. XXVIII, 12.

λαὸς τῶν κατὰ τὸν νόμον ἐπαγγελιῶν. Παραφράζει δέ τινας λέξεις ὁ Κέλσος, ἐμφαινούσας πληρωθήσεσθαι πᾶσαν τὴν γῆν διὰ τοῦ Ἑβραϊκοῦ σπέρματος· ὅπερ ὡς πρὸς τὴν ἱστορίαν, μηνίοντος,[1]) ἵν' οὕτως ὀνομάσω, τοῦ θεοῦ, γεγένηται μετὰ τὴν Ἰησοῦ ἐπιδημίαν, ἥπερ[2]) εὐλογίας ἀποδιδόντος. Ἀλλὰ καὶ περὶ τοῦ ἐν ἐπαγγελίᾳ εἰρῆσθαι Ἰουδαίοις καταφρονεύειν τους πολεμίους λεκτέον, ὅτι[3]) εἴ τις ἀναλέγοιτο καὶ προσέχοι ἐπιμελῶς ταῖς λέξεσιν, εὕροι ἂν ἀδύνατον εἶναι τὴν ὡς πρὸς τὸ ῥητὸν ἐκδοχήν. Ἀρκεῖ δ' ἐπὶ τοῦ παρόντος ἀπὸ τῶν ψαλμῶν παραθέσθαι, τίνα τρόπον ὁ δίκαιος εἰσάγεται λέγων πρὸς ἑτέρους καὶ τό· »εἰς[4]) τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.« Πρόσχες δὴ τῷ ῥητῷ καὶ τῇ διαθέσει τοῦ λέγοντος, εἰ ἐδύκατο ἀνδραγαθήματα προδιηγησάμενος, ἅπερ ἔκκειται τῷ βουλομένῳ ἀναγινώσκειν, ἐπιφέρειν τὸ ὡς πρὸς τὴν λέξιν δυνατὸν, ὅτι οὐκ ἄλλῳ καιρῷ τῆς ἡμέρας, ἢ τῷ ἑωθινῷ, ἀνῄρει πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, ὡς μηδένα καταλιπεῖν αὐτῶν ζῶντα· καὶ εἰ ἐξωλόθρευεν (345) ἀπὸ τῆς Ἱερουσαλὴμ πάνθ' ὁντινοῦν ἄνθρωπον ἐργαζόμενον τὴν ἀνομίαν. Πολλὰ δ' ἂν εὕροις καὶ ἐν τῷ νόμῳ τοιαῦτα, ὡς τό· »οὐ[5]) κατελίπομεν αὐτῶν ζωγρίαν.«

---

[1]) Hoeschel. in textu (Spenc. ad marg.) male: *μηνύοντος*. Praeterea ibidem aut addendum, aut subaudiendum est: *μᾶλλον*. R.

[2]) Boherellus: »Subaudi: *μᾶλλον*, ut (edd. Spenc.) pag. 360. 416. et pag. 419., et junge cum *μηνίοντος*. Vide Luc. XV, 7. XVII, 2. XVIII, 14. et I Cor. XIV. 19. Sic Homerus Iliad. I, 117. et passim. Exempla e Latinis etiam anctoribus affert Lipsius epistolicar. quaestionum lib. V. epist. 23.« — Cfr. pag. huj. not. 1.

[3]) Deest *ὅτι* in edd. Spenc.

[4]) Cfr. Psalm. CI, 8. (C.)

[5]) Cfr. Deut. II, 34. coll. Num. XXI, 35.

20. *Φέρει δ' ὁ Κέλσος καὶ τὸ προειρῆσθαι αὐτοῖς, μὴ πειθομένοις τῷ νόμῳ, τὰ αὐτὰ πείσεσθαι, ἅπερ ἔδρων τοὺς πολεμίους. Καὶ πρὶν ἄν τι παραπιθεὶς τούτοις ὁ Κέλσος χρήσηται οἷς νομίζει ἐναντιώμασι πρὸς τὸν νόμον ἀπὸ τῆς Χριστοῦ διδασκαλίας, λεκτέον περὶ τῶν προειρημένων. Φαμὲν τοίνυν, ὅτι ὁ νόμος διττός*[1] *ἐστιν· ὁ μέν τις πρὸς ῥητὸν, ὁ δὲ πρὸς διάνοιαν, ὡς καὶ τῶν*[2] *πρὸ ἡμῶν τινες ἐδίδαξαν. Καὶ ὁ μὲν πρὸς τὸ ῥητὸν οὐ τοσοῦτον ὑφ' ἡμῶν, ὅσον ὑπὸ τοῦ ἔν τινι τῶν προφητῶν λέγοντος θεοῦ, εἴρηται εἶναι »δικαιώματα*[3] *οὐ καλὰ, καὶ προστάγματα οὐ καλά·« ὁ δὲ πρὸς διάνοιαν, κατὰ τὸν αὐτὸν προφήτην, ἐκ προσώπου τοῦ θεοῦ λέγεται*[4] *εἶναι »δικαιώματα καλὰ, καὶ προστάγματα καλά.« Οὐ γὰρ προφανῶς ἐναντία λέγει ὁ προφήτης ἐν ταὐτῷ. Ὡι ἀκολούθως καὶ ὁ Παῦλος τὸ μὲν γράμμα εἶπεν ἀποκτείνειν,*[5] *ὅπερ ἴσόν ἐστι τῷ*[6] *τὸ ῥητόν· τὸ δὲ πνεῦμα ζωοποιεῖν,*[7] *ὅπερ*

---

[1]) Hoeschel. in notis: Philo lib. *περὶ ἀποικίας*. Clem. Alex. Strom. VI. Nazianz. Apologetico et Carm. *εἰς τὴν νόσον* vers. 138. Epiphan. lib. I. contra Ptolemait. Jobius apud Photium pag. 323. Quod Maximus Mart. in genere de omni affirmat scriptura sacra, cum inquit: *Αἱ θεόπνευστοι γραφαὶ νοῦν πνευματικὸν ἔχουσιν, ἀποκεκρυμμένον ἐν τῷ πάχει, λανθάνοντα τοὺς πολλούς· τύποι γάρ εἰσι καὶ εἰκόνες τὰ ἀναγεγραμμένα τινῶν θειοτέρων καὶ μυστικωτέρων.* Cod. Mscr. Bibl. Aug.

[2]) Ita recte Codd. Vaticanus, Regius, Basileensis et Anglicanus secundus. Alii vero (itemq. edd. Spenc.) *τῶν προειρημένων τινές*. R. — Boherellus: »Lege: *τῶν προειρημένων τινά*.«

[3]) Cfr. Ezech. XX, 25. [4]) Cfr. Ezech. XX, 21.

[5]) Cfr. II Cor. III, 6.

[6]) Boherellus: »Lego: *τῷ πρὸς τὸ ῥητόν*.«

[7]) Cfr. II Cor. III, 6.

ἰσοδυναμεῖ τῷ πρὸς διάνοιαν. Ἔστι γοῦν παρὰ τῷ Παύλῳ ἀνάλογόν τι εὑρεῖν τοῖς νομισθεῖσιν ἂν ἐναντιώμασι κατὰ τὸν προφήτην. Ὡς γὰρ ὅπου μὲν Ἰεζεκιὴλ λέγει· »ἔδωκα [1]) αὐτοῖς δικαιώματα οὐ καλὰ, καὶ προστάγματα οὐ καλὰ, ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς·« ὅπου δέ· »ἔδωκα [2]) αὐτοῖς δικαιώματα καλὰ, καὶ προστάγματα καλὰ, ἐν οἷς ζήσονται ἐν αὐτοῖς·« ἤτοι ἰσοδυναμοῦν γε τούτοις· οὕτω καὶ ὁ Παῦλος, ὅπου μὲν τὸ τοῦ νομικοῦ γράμματος διαβαλεῖν θέλει, φησίν· »εἰ [3]) δὲ ἡ διακονία τοῦ θανάτου ἐν [4]) γράμμασιν ἐντετυπωμένη ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως, διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην· πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ;« Ὅπου δὲ θαυμάζει τὸν νόμον, καὶ ἀποδέχεται, πνευματικὸν αὐτὸν ὀνομάζει, λέγων· »οἴδαμεν [5]) δ᾽ ὅτι ὁ νόμος πνευματικός ἐστιν·« ἀποδέχεται δὲ ἐν τῷ· »ὥστε [6]) ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή.«

21. Ἐὰν οὖν ἡ λέξις τοῦ νόμου πλοῦτον ἐπαγγέλλεται τοῖς δικαίοις, Κέλσος μὲν κατὰ τὸ ἀποκτεῖνον γράμμα νομιζέτω τὸν τυφλὸν πλοῦτον λέγεσθαι ἐν ἐπαγγελίᾳ· ἡμεῖς δὲ τὸν ὀξὺ βλέποντα, καθὸ πλουτεῖ τις »ἐν [7]) παντὶ λόγῳ καὶ πάσῃ γνώσει·« καὶ καθὸ »παραγγέλλομεν [8]) τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι, μὴ ὑψηλὰ φρονεῖν, μηδ᾽ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ᾽ ἐν [9]) τῷ θεῷ τῷ ζῶντι, τῷ παρέχοντι πάντα πλουσίως εἰς

---

[1]) Cfr. Ezech. XX, 25.
[2]) Cfr. Ezech. XX, 21. [3]) II Cor. III, 7. 8.
[4]) Uncis inclusum legitur ἐν in edd. Spenc.
[5]) Cfr. Rom. VII, 14. [6]) Rom. VII, 12.
[7]) Cfr. I Cor. I, 5. [8]) Cfr. I Tim. VI, 17. 18.
[9]) Codd. Reg. et Basil. (edd. Spenc. ad marg.) ἐπὶ τῷ θεῷ τῷ παρέχοντι, omisso τῷ ζῶντι. R.

ἀπόλαυσιν· ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις ἀγαθοῖς, εὐμεταδότους εἶναι, (346) κοινωνικούς.« Καὶ γὰρ »ὁ [1]) ἐν ἀληθινοῖς ἀγαθοῖς πλοῦτος, λύτρον ἐστὶν ἀνδρὸς ψυχῆς,« κατὰ τὸν Σολομῶντα· ἡ δ' ἐναντία τούτῳ πτωχεία ὀλέθριον, δι' ἣν »ὁ [2]) πτωχὸς οὐχ ὑφίσταται ἀπειλήν.« Ἀνάλογον δὲ τοῖς ἀποδεδομένοις [3]) περὶ τοῦ πλούτου λεκτέον καὶ περὶ τῆς δυναστείας, καθ' ἣν εἷς [4]) δίκαιος διώξεσθαι λέγεται χιλίους, καὶ δύο μετακινεῖν μυριάδας. Εἴπερ δὲ ταῦτα νενόηται ἐν τοῖς κατὰ τὸν πλοῦτον· ὅρα, εἰ μὴ ἀκόλουθόν ἐστιν ἐπαγγελίᾳ θεοῦ, τὸν πλουτοῦντα »ἐν [5]) παντὶ λόγῳ, καὶ πάσῃ γνώσει,« καὶ πάσῃ σοφίᾳ, καὶ ἐν παντὶ ἔργῳ ἀγαθῷ, δανείζειν [6]) ἀπὸ τοῦ κατὰ τὸν λόγον, καὶ τὴν σοφίαν, καὶ τὴν γνῶσιν πλούτου ἔθνεσι πολλοῖς· ὡς ἐδάνεισε Παῦλος, κύκλῳ [7]) ἀπὸ Ἱερουσαλὴμ ἕως τοῦ Ἰλλυρικοῦ πληρῶν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, πᾶσιν ἔθνεσιν, οἷς ἐπιδεδήμηκε. Καὶ ἐπεὶ κατὰ ἀποκάλυψιν [8]) αὐτῷ ἐγνωρίζετο τὰ θεῖα, φωτιζομένῳ τὴν ψυχὴν ὑπὸ τῆς τοῦ λόγου θειότητος· διὰ τοῦτο αὐτὸς οὐκ ἐδανείζετο, οὐδὲ χρείαν εἶχεν ἀνθρώπου διακονουμένου αὐτῷ τὸν λόγον. Οὕτω δὲ γεγραμμένου καὶ τοῦ· »ἄρξεις [9]) σὺ ἐθνῶν πολλῶν, σοῦ δὲ οὐκ ἄρξουσι·« κατὰ τὴν ἀπὸ τοῦ λόγου δυναστείαν ὑποτάσσων τῇ Χριστοῦ Ἰησοῦ διδασκαλίᾳ τοὺς ἀπὸ τῶν ἐθνῶν, ἦρχεν αὐτῶν, οὐδέ [10]) ποτε ἐν χώρᾳ

---

[1]) Cfr. Prov. XIII, 8. [2]) Cfr. Prov. XIII, 8.

[3]) Cfr. lib. VI. contra Cels. num. 77. coll. ed. nostr. Tom. XIX. pag. 430.

[4]) Cfr. Deut. XXXII, 30. [5]) Cfr. I Cor. I, 5.

[6]) Cfr. Deut. XV, 6. coll. XXVIII, 12.

[7]) Cfr. Rom. XV, 19. [8]) Cfr. II Cor. XII, 1.

[9]) Cfr. Deut. XV, 16. coll. XXVIII, 12.

[10]) Hoeschel. in textu habet: οὐδέποτε ἐν χώρᾳ ὑποτεταγμένου. R. — Boherell. non male: »Legendum puto: οὐδὲ πρὸς ὥραν ὑποτεταγμένος, e Galat. II, 5.«

ὑποτεταγμένος [1]) ἀνθρώποις, ὡς [2]) κρείττων γινόμενος. [3]) Οὕτω δὲ καὶ κατεπίμπλα τὴν γῆν.

22. Εἰ δὲ καὶ περὶ τοῦ καταφονεύειν δεῖ διηγήσασθαι ἅμα, καὶ τὸ δυνατὸν τοῦ δικαίου περὶ πάντα· λεκτέον, ὅτι φάσκων· »εἰς [4]) τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν·« γῆν μὲν τροπικῶς ἔλεγε τὴν σάρκα, ἧς »τὸ [5]) φρόνημα ἔχθρα ἐστὶν εἰς θεόν·« πόλιν δὲ κυρίου, τὴν ἑαυτοῦ ψυχὴν, ἐν ᾗ ἦν ναὸς [6]) θεοῦ, χωρήσας δόξαν καὶ ὑπόληψιν ὀρθὴν περὶ θεοῦ, καὶ θαυμαζομένην [7]) ὑπὸ πάντων τῶν ὁρώντων αὐτήν. Ἅμα οὖν ταῖς τοῦ ἡλίου τῆς δικαιοσύνης αὐγαῖς ἐπιλαμπούσαις αὐτοῦ τῇ ψυχῇ, ὥσπερεὶ δυναμούμενος ὑπ' αὐτῶν, καὶ κραταιούμενος, ἀνῄρει πᾶν τὸ φρόνημα τῆς σαρκὸς, λεγόμενον ἁμαρτωλοὺς γῆς, καὶ ἐξωλόθρευεν ἀπὸ τῆς ἐν τῇ ψυχῇ ἑαυτοῦ πόλεως κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν λογισμοὺς, καὶ τὰ ἔχθρὰ τῇ ἀληθείᾳ ἐνθυμήματα. Οὕτω δὲ καὶ ἀναιροῦσιν οἱ δίκαιοι πᾶσαν τὴν τῶν πολεμίων καὶ ἀπὸ κακίας ἐρχομένων ζωγρίαν, [8]) ὡς μηδὲ νήπιον καὶ ἄρτι ὑποφυόμενον κακὸν καταλείπεσθαι. [9])

---

[1]) Spenc. in textu: ὑποτεταγμένος, ad marg. ὑποτεταγμένου, καί· ὑποτεταγμένῃ. Cfr. pag. 34. not. 10.

[2]) Codd. Reg. et Basil. ὡς κρείττων γινόμενος. Libri editi (v. c. edd. Spenc.) ὡς κρείττοσι γινόμενος. R. —

[3]) Boherellus: »Lego: γινομένοις.« — Cfr. pag. huj. not. 2. [4]) Cfr. Psalm. CI, 8. (C.)

[5]) Cfr. Rom. VIII, 7.

[6]) Boherellus: »Allusum ad Psalm. XLVIII, 9. coll. 5., quamvis nunc vers. 9. pro ναοῦ legatur: λαοῦ.«

[7]) Cfr. Psalm. XLVIII, 5. (XLVII.) — Cfr. pag. huj. not. 6.

[8]) Cfr. Deut. II, 34. coll. Num. XXI, 35.

[9]) Codd. Reg. et Basil. καταλείπεσθαι. Οὕτως ἀκούομεν. Libri editi (v. c. edd. Spenc.) καταλιπέσθαι. Ἡμεῖς οὕτως ἀκούομεν. R.

Οὕτως ἀκούομεν καὶ τοῦ ἐν ἑκατοστῷ τριακοστῷ ἕκτῳ ψαλμῷ ῥητοῦ, οὕτως ἔχοντος· »θυγάτηρ[1] *Βαβυλῶνος ἡ ταλαίπωρος, μακάριος*[2] *ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν· μακάριος,*[3] *ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν.« Νήπια γὰρ Βαβυλῶνος, ἑρμηνευομένης συγχύσεως, οἱ ἄρτι ὑποφυόμενοι καὶ ἀνατέλλοντες ἐν τῇ ψυχῇ εἰσι συγχυτικοὶ λογισμοὶ, οἱ* (347) *ἀπὸ κακίας· ὧν ὁ κρατῶν, ὡς καὶ τῷ στερεῷ καὶ εὐτόνῳ τοῦ λόγου προσρῆξαι αὐτῶν τὰς κεφαλὰς, ἐδαφίζει τὰ νήπια τῆς Βαβυλῶνος πρὸς τὴν πέτραν, γινόμενος διὰ τοῦτό μακάριος. Ἡβηδὸν οὖν τὰ τῆς κακίας καὶ παγγενεὶ κτείνειν κελευέτω ὁ θεὸς, οὐδὲν ἐναντίον διδάσκων οἷς Ἰησοῦς κατήγγειλε· καὶ ἐν ὀφθαλμοῖς τῶν ἐν*[4] *κρυπτῷ Ἰουδαίων ποιείτω ὁ θεὸς τὴν τῶν πολεμίων καὶ πάντων τῶν ἀπὸ κακίας ἀναίρεσιν. Καὶ τοιοῦτόν γε ἔστω τὸ τοὺς μὴ πειθομένους νόμῳ καὶ λόγῳ θεοῦ, ὁμοιωθέντας τοῖς πολεμίοις, καὶ ποιωθέντας ἀπὸ τῆς κακίας, πάσχειν ταῦτα, ἅπερ ἄξιον πάσχειν τοὺς ἀποστάντας λόγων θεοῦ.*

23. *Σαφῆ μὲν οὖν καὶ ἐκ τούτων, πῶς Ἰησοῦς ὁ*

---

[1]) Cfr. Psalm. CXXXVII, 8. 9. (CXXXVI.) — Hoeschel. in notis: »Paraphr. Mscr. *ταλαίπωρος ψυχὴ, ἡ οὖσα θυγάτηρ τῆς συγχύσεως, ὡσανεὶ τῆς ἁμαρτίας· Βαβυλὼν γὰρ ἑρμηνεύεται σύγχυσις.* Genes. XI. Joseph. I. Orig. 6. et Philo alicubi; sed *μετάθεσις* eidem lib. de Gigantibus.«

[2]) Hoeschel. in notis: »Paraphr. Mscr. *μακάριος, λέγει, ἐστὶν, ὃς οὕτω καταδουλώσει ἑαυτῷ τὴν ἁμαρτίαν, ὥσπερ αὐτῇ πρότερον κατεδούλωσεν αὐτόν.*

[3]) Hoeschel. in notis: »Idem Paraphr. Mscr. *μακάριος, ὃς κυριεύσας τῶν σαρκικῶν ἐπιθυμιῶν, συντρίψει αὐτὰς πρὸς τὴν πέτραν, τουτέστι τὸν Χριστόν· ἡ γὰρ πέτρα ἦν ὁ Χριστὸς, καθὼς λέγει ὁ ἀπόστολος.*«

[4]) Cfr. Rom. II, 29.

Ναζωραῖος ἄνθρωπος οὐκ ἀντινομοθετεῖ τοῖς περὶ πλούτου καὶ τῶν ἐξισταμένων [1]) *εἰρημένοις περὶ τοῦ, δύσκολον* [2]) *εἶναι πλούσιον εἰσέρχεσθαι εἰς τὴν τοῦ θεοῦ βασιλείαν· εἴτε πλούσιόν τις λαμβάνει ἁπλούστερον, τὸν ὑπὸ πλούτου περισπώμενον, καὶ ὡς ὑπὸ ἀκάνθης* [3]) *αὐτοῦ ἐμποδιζόμενον φέρειν τοὺς τοῦ λόγου καρπούς· εἴτε καὶ τὸν* [4]) *ἐν τοῖς ψευδέσι δόγμασι πλουτοῦντα, περὶ οὗ ἐν Παροιμίαις γέγραπται· »κρείττων* [5]) *πτωχὸς δίκαιος, ἢ πλούσιος ψεύστης.« Εἰκὸς δὲ ἀπὸ τοῦ· »ὁ* [6]) *θέλων ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων διάκονος·« καί· »οἱ* [7]) *ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν·« καὶ »οἱ* [8]) *ἐξουσιάζοντες ἐν αὐτοῖς εὐεργέται καλοῦνται·« εἰληφέναι τὸν Κέλσον, ὅτι* [9]) *Ἰησοῦς φιλαρχίαν ἐκώλυεν, ἤντινα οὐκ ἐναντίαν εἶναι νομιστέον τοῦ·* [10]) *»ἄρξεις* [11]) *σὺ ἐθνῶν πολλῶν, σοῦ δὲ οὐκ ἄρξουσι·« μάλιστα διὰ τὰ ἀποδεδομένα εἰς τὴν λέξιν. Ἑξῆς δὲ τούτοις παραῤῥίπτει περὶ τῆς σοφίας ὁ Κέλσος, οἰόμενος τὸν Ἰησοῦν διδάσκειν, μὴ παριητὸν εἶναι πρὸς τὸν πατέρα τῷ σοφῷ. Εἴπωμεν δὲ πρὸς αὐτόν· ποίῳ σοφῷ; Εἰ μὲν γὰρ τούτῳ, ὃς πεποίωται κατὰ τὴν λεγομένην σο-*

---

[1]) Boherellus, quocum Ruaeus facit: »Id est, *de divitiis, et illis, qui earum amore transversi abripiuntur.* Ni pro: *ἐξισταμένων*, legere malis: *ἐξητασμένων*, ut vertas: *et iis, quae modo perpendimus.*«

[2]) Cfr. Matth. XIX, 23. — Vulgata: *δυσκόλως πλούσιον κτλ.* [3]) Cfr. Matth. XIII, 22.

[4]) Ed. Ruaei perperam: *τό.*

[5]) Codd. Reg. et Basil. (itemq. edd. Spenc. ad marg.) *κρείττων.* Hoeschel. et Spencer. (in textu): *κρεῖσσον.* R. — Cfr. Prov. XXVIII, 6.

[6]) Cfr. Marc. X, 44. coll. 43.

[7]) Cfr. Matth. XX, 25. [8]) Cfr. Luc. XXII, 25.

[9]) Codd. Reg. et Basil. *ὅτι Ἰησοῦς κτλ.* Hoeschel. et Spencer. *τί Ἰησοῦς φιλαρχίαν ἐκώλυεν; ἤντινα κτλ.* R.

[10]) Edd. Spenc. ad marg. *τῷ.*

[11]) Cfr. Deut. XV, 6. coll. XXVIII, 12.

φίαν[1]) τοῦ κόσμου τούτου, οὖσαν μωρίαν παρὰ τῷ θεῷ· καὶ ἡμεῖς φήσομεν μὴ παριτητὸν εἶναι πρὸς τὸν πατέρα τῷ οὕτω σοφῷ. Εἰ δὲ σοφίαν τις νοήσαι τὸν Χριστὸν, ἐπεὶ Χρισιός ἐστι θεοῦ[2]) δύναμις, καὶ θεοῦ σοφία· οὐ μόνον παριτητὸν πρὸς τὸν πατέρα τῷ οὕτω σοφῷ λέγομεν εἶναι, ἀλλὰ καὶ πολλῷ τῶν μὴ τοιούτων διαφέρειν τὸν κεκοσμημένον χαρίσματί φαμεν, λόγῳ[3]) σοφίας καλουμένῳ, διὰ τοῦ πνεύματος διδομένῳ.

24. Πάλιν τε αὖ τὸ δόξης ἀντιποιεῖσθαι τῆς παρ' ἀνθρώποις, οὐ κατὰ τὴν Ἰησοῦ μόνον[4]) διδασκαλίαν κωλύεσθαί φαμεν, ἀλλὰ καὶ κατὰ τὴν παλαιὰν γραφήν. Ἐπαρώμενος γοῦν ἑαυτῷ τις τῶν προφητῶν, εἰ ἔνοχος εἴη τοῖς ἁμαρτήμασι, φησὶν ἀντὶ μεγίστου κακοῦ συμβῆναι ἂν αὐτῷ καὶ τὴν βιωτικὴν δόξαν. Λέγει δὲ οὕτω· »κύριε,[5]) ὁ θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός· καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν (348) δόξαν μου εἰς χοῦν[6]) κατασκηνώσαι.« Ἀλλ' οὐδὲ τό· »μὴ[7]) μεριμνᾶτε τί φάγητε, ἢ τί πίητε. Κατανοήσατε τὰ πετεινὰ τοῦ οὐρανοῦ, ἢ κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσι· καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά.[8]) Πόσῳ μᾶλλον

---

[1]) Cfr. I Cor. III, 19.

[2]) Cfr. I Cor. I, 24. [3]) Cfr. I Cor. XII, 8.

[4]) Cod. Regius: *μόνον*. Libri antea editi (v. c. edd. Spenc.) *μόνου*. R. — Cfr. Matth. XXIII, 7.

[5]) Psalm. VII, 3. 4. 5.

[6]) Boherellus: »E praecedentibus apparet Origenem haec sic accepisse, quasi propheta dicere voluisset: *gloriam meam in tumulo, sive in loco edito collocet, eam illustrem et conspicuam reddat.* Ceterum pro: *εἰς χοῦν*, Vulgata Biblia habent: *εἰς χνοῦν*.«

[7]) Cfr. Matth. VI, 25. 26. coll. Luc. XII, 24.

[8]) Hoeschel. in textu (Spenc. ad marg.) et Mss.

ὑμεῖς διαφέρετε τῶν πετεινῶν!« »Καὶ [1]) περὶ ἐνδύματος τί μεριμνᾶτε; Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ,« καὶ τὰ ἑξῆς, ἐναντία ἐστὶ ταῖς ἐν τῷ νόμῳ εὐλογίαις, διδασκούσαις [2]) τὸν δίκαιον ἐσθίοντα πληροῦσθαι· καὶ τῷ ὑπὸ τοῦ Σολομῶντος τοῦτον εἰρημένῳ τὸν τρόπον· »δίκαιος [3]) ἐσθίων ἐμπίπλησι ψυχὴν, ψυχαὶ δὲ ἀσεβῶν ἐνδεεῖς.« Χρὴ γὰρ ὁρᾶν τὴν τῆς ψυχῆς τροφὴν δηλουμένην ἐν τῇ κατὰ τὸν νόμον εὐλογίᾳ· ἧς οὐχ ὁ σύνθετος πληροῦται ἄνθρωπος, ἀλλ' ἡ ψυχὴ μόνη. Ἀπὸ δὲ τοῦ εὐαγγελίου λαμβάνειν δεῖ τάχα μέν τι καὶ βαθύτερον, τάχα δέ τι καὶ ἁπλούστερον· ὅτι χρὴ μὴ ξενίζεσθαι ταῖς περὶ τῶν τροφῶν καὶ ἐνδυμάτων τὴν ψυχὴν φροντίσιν· ἀλλ' εὐτέλειαν ἀσκοῦντα, πεπεῖσθαι ἀπὸ τοῦ θεοῦ προνοεῖσθαι, εἰ μόνον τις τῶν ἀναγκαίων φροντίζοι.

25. Ὁ μὲν οὖν Κέλσος, μὴ ἀντιπαραθεὶς τὰ δοκοῦντα ἐναντία ἀπὸ τοῦ νόμου τοῖς ἀπὸ τοῦ εὐαγγελίου, φησὶ καὶ τό· »τῷ δ' ἅπαξ τυπτήσαντι παρέχειν καὶ αὖθις τύπτειν.« Ἡμεῖς δ' ἐροῦμεν, εἰδέναι μὲν καὶ τό· »ὀφθαλμὸν [4]) ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος·« εἰρημένον τοῖς πάλαι· ἀνεγνωκέναι δὲ καὶ τό· »ἐγὼ [5]) δὲ λέγω ὑμῖν, τῷ τύπτοντί σε εἰς [6]) τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην.« Ἀλλ' ἐπεὶ περιηχηθεὶς, οἶμαι, ὁ Κέλσος ἀπὸ τῶν διαιρούντων τὴν κατὰ τὸ εὐαγγέλιον θεότητα, [7]) ἐκ τῆς νομικῆς θεότητος [8])

αὐτά. Spenc. (in textu): αὐτούς. R. — Cfr. Matth. VI, 26. coll. Luc. XII, 24.

[1]) Cfr. Matth VI, 28. [2]) Cfr. Levit. XXVI, 5.

[3]) Cfr. Prov. XIII, 25.

[4]) Exod. XXI, 24. coll. Matth. V, 38.

[5]) Cfr. Matth. V, 39. coll. Luc. VI, 29.

[6]) Ita Codd. Reg. et Basileensis, Hoeschel. autem et Spencerus: εἰς τὸν σιαγόνα, παρέχειν καὶ τὴν ἄλλην. R.

[7]) Edd. Spenc. ad marg. θειότητα.

[8]) Edd. Spenc. ad marg. θειότητος.

τὰ τοιαῦτα τίθησι· λεκτέον πρὸς τὸν λόγον αὐτοῦ, ὅτε οἶδε καὶ τὰ παλαιὰ γράμματα· »τῷ[1]) τύπτοντί σε εἰς τὴν δεξιὰν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην.« Ἐν γοῦν τοῖς Ἱερεμίου Θρήνοις γέγραπται· »ἀγαθὸν[2]) ἀνδρὶ, ὅταν ἄρῃ ζυγὸν ἐν[3]) νεότητι αὐτοῦ. Καθήσεται καταμόνας, καὶ σιωπήσεται, ὅτι ἦρεν ἐφ' ἑαυτῷ· δώσει τῷ παίοντι αὐτὸν σιαγόνα, καὶ χορτασθήσεται ὀνειδισμῶν.« Οὐκ ἀντιδιατάσσεται θεοῦ[4]) τὸ εὐαγγέλιον τῷ τοῦ νόμου θεῷ, οὐδὲ περὶ τῆς κατὰ τὸ ῥητὸν κατὰ κόρρης πληγῆς· οὐδ' ὁπότερος ψεύδεται οὔτε Μωϋσῆς, οὔτε Ἰησοῦς· οὐδ' ὁ πατὴρ, τὸν Ἰησοῦν πέμπων, ἐπελάθετο τίνα Μωϋσῆ διετάξατο.[5]) Ἀλλ' οὐδὲ καταγνοὺς τῶν ἰδίων νόμων μετέγνω, καὶ[6]) τὸν ἄγγελον ἐπὶ τοῖς ἐναντίοις ἀποστέλλει.

26. Εἰ δὲ χρὴ κἂν ὀλίγα περὶ τῆς διαφόρου πολιτείας εἰπεῖν, ἥντινα Ἰουδαῖοι κατὰ Μωϋσέα πρότερον ἐπολιτεύοντο, καὶ ἣν Χριστιανοὶ νῦν κατὰ τὴν Ἰησοῦ διδασκαλίαν βούλονται κατορθοῦν· φήσομεν, ὅτι οὔτε τῇ κλήσει τῶν ἐθνῶν ἤρμοζε κατὰ τὸν Μωϋσέως, ὡς πρὸς τὸ γράμμα, πολιτεύεσθαι νόμον, ὑπὸ Ῥωμαίοις τεταγμένων· οὔτε τοῖς πάλαι Ἰουδαίοις οἷόν τ' ἦν τὸ σύστημα τῆς (349) πολιτείας ἔχειν ἀκαθαίρετον, εἰ καθ' ὑπόθεσιν τῇ κατὰ τὸ εὐαγγέλιον πολιτείᾳ ἐπείθοντο. Ἀναιρέσει μὲν γὰρ πολεμίων, ἢ[7]) τῶν παρὰ τὸν νόμον πεποιηκότων, καὶ ἀξίων κριθέντων τῆς διὰ πυρὸς, ἢ λίθων, ἀναιρέσεως, οὐχ οἷόν τ' ἦν Χριστιανοὺς χρῆ-

---

[1]) Cfr. Matth. V, 39. coll. Luc. VI, 29.

[2]) Cfr. Thren. III, 27—29. (30.)

[3]) Hoeschel. et Mss. (itemq. edd. Spenc. ad marg.) ἐν νεότητι. Spenc. (in textu) ἐκ νεότητος. R.

[4]) Boherellus: »Lego: ὁ θεὸς τοῦ εὐαγγελίου.«

[5]) Cfr. libri hujus num. 18.

[6]) Cfr. libri hujus num. 18.

[7]) Boherellus: »Forte: ἢ τῶν τι παρὰ τὸν νόμον.«

σθαι κατὰ τὸν Μωϋσέως νόμον· εἴ γε οὐδ' οἱ Ἰουδαῖοι θέλοντες κατ' [1]) ἐκεῖνον δύνανται ταῦτα, ὡς ὁ νόμος προσέταξεν, ἐπιτελεῖν. Πάλιν τε αὖ, ἐὰν ἀνέλῃς ἀπὸ τῶν τότε Ἰουδαίων, σύστημα ἴδιον πολιτείας καὶ χώρας ἐχόντων, τὸ ἐπεξιέναι τοῖς πολεμίοις, καὶ στρατεύεσθαι [2]) ὑπὲρ τῶν πατρίων, καὶ ἀναιρεῖν ἢ ὅπως ποτὲ κολάζειν τοὺς μοιχεύσαντας, ἢ φονεύσαντας, ἤ τι τῶν τοιούτοις παραπλησίων πεποιηκότας· οὐδὲν λείπεται ἢ [3]) τὸ ἄρδην αὐτοὺς ἀθρόους ἀθρόως ἀπολέσθαι, ἐπιτιθεμένων τῶν πολεμίων τῷ ἔθνει, ὡς ὑπὸ τοῦ ἰδίου νόμου ἐκνενευρισμένων, [4]) καὶ κωλυομένων ἀμύνεσθαι τοὺς πολεμίους. Καὶ μὴ βουλομένη γε ἡ πάλαι μὲν τὸν νόμον δεδωκυῖα πρόνοια, νῦν δὲ Ἰησοῦ Χριστοῦ εὐαγγέλιον, κρατεῖν ἔτι τὰ Ἰουδαίων· καθεῖλεν [5]) αὐτῶν τὴν πόλιν, καὶ τὸν ναὸν, καὶ τὴν παρὰ τῷ ναῷ διὰ θυσιῶν καὶ τῆς ἀναγεγραμμένης λατρείας θεραπείαν τοῦ θεοῦ. Ὥσπερ δ' ἐκεῖνα, μὴ βουλομένη ἐπιτελεῖσθαι ἔτι, καθεῖλε· τὸν τρόπον τὸν αὐτὸν τὰ Χριστιανῶν ηὔξησε καὶ [6]) ὁσημέραι εἰς πλῆθος, ἤδη [7]) δὲ καὶ παῤῥησίαν ἐπιδέδωκε· καί τοί γε μυρίων ὅσων κωλυμάτων γενομένων πρὸς τὸ μὴ ἐπισπαρῆναι τὴν Ἰησοῦ διδασκαλίαν

---

[1]) Boherellus: »Lego: *κατ' ἐκείνων*.«

[2]) Vide lib. VIII. contra Cels. num. 73. et 74.

[3]) Edd. Spenc. ad marg. *εἰ τό κτλ.*

[4]) Boherellus: »Lege: *ἐκνενευρισμένῳ, καὶ κωλυομένῳ*.«

[5]) Hoeschel. in notis: »Recte igitur Titus sese illa negavit fecisse; sed Deo iram suam declaranti manus suas commodasse: *οὐκ αὐτὸς λέγων εἰργάσθαι ταῦτα, θεῷ δὲ φήναντι ὀργὴν ἐπιδεδωκέναι τὰς ἑαυτῶν χεῖρας*. Suid. e lib. VI. Philostrati de Vita Apollonii Tyanei.«

[6]) Boherellus: »Addendum forte: *αὐξάνει*.«

[7]) Edd. Spenc. *ἤδε*. Jam Boherellus vero: »Lego: *ἤδη*.«

τῇ οἰκουμένῃ. Ἀλλ' ἐπεὶ θεὸς ἦν ὁ βουλόμενος καὶ τοὺς ἀπὸ τῶν ἐθνῶν ὠφεληθῆναι διὰ τῆς Ἰησοῦ τοῦ Χριστοῦ διδασκαλίας, πᾶσα [1]) ἀνθρωπίνη βουλὴ κατὰ Χριστιανῶν καθηρέθη· ὅσῳ γὰρ αὐτοὺς ἐταπείνουν βασιλεῖς καὶ ἐθνῶν ἡγούμενοι, καὶ δῆμοι πανταχοῦ, τοσούτῳ πλείους ἐγίνοντο, καὶ κατίσχυον σφόδρα σφόδρα. [2])

27. Ἐξῆς δὲ τούτοις ὁ Κέλσος, διὰ πλειόνων τὰ μὴ λεγόμενα ὑφ' ἡμῶν τιθεὶς ὡς λεγόμενα ὑφ' ἡμῶν περὶ τοῦ θεοῦ, ὡς »σώματος τῇ φύσει τυγχάνοντος, καὶ ἀνθρωποειδοῦς σώματος,« ἀνατρέπειν ἐθέλει τὰ μὴ τεθειμένα ὑφ' ἡμῶν· ἅπερ περισσὸν παραθέσθαι, ἢ τὴν ἀνατροπὴν αὐτῶν. Εἰ μὲν γὰρ ἃ λέγει ἡμᾶς φάσκειν περὶ θεοῦ, ἐλέγομεν, [3]) καὶ πρὸς αὐτὰ ἴστατο· ἀναγκαῖον ἦν ἡμῖν τὸ τιθέναι τὰς λέξεις αὐτοῦ, καὶ κατασκευάζειν μὲν τὰ ἡμέτερα, λύειν δὲ τὰ ἐκείνου. Εἰ δὲ αὐτῷ [4]) συνείρει [5]) ἃ ἤτοι ἀπ' οὐδενὸς ἤκουσεν, ἢ, ἵνα καὶ δοθῇ, ὅτι ἤκουσεν, ἀπό τινων ἁπλῶν, καὶ ἀκεραίων, καὶ μὴ εἰδότων τὸ τοῦ λόγου βούλημα· οὐ χρὴ ἡμᾶς τευτάζειν περὶ τὰ μὴ ἀναγκαῖα. Σαφῶς γὰρ ἀσώματόν φασιν οἱ λόγοι τὸν θεόν. Διὸ καὶ »θεὸν [6]) οὐδεὶς ἑώρακε πώποτε·« καὶ »εἰκὼν [7]) λέγεται εἶναι τοῦ ἀοράτου θεοῦ ὁ πρωτότοκος πάσης κτίσεως,« ὡς εἰ ἔλεγεν ἀσωμάτου. Μετρίως δ' ἐν τοῖς πρὸ τούτων καὶ περὶ θεοῦ διειλήφαμεν, (350) ἐξετάζοντες, πῶς νοοῦμεν τό·

---

[1]) Edd. Spenc., uncis voc. *μέν* appositis: *πᾶσα μὲν ἀνθρωπίνη*.

[2]) Deest in edd. Spenc. posterius *σφόδρα*.

[3]) Mss. (itemq. Spenc. ad marg.) *ἐλέγομεν*. Libri antea editi (v. c. edd. Spenc. in textu): *λέγομεν*. R.

[4]) Boherellus: »Malim: *αὐτός*. Vel lege: *αὐτῷ*, sive: *ἑαυτῷ συνείρει*, ut pag. (edd. Spenc.) 353. lin. 43.«

[5]) Guietus pro: *συνείρει*, mallet: *συναιρεῖ*. Spencer. (in textu) habet: *συνήρει*. R. — Spenc. ad marg. *συνείρει*.

[6]) Ev. Joann. I, 18. [7]) Cfr. Coloss. I, 15.

»πνεῦμα[1]) ὁ θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.«

28. *Μετὰ δὲ τὰ περὶ τοῦ θεοῦ, ἐν οἷς ἡμᾶς συκοφαντεῖ, πυνθάνεται ἡμῶν· »ποῖ ἀπεῖναι μέλλομεν; καὶ τίνα ἐλπίδα ἔχομεν;« Καὶ ὡς ἀποκριναμένων, τίθησι δῆθεν ἡμετέρας φωνὰς οὕτως ἐχούσας· »εἰς ἄλλην γῆν, ταύτης κρείττονα.« Καὶ πρὸς τοῦτό φησιν· »ἱστόρηται θείοις ἀνδράσι παλαιοῖς εὐδαίμων βίος ψυχαῖς εὐδαιμόσιν· ὠνόμασαν δὲ αὐτὸν οἱ μὲν μακάρων νήσους, οἱ δὲ Ἠλύσιον πεδίον, ἀπὸ τῆς λύσεως τῶν ἔνθεν κακῶν·« ὥσπερ καὶ Ὅμηρος·*[2])

Ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
Ἀθάνατοι πέμψουσι,
Τῇπερ ῥηΐστη βιοτή. . .

»Πλάτων δ' ἀθάνατον τὴν ψυχὴν ἡγούμενος, ἐκείνην τὴν χώραν, ἔνθα στέλλεται, ἄπικρυς γῆν ὠνόμασεν οὕτω· πάμμεγά[3]) *τι εἶναι φήσας αὐτὸ, καὶ ἡμᾶς οἰκεῖν τοὺς μέχρι Ἡρακλείων στηλῶν ἀπὸ Φάσιδος ἐν σμικρῷ τινι μορίῳ, ὥσπερ περὶ τέλμα μύρμηκας, ἢ βατράχους, περὶ τὴν θάλασσαν οἰκοῦντας· καὶ ἄλλους ἄλλοθι πολλοὺς ἐν πολλοῖς*[4]) *τοιούτοις τόποις οἰκεῖν. Εἶναι γὰρ πανταχῇ περὶ τὴν γῆν πολλὰ κοῖλα, καὶ παντοδαπὰ καὶ τὰς ἰδέας καὶ τὰ μεγέθη· εἰς ἃ συνερρυηκέναι τό τε ὕδωρ, καὶ τὴν ὁμίχλην, καὶ τὸν ἀέρα· αὐτὴν δὲ τὴν γῆν καθαρὰν ἐν καθαρῷ κεῖσθαι τῷ οὐρανῷ.« Ὑπολαμβάνει τοίνυν ὁ Κέλσος τὰ περὶ τῆς ἄλλης γῆς κρείττονος, καὶ πολλῷ ταύτης διαφερούσης εἰληφέναι ἡμᾶς ἀπό τινων νομιζομένων αὐτῷ θείων παλαιῶν ἀνδρῶν, καὶ μάλιστα Πλάτωνος, τοῦ ἐν τῷ*

---

[1]) Ev. Joann. IV, 24.

[2]) Cfr. Homer. Odyss. IV, 563—565.

[3]) Cfr. Platon. Phaedo, ed. Bekk. Part. II. Vol. III. pag. 109. seq.

[4]) Ed. Bekkeri: *πολλοῖσι.*

Φαίδωνι περὶ τῆς καθαρᾶς ἐν καθαρῷ κειμένης οὐρανῷ γῆς[1]) *φιλοσοφήσαντος· οὐχ ὁρῶν, ὅτι Μωϋσῆς, ὁ πολλῷ καὶ τῶν Ἑλληνικῶν γραμμάτων ἀρχαιότερος, εἰσήγαγε τὸν θεὸν ἐπαγγελλόμενον τὴν ἁγίαν γῆν, καὶ »ἀγαθὴν,*[2]*) καὶ πολλὴν, ῥέουσαν γάλα καὶ μέλι,« τοῖς κατὰ τὸν νόμον ἑαυτοῦ βιώσασιν· οὐδ', ὡς οἴονταί τινες, τὴν ἀγαθὴν, τὴν κάτω νομιζομένην Ἰουδαίαν, κειμένην καὶ αὐτὴν ἐν τῇ ἀρχῆθεν κατηραμένῃ ἐν τοῖς ἔργοις τῆς παραβάσεως τοῦ Ἀδὰμ γῇ. Τὸ γάρ· »ἐπικατάρατος*[3]*) ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου·« περὶ ὅλης εἴρηται τῆς γῆς· ἣν ἐν λύπαις, τουτέστι πόνοις, ἐσθίει πᾶς ἄνθρωπος ἐν τῷ Ἀδὰμ*[4]*) ἀποθανών· καὶ ἐσθίει*[5]*) πάσας τὰς ἡμέρας τῆς ἑαυτοῦ ζωῆς. Καὶ ὡς ἐπικατάρατος*[6]*) πᾶσα ἡ γῆ ἀκάνθας*[7]*) καὶ τριβόλους ἀνατελεῖ πάσας τὰς ἡμέρας τῆς ζωῆς τοῦ ἐν τῷ Ἀδὰμ ἐκβληθέντος*[8]*) ἀπὸ τοῦ παραδείσου· καὶ ἐν ἱδρῶτι*[9]*) τοῦ προσώπου αὐτοῦ ἐσθίει πᾶς ἄνθρωπος τὸν ἑαυτοῦ ἄρτον,*[10]*) ἕως ἐπιστρέψει εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη. Πολὺν μὲν οὖν ἔχει λόγον ὅλα τὰ κατὰ τὸν τόπον τοῦτον, δυνάμενον εἰς τὴν σαφήνειαν τῶν λέξεων* (351) *κατασκευασθῆναι· ὀλίγοις δ' ἐπὶ τοῦ παρόντος ἠρκέσθημεν, βουλόμενοι ἀπολύσαι περισπασμοῦ, τοῦ ὡς περὶ τῆς Ἰουδαίας γῆς ὑπολαμβάνοντος εἰρῆσθαι τὰ περὶ ἀγαθῆς γῆς, ἣν ὁ θεὸς ὑπισχνεῖται τοῖς δικαίοις.*

---

[1]) Vocem: *γῆς*, quae ab editis (v. c. edd. Spenc.) exciderat, restituunt Codd. Mss. R.

[2]) Cfr. Exod. III, 8.

[3]) Cfr. Gen. III, 17.

[4]) Cfr. lib. IV. contra Cels. num. 40.

[5]) Cfr. Gen. III, 17. [6]) Cfr. Gen. III, 17.

[7]) Cfr. Gen. III, 18. [8]) Cfr. Gen. III, 24.

[9]) Cfr. Gen. III, 19.

[10]) Libri editi (v. c. edd. Spenc.) *χόρτον*. Codd. Reg. et Basil. (itemq. Boherell. in notis) rectius: *ἄρτον*. R.

29. *Εἴπερ οὖν ἡ πᾶσα γῆ αὐτὴ ἐπικατάρατος*[1] *ἐν τοῖς ἔργοις ἐστὶ τοῦ Ἀδὰμ, καὶ τῶν ἐν αὐτῷ ἀποθανόντων, δῆλον ὅτι καὶ πάντα τὰ μόρια αὐτῆς μετέχει τῆς ἀρᾶς, ἐν οἷς ἐστι καὶ ἡ Ἰουδαία γῆ· ὥστε μὴ δύνασθαι ἐφαρμόζειν αὐτῇ τό· »εἰς*[2] *γῆν ἀγαθὴν καὶ πολλὴν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι·« κἂν συμβολικῶς σκιὰ εἶναι ἀποδεικνύηται ἡ Ἰουδαία καὶ ἡ Ἱερουσαλὴμ τῆς καθαρᾶς ἐν καθαρῷ κειμένης οὐρανῷ γῆς ἀγαθῆς καὶ πολλῆς, ἐν ᾗ ἐστιν ἡ ἐπουράνιος Ἱερουσαλήμ. Περὶ ἧς διαλαβὼν ὁ ἀπόστολος, ὡς συνεγερθεὶς*[3] *Χριστῷ, καὶ τὰ ἄνω ζητῶν, καὶ νοῦν εὑρὼν οὐδεμιᾶς ἐχόμενον Ἰουδαϊκῆς μυθολογίας, φησίν· »ἀλλὰ*[4] *προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν,*[5] *ἀγγέλων πανηγύρει.« Ἵνα δέ τις πεισθῇ, μὴ παρὰ τὸ βούλημα τοῦ θείου πνεύματος ἡμᾶς λέγειν περὶ τῆς παρὰ Μωϋσῇ*[6] *γῆς ἀγαθῆς καὶ πολλῆς· ἐπιστησάτω πᾶσι μὲν τοῖς προφήταις, διδάσκουσι τὴν εἰς Ἱερουσαλὴμ ἐπάνοδον τῶν πεπλανημένων, καὶ ἀποπεπτωκότων ἀπ' αὐτῆς, καὶ ἁπαξαπλῶς ἀποκαθισταμένων εἰς τὸν καλούμενον τόπον, καὶ πόλιν τοῦ θεοῦ παρὰ τῷ εἰπόντι, ὅτι »ἐν*[7] *εἰρήνῃ ἁγίᾳ ὁ τόπος αὐτοῦ·« λέγοντι δὲ καὶ τό· »μέγας*[8] *ὁ κύριος, καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ θεοῦ ἡμῶν, ἐν*[9] *ὄρει ἁγίῳ αὐτοῦ, εὐρίζῳ*[10] *ἀγαλλιάματι πάσης τῆς γῆς.«*

---

[1]) Cfr. Gen. III, 17. [2]) Exod. III, 8.

[3]) Cfr. Coloss. III, 1. [4]) Cfr. Hebr. XII, 22.

[5]) Hoeschel. in textu (Spenc. ad marg.), et omnes Codd. Mss. *μυριάσιν.* Spencer. (in textu): *μυριάδων.* R.

[6]) Cfr. Exod. III, 8.

[7]) Cfr. Psalm. LXXVI, 2. (LXXV.)

[8]) Cfr. Psalm. XLVIII, 1. 2. (XLVII.)

[9]) Uncis inclusum legitur *ἐν* in edd. Spenc.

[10]) Mss. (itemq. edd. Spenc. ad marg.) *εὐρίζῳ.* Hoeschel. et Spencer. (in textu): *εὐρίζονι.* Vulgata: *εὐρίζων.* R.

Ἀρκεῖ δὲ ἐπὶ τοῦ παρόντος παραθέσθαι τὰ ἀπὸ τοῦ τριακοστοῦ ἕκτου ψαλμοῦ, οὕτως ἔχοντα περὶ τῆς τῶν δικαίων γῆς· »οἱ [1]) δ' ὑπομένοντες τὸν κύριον, αὐτοὶ κληρονομήσουσι γῆν·« καὶ μετ' ὀλίγα· »οἱ [2]) δὲ πραεῖς κληρονομήσουσι γῆν, καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης·« καὶ μετ' ὀλίγα· »οἱ [3]) εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν·« καὶ πάλιν· »οἱ [4]) δίκαιοι κληρονομήσουσι γῆν, καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς.« Ὅρα δ' εἰ μὴ τὸ καθαρὰν εἶναι ἐν καθαρῷ τῷ οὐρανῷ τὴν γῆν, δηλοῦται τοῖς ἀκούειν δυναμένοις τῶν οὕτως εἰρημένων ἐν τῷ αὐτῷ ψαλμῷ· »ὑπόμεινον [5]) τὸν κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ· καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι τὴν γῆν.«

30. Δοκεῖ δέ μοι καὶ τὰ περὶ τῶν τῇδε τιμίων εἶναι νομιζομένων λίθων, ἀπορρύην τινα λεγομένων ἔχειν ἀπὸ τῶν ἐν τῇ κρείττονι γῇ λίθων, εἰληφέναι τὸν Πλάτωνα ἀπὸ τῶν ἐν τῷ Ἡσαΐᾳ ἀναγεγραμμένων περὶ τῆς πόλεως τοῦ θεοῦ· περὶ ἧς γέγραπται· »θήσω [6]) τὰς ἐπάλξεις σου ἴασπιν, καὶ τοὺς [7]) λίθους σου λίθους κρυστάλλου, καὶ τὸν περίβολόν σου λίθους ἐκλεκτούς·« καὶ πάλιν· »θήσω [8]) τὰ θεμέλιά σου σάπφειρον.« Τὸν μὲν οὖν παρὰ Πλάτωνι ἀλληγοροῦντες μῦθον οἱ σεμνότερον τὰ τοῦ φιλοσόφου ἐξειληφότες διηγοῦνται· τὰς δὲ προφητείας, ἀφ' ὧν στοχαζόμεθα καὶ τὸν Πλάτωνα εἰληφέναι, (352) οἱ συγγενῶς τοῖς προφήταις καὶ ἐνθέως βιώσαντες, καὶ πάντα τὸν χρόνον ἀναθέντες τῇ

---

[1]) Cfr. Psalm. XXXVII, 9. (XXXVI.)
[2]) Psalm. XXXVII, 11. (XXXVI.)
[3]) Psalm. XXXVII, 22. (XXXVI.)
[4]) Psalm. XXXVII, 29. (XXXVI.)
[5]) Psalm. XXXVII, 34. (XXXVI.)
[6]) Cfr. Jesai. LIV, 12.
[7]) Vulgata: τὰς πύλας σου λίθους κτλ.
[8]) Cfr. Jesai. LIV, 11.

ἐξετάσει τῶν ἱερῶν γραμμάτων, τοῖς ἐπιτηδείοις διὰ βίου καθαρότητα, καὶ τὴν περὶ τὰ θεῖα φιλομάθειαν παραστήσουσιν. Ἡμῖν δὲ προκείμενον ἦν δεῖξαι, ὅτι ἡμεῖς μὲν οὐκ ἀπὸ Ἑλλήνων ἢ Πλάτωνος τὰ περὶ τῆς ἁγίας γῆς εἰλήφαμεν· ἐκεῖνοι δὲ, νεώτεροι γενόμενοι οὐ μόνον τοῦ ἀρχαιοτάτου Μωϋσέως, ἀλλὰ καὶ τῶν πλείστων προφητῶν ἤτοι παρακηκόασί τινων αἰνισσομένων περὶ τῶν τοιούτων· ἢ καὶ ταῖς ἱεραῖς ἐντυχόντες γραφαῖς, παραποιήσαντες αὐτὰ, τοιαῦτά τινα περὶ τῆς κρείττονος εἰρήκασι γῆς. Σαφῶς δ' ὁ Ἀγγαῖος παρίστησιν ἄλλο μὲν εἶναι τὴν ξηρὰν, ἄλλο δὲ τὴν γῆν, ξηρὰν καλῶν ταύτην, ἐφ' ἧς ἐσμεν. Λέγει δὲ οὕτως· »ἔτι [1]) ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν ξηρὰν, καὶ τὴν θάλασσαν.«

31. Ὥσπερ δὲ αὐτὸς τὴν διήγησιν ἀνατίθεται τοῦ [2]) παρὰ Πλάτωνι μύθου κειμένου ἐν τῷ Φαίδωνι, λέγων τάδε· »Τί δὲ διὰ τούτων ἐμφανίζει, οὐ παντὶ γνῶναι ῥάδιον· εἰ μὴ ὅστις ἐπαΐειν δύναιτο, τί ποτ' ἔστιν ἐκεῖνο ὃ φησιν· ὑπ' [3]) ἀσθενείας καὶ βραδυτῆτος οὐχ [4]) οἵους τ' εἶναι διεξελθεῖν ἐπ' ἔσχατον τὸν ἀέρα· καὶ εἰ ἡ φύσις ἱκανὴ εἴη ἀνασχέσθαι θεωροῦσα, γνῶναι ἂν

---

[1]) Cfr. Hagg. II, 7.

[2]) Ita recte habent Codd. Vatican. et Basil. (itemq. Boherell. in notis), male autem Hoeschel. et Spencerus: τῷ παρὰ Πλάτωνι μύθου, κειμένῳ κτλ. R.

[3]) Cfr. Platon. Phaedo, ed. Bekk. Part. II. Vol. III. pag. 110. seq. (al. 109.)

[4]) Apud Platonem loco laudato haec leguntur: οὐχ οἵους τε εἶναι ἡμᾶς διεξελθεῖν ἐπ' ἔσχατον τὸν ἀέρα, ἐπεὶ εἴ τις αὐτοῦ ἐπ' ἄκρα ἔλθοι, ἢ πτηνὸς γενόμενος ἀνέκποιτο, κατιδεῖν ἂν ἀνακύψαντα, ὥσπερ ἐνθάδε οἱ ἐκ τῆς θαλάττης ἰχθύες ἀνακύπτοντες ὁρῶσι τὰ ἐνθάδε, οὕτως ἄν τινα καὶ τὰ ἐκεῖ κατιδεῖν, καὶ εἰ ἡ φύσις ἱκανὴ εἴη ἀνέχεσθαι θεωροῦσα, γνῶναι ἂν ὅτι ἐκεῖνός ἐστιν ὁ ἀληθῶς οὐρανὸς, καὶ τὸ ἀληθῶς φῶς.

ὅτι ἐκεῖνός ἐστιν ὁ ἀληθῶς οὐρανὸς, καὶ τὸ ἀληθινὸν φῶς·« τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς τὰ περὶ τῆς ἁγίας καὶ ἀγαθῆς γῆς, καὶ τῆς ἐν αὐτῇ πόλεως τοῦ θεοῦ, οὐ κατὰ τὴν ἐνεστῶσαν νομίζοντες εἶναι πραγματείαν σαφηνίσαι, ὑπερτιθέμεθα εἰς τὰ ἐξηγητικὰ τῶν προφητῶν· ἀπὸ μέρους, κατὰ τὸ δυνατὸν ἡμῖν, διηγησάμενοι περὶ πόλεως θεοῦ ἐν τοῖς πραγματευθεῖσιν ἡμῖν εἰς τὸν τεσσαρακοστὸν πέμπτον ψαλμὸν, καὶ τὸν τεσσαρακοστὸν ἕβδομον ψαλμόν. Οἷδε δὲ ὁ ἀρχαιότατος Μωϋσέως καὶ τῶν προφητῶν λόγος τὰ ἀληθινὰ πάντα ὁμώνυμα τοῖς τῇδε καθολικωτέροις· οἷον, ἀληθινὸν[1]) φῶς, καὶ οὐρανὸν[2]) ἕτερον παρὰ τὸ στερέωμα, καὶ τὸν τῆς δικαιοσύνης[3]) ἥλιον ἄλλον παρὰ τὸν αἰσθητόν. Καὶ ἁπαξαπλῶς δέ[4]) φησι πρὸς ἀντιδιαστολὴν τῶν αἰσθητῶν, ὧν οὐδέν ἐστιν ἀληθινὸν, τό· »θεὸς,[5]) ἀληθινὰ τὰ ἔργα αὐτοῦ·« ἐπ' ἄλλων μὲν τάσσων τὰ ἔργα τοῦ θεοῦ, ἐπὶ ἠττόνων δὲ τὰ λεγόμενα ἔργα[6]) τῶν χειρῶν αὐτοῦ. Μεμφόμενος γοῦν τισι διὰ τοῦ Ἡσαΐου φησί· »τὰ[7]) ἔργα κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι.« Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

32. Ἐπεὶ[8]) δὲ τὸν περὶ τῆς ἀναστάσεως λόγον πολὺν ὄντα, καὶ δυσερμήνευτον, καὶ δεόμενον σοφοῦ, εἴπερ τι ἄλλο τῶν δογμάτων, καὶ ἐπὶ πλεῖον διαβεβηκότος· ἵνα τὸ ἄξιον τοῦ θεοῦ παρασήσῃ, καὶ τὸ μεγαλοφυὲς τοῦ δόγματος, διδάσκοντος λόγον ἔχειν σπέρματος τὸ καλούμενον κατὰ τὰς γραφὰς σκῆνος τῆς ψυχῆς, ἐν[9]) ᾧ οἱ δίκαιοι ὄντες στενάζουσι βαρούμενοι, μὴ θέ-

[1]) Cfr. I Joann. II, 8. [2]) Cfr. Hebr. IX, 24.

[3]) Cfr. Malach. IV, 2.

[4]) Hoeschel. et Spencerus: *δέ φησιν, ὅτι.* Jam Boherell. vero, quem Ruaeus sequitur: »Delendum videtur: *ὅτι.*«

[5]) Cfr. Dan. IV, 34. coll. IX, 14.

[6]) Cfr. Psalm. CII, 25. [7]) Jesai. V, 12.

[8]) Edd. Spenc. ad marg. *ἐπὶ δέ.*

[9]) Cfr. II Cor. V, 4.

λοντες αὐτὸ ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι· μὴ νοήσας ὁ Κέλσος, τῷ [1]) ἀπὸ ἰδιωτῶν, καὶ (353) μηδενὶ λόγῳ παρασιῆσαι δυναμένων ἀκηκοέναι περὶ αὐτοῦ, χλευάζει τὸ λεγόμενον· χρήσιμον πρὸς τοῖς ἀνωτέρω εἰρημένοις ἡμῖν περὶ τούτου, τοῦτο μόνον ὑποσημειώσασθαι πρὸς τὸν λόγον, ὅτι οὐχ, ὡς οἴεται Κέλσος, τῆς μετενσωματώσεως παρακούσαντες τὰ περὶ ἀναστάσεώς φαμεν· ἀλλ' εἰδότες, ὅτι ἡ τῇ ἑαυτῆς φύσει ἀσώματος καὶ ἀόρατος ψυχὴ, ἐν παντὶ σωματικῷ τόπῳ τυγχάνουσα, δέεται σώματος οἰκείου τῇ φύσει τῷ [2]) τόπῳ ἐκείνῳ· ὅπερ ὅπου μὲν φορεῖ ἀπεκδυσαμένη τὸ [3]) πρότερον ἀναγκαῖον μὲν, περισσὸν δὲ ὡς πρὸς τὰ δεύτερα· ὅπου δὲ ἐπενδυσαμένη ᾧ [4]) πρότερον εἶχε, δεομένη κρείττονος ἐνδύματος εἰς τοὺς καθαρωτέρους καὶ αἰθερίους καὶ οὐρανίους τόπους. Καὶ ἀπεξεδύσατο μὲν ἐπὶ τὴν τῇδε γένεσιν ἐρχομένη τὸ χρήσιμον πρὸς [5]) τὴν ἐν τῇ ὑστέρᾳ τῆς κυούσης, ἕως ἦν ἐν [6]) αὐτῇ, χωρίον· [7]) ἐνεδύσατο δὲ ὑπ' ἐκεῖνο [8]) ὃ ἦν ἀναγκαῖον τῷ ἐπὶ γῆς μέλλοντι διαζῆν. Εἶτα πάλιν ὄντος τινὸς σκήνους [9]) καὶ [10]) ἐπι-

---

[1]) Ita recte Cod. Jolianus. Hoeschel. autem et Spencerus: τὸ ἀπὸ ἰδιωτῶν. R. — Jam Boherellus: »Lego: τῷ, ut jungatur cum ἀκηκοέναι, quod statim sequitur.«

[2]) Hoeschel. in textu, Spenc. ad marg. τοῦ τόπου ἐκείνου.

[3]) Deest τό in edd. Spenc. Jam Boherell. vero: »Praeponendum puto: τό.«

[4]) Cod. Jolian. ὃ πρότερον εἶχε, δεομένη. Hoeschel. et Spencer. ᾧ πρότερον εἶχε, δεομένῳ. R.

[5]) Boherellus: »Nempe ψυχήν.«

[6]) Boherellus: »Verba: ἐν αὐτῇ, referenda sunt ad verba: ἐν τῇ ὑστέρᾳ.«

[7]) Cfr. lib. IV. contra Cels. num. 74.

[8]) Boherellus: »Scilicet: χωρίον.«

[9]) Cfr. II Cor. V, 1.

[10]) Deest καί in edd. Spenceri. — Cfr. pag. 50. not. 1.

γείου οἰκίας, ἀναγκαίας που τῷ σκήνει·[1]) καταλύεσθαι μέν φασιν[2]) οἱ λόγοι τὴν ἐπίγειον οἰκίαν τοῦ σκήνους, τὸ δὲ σκῆνος ἐπενδύσασθαι[3]) οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς. Λέγουσι δὲ οἱ τοῦ θεοῦ ἄνθρωποι, τὸ μὲν φθαρτὸν[4]) ἐνδύσασθαι ἀφθαρσίαν, τὴν διαφέρουσαν τοῦ ἀφθάρτου· τὸ δὲ θνητὸν ἐνδύσασθαι ἀθανασίαν, ἕτερον τυγχάνον[5]) τοῦ ἀθανάτου. Ὅν γὰρ λόγον ἔχει σοφία πρὸς τὸ σοφὸν, καὶ δικαιοσύνη πρὸς τὸ δίκαιον, καὶ εἰρήνη πρὸς τὸ εἰρηνικόν· τοῦτον τὸν λόγον ἀφθαρσία μὲν πρὸς ἄφθαρτον, ἀθανασία δὲ πρὸς ἀθάνατον. Ὅρα οὖν ἐφ' οἷα προτρέπει ὁ λόγος, ἐνδύσασθαι[6]) λέγων τὴν ἀφθαρσίαν καὶ τὴν ἀθανασίαν· ἅτινα, ὡς ἐνδύματα τῷ ἐνδυσαμένῳ καὶ περιεχομένῳ τῶν τοιούτων ἐνδυμάτων, οὐκ ἐᾷ φθαρῆναι ἢ ἀποθανεῖν τὸν περικείμενον αὐτά. Καὶ ταῦτα δ' ἡμῖν ἀποτετολμήσθω, διὰ τὸν μὴ νοήσαντα ὅ, τί ποτε λέγομεν[7]) τὴν ἀνάστασιν, καὶ διὰ τοῦτο γελῶντα καὶ χλευάζοντα[8]) ὃν οὐκ οἶδε λόγον.

33. Οἰόμενος δ' ἡμᾶς, διὰ τὸ γνῶναι καὶ ἰδεῖν

---

[1]) Edd. Spenc., uncis voc. καί appositis: σκήνει· καὶ καταλύεσθαι. Jam Boherell. vero: »Vocula καί collocanda est initio versus, ante ἐπιγείου, ut sit: καὶ ἐπιγείου οἰκίας, quae simul jungenda sunt, quemadmodum in seqq., et apud Paulum. — Cfr. pag. 49. not. 10.

[2]) Cfr. II Cor. V, 1. coll. I Cor. XV, 53.

[3]) Boherellus: »Forte: ἐπενδύσεσθαι. Quamquam nihil muto. Nam sic in seqq., et apud Paulum.

[4]) Cfr. I Cor. XV, 53. — Edd. Spenc. φθαρτὸν ἐνδύσασθαι αὐτὸ ἀφθαρσίαν.

[5]) Boherellus: »Malim: τυγχάνουσαν, ut modo dixit: τὴν διαφέρουσαν.«

[6]) Cfr. I Cor. XV, 53.

[7]) Cfr. Jolian. λεγόμεν. Hoeschel. et Spenc. λεγόμενον. R.

[8]) Mss. (itemq. edd. Spenc. ad marg.) χλευάζοντα ὃν οὐκ οἶδε λόγον. Hoeschel. et Spenc. χλευάζοντα ὃ οὐκ οἶδε λεγόμενον. R.

τὸν θεὸν, πρεσβεύειν τὰ περὶ τῆς ἀναστάσεως, συνείρει [1]) ἑαυτῷ ἃ βούλεται, καὶ τοιαῦτά φησιν· »Ὅταν δὴ πάντοθεν ἐξείργωνται καὶ διελέγχωνται· πάλιν, ὥσπερ οὐδὲν ἀκηκοότες, ἐπανίασιν ἐπὶ τὸ αὐτὸ ἐρώτημα· Πῶς οὖν γνῶμεν καὶ ἴδωμεν τὸν θεόν; καὶ πῶς ἴωμεν πρὸς αὐτόν;« Ἴστω οὖν ὁ βουλόμενος, ὅτι κἂν εἰς ἄλλα δεώμεθα σώματος, τῷ ἐν τόπῳ σωματικῷ [2]) τυγχάνειν, καὶ τοιούτου, ὁποία ἐστὶν ἡ φύσις τοῦ σωματικοῦ τόπου, καὶ δεόμενοι τοῦ σώματος ἐπενδυόμεθα [3]) τῷ σκήνει τὰ προειρημένα· ἀλλ' εἰς γνῶσίν γε θεοῦ σώματος οὐδαμῶς χρήζομεν. Τὸ γὰρ γιγνῶσκον θεὸν, οὐκ ὀφθαλμός ἐστι σώματος, ἀλλὰ νοῦς, ὁρῶν [4]) τὸ κατ' εἰκόνα τοῦ (354) κτίσαντος, καὶ τὸ δυνάμενον γιγνώσκειν θεὸν προνοίᾳ θεοῦ ἀνειληφώς. Καὶ τὸ ὁρῶν δὲ θεὸν, καθαρά ἐστι καρδία, ἀφ' ἧς οὐκέτι »ἐξέρχονται [5]) διαλογισμοὶ πονηροὶ, οὐ φόνοι, οὐ μοιχεῖαι, οὐ πορνεῖαι, οὐ κλοπαὶ, οὐ ψευδομαρτυρίαι, οὐ βλασφημίαι,« οὐκ »ὀφθαλμὸς [6]) πονηρὸς,« οὐδ' ἄλλο τι τῶν ἀτόπων· δι' ἃ λέγεται· »μακάριοι [7]) οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.« Ἐπεὶ δ' οὐκ αὐτάρκης ἡ ἡμετέρα προαίρεσις πρὸς τὸ πάντη καθαρὰν ἔχειν τὴν καρδίαν, ἀλλὰ θεοῦ ἡμῖν δεῖ, κτίζοντος αὐτὴν τοιαύτην· διὰ τοῦτο λέγεται ὑπὸ τοῦ ἐπισταμένως εὐχομένου· »καρδίαν [8]) καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός.«

34. Ἀλλ' οὐδ', ὡς ἐν τόπῳ ὄντος τοῦ θεοῦ, πεμπόμεθά τινος, καὶ ἐροῦμεν· »πῶς ἴωμεν πρὸς αὐτόν;«

---

[1]) Cfr. libri huj. num. 27.

[2]) Mss. (itemq. Spenc. ad marg.) σωματικῷ. Hoeschel. et Spencer. (in textu): σωματικῶς. R.

[3]) Boherellus, quocum Ruaeus facit: »Lege: ἐπενδυώμεθα, ut referatur ad praecedens: δεώμεθα. R.

[4]) Lego: ὃ ὤν, et ita legit Gelenius. R.

[5]) Cfr. Matth. XV, 19.

[6]) Cfr. Matth. VI, 23. [7]) Matth. V, 8.

[8]) Psalm. LI, 10. (L.)

Κρείττων γὰρ ὁ θεὸς παντὸς τόπου, καὶ περιεκτικὸς παντὸς οὐτινοσοῦν· καὶ οὐδέν ἐστι τὸ περιέχον τὸν θεόν. Τὸ ἐέναι οὖν πρὸς τὸν θεὸν οὐ σωματικῶς προστέτακται ἡμῖν· τό· »ὀπίσω [1]) κυρίου τοῦ θεοῦ σου πορεύσῃ·« οὐδὲ σωματικῶς ὁ προφήτης, κολληθεὶς τῷ θεῷ, φησὶν ἐν τῇ εὐχῇ· »ἐκολλήθη [2]) ὀπίσω σου ἡ ψυχή μου.« Καταψεύδεται οὖν ἡμῶν Κέλσος, λέγων »προσδέχεσθαι ἡμᾶς ὀφθαλμοῖς σώματος θεὸν ὄψεσθαι, καὶ ὠσὶ τῆς φωνῆς αὐτοῦ ἀκούσεσθαι, [3]) καὶ χερσὶν αἰσθηταῖς ψαύσειν [4]) αὐτοῦ.« Οἴδαμεν δὲ ὁμωνύμως τοῖς σώματος ὀφθαλμοῖς λεγομένους ὑπὸ τῶν θείων λόγων ὀφθαλμοὺς, ὁμοίως δὲ καὶ τὰ ὦτα, καὶ τὰς χεῖρας, καὶ τὸ τούτων παραδοξότερον, αἴσθησιν θειοτέραν, καὶ ἑτεροίαν παρὰ τὴν συνήθως ὑπὸ τῶν πολλῶν ὀνομαζομένην. Ἐπὰν γὰρ λέγῃ [5]) ὁ προφήτης· »ἀποκάλυψον [6]) τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσιά σου ἐκ τοῦ νόμου σου·« ἢ· »ἡ [7]) ἐντολὴ κυρίου τηλαυγὴς, φωτίζουσα ὀφθαλμούς·« ἢ· »φώτισον [8]) τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον·« οὐχ οὕτω τις ἐμβρόντητός ἐστιν, ὡς νομίζειν ὀφθαλμοῖς σώματος κατανοεῖσθαι τὰ θαυμάσια τοῦ θείου νόμου, ἢ τὴν τοῦ κυρίου ἐντολὴν φωτιστικὴν εἶναι τῶν τοῦ σώματος ἐφθαλμῶν, ἢ ὕπνον θανάτου ἐποιστικὸν συμβαίνειν περὶ τοὺς τοῦ σώματος ὀφθαλμούς. Ἀλλὰ καὶ, ἐπὰν λέγῃ ὁ σωτὴρ ἡμῶν· »ὁ [9]) ἔχων ὦτα ἀκούειν, ἀκου-

---

[1]) Cfr. Deut. XIII, 4.

[2]) Cfr. Psalm. LXIII, 8. (LXII.)

[3]) Cod. Reg. (itemq. Boherell.) *ἀκούσεσθαι*. Hoeschel. et Spenc. *ἀκούεσθαι*. R.

[4]) Edd. Spenc. et Ruaei: *ψαύειν*. Jam Boherell. vero, quocum Ruaeus facit: »Malim: *ψαύσειν*.«

[5]) Hoeschel. et Spenc. *λέγει*. At Mss. rectius: *λέγῃ*. R. [6]) Psalm. CXIX, 18. (CXVIII.)

[7]) Psalm. XIX, 8. (XVIII.)

[8]) Psalm. XIII, 3. (XII.) [9]) Matth. XIII, 9.

ἑτω· « καὶ ὁ τυχὼν συνίησι περὶ θειοτέρων ταῦτα λέγεσθαι ὤτων. Κἂν λέγηται [1]) λόγος κυρίου γεγονέναι ἐν χειρὶ Ἱερεμίου τοῦ προφήτου, ἢ ἄλλου τινός· ἢ νόμος ἐν χειρὶ Μωϋσέως·[2]) ἢ ὅτι »ταῖς[3]) χερσί μου ἐξήτησα τὸν θεὸν, καὶ οὐκ ἠπατήθην·« οὐχ οὕτως ἐστί τις ἀνόητος, ὡς μὴ ἐκλαμβάνειν χεῖράς τινας εἶναι τροπικῶς καλουμένας, περὶ ὧν καὶ Ἰωάννης λέγει· »αἱ[4]) χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς.« Εἰ δὲ καὶ περὶ τῆς κρείττονος αἰσθήσεως καὶ οὐ σωματικῆς βούλει ἀπὸ τῶν ἱερῶν γραμμάτων μαθεῖν, ἄκουσον Σολομῶντος ἐν ταῖς Παροιμίαις λέγοντος· »αἴσθησιν[5]) θείαν εὑρήσεις.«

35. Οὐ χρεία τοίνυν ἡμῖν, ὡς οὕτω ζητοῦσι τὸν θεὸν, ἀπιέναι, ὅπου (355) ἡμᾶς πέμπει ὁ Κέλσος, εἰς Τροφωνίου, καὶ εἰς Ἀμφιάρεω, καὶ εἰς Μόψου· ἔνθα φησὶν »ἀνθρωποειδεῖς θεωρεῖσθαι θεοὺς, καὶ, ὡς λέγει ὁ Κέλσος, οὐ ψευδομένους, ἀλλὰ καὶ ἐναργεῖς.« Ἴσμεν γὰρ ἡμεῖς τούτους δαίμονας ὄντας, τρεφομένους κνίσσαις καὶ αἵμασι, καὶ ταῖς ἀπὸ τῶν θυσιῶν ἀναθυμιάσεσι, καὶ οὕτω παρακατεχομένους ἐν τοῖς ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν κατασκευασθεῖσι δεσμωτηρίοις· ἅτινα ἱερὰ θεῶν Ἕλληνες νενομίκασιν, ἀλλ' ἡμεῖς ἴσμεν ἀπατεώνων δαιμόνων εἶναι τὰ τοιαῦτα οἰκητήρια. Μετὰ ταῦτα κακοήθως ὁ Κέλσος φησὶ περὶ τῶν προειρημένων ἀνθρωποειδῶν κατ' αὐτὸν θεῶν, ὅτι »ὄψεταί τις αὐτοὺς οὐχ ἅπαξ παραῤῥυέντας, ὥσπερ τὸν τούτους ἐξαπατήσαντα· ἀλλ' ἀεὶ τοῖς βουλομένοις ὁμιλοῦντας.« Καὶ

---

[1]) Cfr. Jerem. I, 1. coll. 9.

[2]) Edd. Spenc. et Ruaei: *Μωϋσῆ*. Jam Boherell. vero: »Malim: *Μωϋσέως*.« — Cfr. Levit. VIII, 36. coll. Num. XVI, 40.

[3]) Cfr. Psalm. LXXVII, 2. (LXXVI.)

[4]) I Joann. I, 1.

[5]) Cfr. Prov. II, 5. — Hodie apud LXX. interpretes legitnr: *ἐπίγνωσιν θεοῦ εὑρήσεις*.

ἔοικέ γε διὰ τούτων φάσμα μὲν νενομικέναι τὸν Ἰησοῦν, μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἐπιφανέντα τοῖς μαθηταῖς, ὡσπερεὶ παραῤῥεύσαντα πρὸς τὸ ὀφθῆναι αὐτοῖς. Οὓς δ' ὠνόμασε λέγων »ἀνθρωποειδεῖς θεούς,« τούτους οἴεται »ἀεὶ τοῖς βουλομένοις ὁμιλεῖν.« Πῶς δὲ δύναται φάσμα, ὥς φησιν αὐτὸς, παραῤῥὺὲν ἐπ' ἀπάτῃ τῶν θεασαμένων, καὶ μετὰ τὴν τότε ὄψιν τοσαῦτα ἐνεργεῖν, καὶ ἐπιστρέφειν τὰς τῶν τοιούτων ψυχὰς, καὶ πειθὼ ἐμποιεῖν αὐταῖς [1]) περὶ τοῦ πάντα δεῖν ἀρεσκόντως πράττειν θεῷ, ὡς κριθησομένους; Πῶς δὲ φάσμα ὀνομασθὲν ἀπελαύνει δαιμόνια, καὶ ἄλλας οὐκ εὐκαταφρονήτους ἐνεργείας ἐνεργεῖ· οὐχ ἕνα κεκληρωμένον [2]) τόπον, ὡς οἱ κατ' αὐτὸν ἀνθρωποειδεῖς θεοὶ, ἀλλὰ διῆκον ἐπὶ πᾶσαν τὴν οἰκουμένην, καὶ συνάγον, καὶ ἕλκον τῇ αὐτοῦ θειότητι οὓς ἂν εὕροι πρὸς τὸν καλὸν βίον κλίναντας ἑαυτούς;

36. *Μετὰ ταῦτα, πρὸς ἃ κατὰ τὸ δυνατὸν εἰρήκαμεν, τοιαῦτα πάλιν ὁ Κέλσος φησίν·* »Οἱ δὲ καὶ πάλιν εἰρήσονται· Πῶς αἰσθήσει μὴ καταλαμβανόμενοι γνώσονται τὸν θεόν; Τί χωρὶς αἰσθήσεως μαθεῖν ἐστι δυνατόν;« *Εἶτα πρὸς ταῦτα ἀποκρινόμενός φησιν·* »Οὐκ ἀνθρώπου μὲν, οὐδὲ τῆς ψυχῆς, ἀλλὰ σαρκὸς ἡ φωνή. Ὅμως δ' οὖν ἀκουσάτωσαν, εἴ τι καὶ ἐπαΐειν δύνανται ὡς [3]) δειλὸν καὶ φιλοσώματον γένος· ἐὰν αἰσθήσει μύσαντες ἀναβλέψητε [4]) νῷ, καὶ σαρκὸς ἀπο-

---

[1]) Boherellus: »Lege: αὐτοῖς, nam sequitur: κριθησομένους.« Spenc. in notis: »Forte legendum,« etc.

[2]) Sic recte omnino habent Codd. Reg. Basil. Jolianus, et Anglicanus secundus. Praecedit enim τὸ φάσμα. Male ergo Hoeschel. et Spencerus: κεκληρωμένος τόπον, ὡς οἱ κατ' αὐτὸν ἀνθρωποειδεῖς θεοὶ, ἀλλὰ διήκων ἐπὶ πᾶσαν τὴν οἰκουμένην, καὶ συνάγων, καὶ ἕλκων κτλ. R.

[3]) Boherellus: »Et hic, et num. 39. vertit interpres, quasi legatur: ὦ δειλόν.«

[4]) Edd. Spenc. ad marg. ἀναβλέψαντες.

στραφέντες ὀφθαλμὸν[1]) τὸν τῆς ψυχῆς ἐγείρητε, μόνως οὕτω τὸν θεὸν ὄψεσθε. Κἂν ἡγεμόνα ταύτης τῆς ὁδοῦ ζητῆτε, φευκτέοι μὲν ὑμῖν οἱ πλάνοι καὶ γόητες, καὶ τὰ εἴδωλα προμνώμενοι· ἵνα μὴ πανιάπασιν ἦτε καταγέλαστοι, τοὺς μὲν ἄλλους, τοὺς δεικνυμένους θεοὺς, ὡς εἴδωλα βλασφημοῦντες, τὸν δὲ καὶ αὐτῶν[2]) ὡς ἀληθῶς εἰδώλων ἀθλιώτερον, καὶ μηδὲ εἴδωλον ἔτι, ἀλλ' ὄντως[3]) νεκρὸν σέβοντες, καὶ πατέρα ὅμοιον αὐτῷ ζητοῦντες.« Καὶ πρῶτόν γε λεκτέον πρὸς τὴν προσωποποιΐαν αὐτοῦ, περιτιθέντος ἡμῖν λόγους, ὡς ὑφ' ἡμῶν λεγομένους εἰς τὴν περὶ ἀναστάσεως σαρκὸς ἀπολογίαν, ὅτι ἀρετὴ μὲν (356) προσωποποιοῦντός ἐστι, τηρῆσαι τὸ βούλημα καὶ τὸ ἦθος τοῦ προσωποποιουμένου· κακία δὲ, ὅτε τὰ μὴ ἁρμόζοντά τις περιτίθησι ῥήματα τῷ προσώπῳ τοῦ λέγοντος. Καὶ ἐπίσης γε ψεκτοὶ οἱ ἐν προσωποποιΐᾳ βαρβάροις, καὶ ἀπαιδεύτοις, ἢ οἰκότριψιν, ἢ καὶ μηδέ ποτε φιλοσόφων λόγων ἀκηκοόσι, μηδὲ εὖ εἰρηκόσιν αὐτοὺς, περιτιθέντες φιλοσοφίαν·[4]) ἣν ἔμαθε μὲν ὁ προσωποποιῶν, οὐκ εἰκὸς δὲ ἦν εἰδέναι τὸν προσωποποιούμενον· καὶ πάλιν αὖ οἱ τοῖς καθ' ὑπόθεσιν ὑποκειμένοις σοφοῖς, καὶ τὰ θεῖα ἐγνωκόσι περιτιθέντες τὰ[5]) ἀπὸ ἰδιωτικῶν παθῶν[6]) ὑπὸ ἀπαιδεύτων λεγόμενα, καὶ ἀπὸ ἀγνοίας ἀπαγγελλόμενα.

---

[1]) Mss. et Hoeschel. (itemq. Spenc. ad marg.) *ψυχῆς ὀφθαλμοὺς ἐγείρητε*, Spencer. vero (in textu): *ὀφθαλμὸν τὸν τῆς ψυχῆς ἐγείρητε*, ut infra num. 39. R.

[2]) Hoeschel. in textu (Spenc. ad marg.) *αὐτόν*, quod placet Guieto, ut referatur ad Jesum. R.

[3]) Edd. Spenc. et Ruaei in textu: *ὡς νεκρόν*. Jam Boherell. vero, quocum Ruaeus facit: »Lege: *ὄντως νεκρόν*, ut infra num. 40.«

[4]) Hoeschel. et Spenc. in marg. *φυσιολογίαν*.

[5]) Hoeschel. et Spencer. *τὰ ὑπό*, sed Mss. rectius: *τὰ ἀπό*. R

[6]) Boherellus: »Malim: *παθῶν ἀπό*.«

Ὅθεν Ὅμηρος μὲν ἐν πολλοῖς θαυμάζεται, τηρήσας τὰ τῶν ἡρώων πρόσωπα, ὁποῖα αὐτὰ ὑπέθετο ἀπ' ἀρχῆς, οἷον τὸ Νέστορος, ἢ τὸ Ὀδυσσέως, ἢ τὸ Διομήδους, ἢ τὸ Ἀγαμέμνονος, ἢ Τηλεμάχου, ἢ Πηνελόπης, ἤ τινος τῶν λοιπῶν· Εὐριπίδης δὲ ὑπὸ Ἀριστοφάνους [1]) κωμῳδεῖται, ὡς ἀκαιροβρήμων, διὰ τὸ πολλάκις περιτεθεικέναι λόγους δογμάτων, ὧν ἀπὸ Ἀναξαγόρου ἤ τινος ἔμαθε τῶν σοφῶν, βαρβάροις γυναιξὶν, ἢ οἰκέταις.

37. Εἴπερ δὲ τοιαύτη μὲν ἡ ἐν τῷ προσωποποιεῖν ἀρετὴ, τοιαδὶ δὲ ἡ κακία· πῶς οὐκ εὐλόγως τις καταγελάσεται Κέλσου, Χριστιανοῖς περιτιθέντος τὰ μὴ ὑπὸ Χριστιανῶν λεγόμενα; Εἰ μὲν γὰρ ἰδιωτῶν ἀνέπλασσε λόγους· πόθεν τοῖς τοιούτοις δύνασθαι διακρίνειν αἴσθησιν ἀπὸ τοῦ νοῦ, καὶ αἰσθητὰ νοητῶν, καὶ δογματίζειν παραπλησίως τοῖς ἀναιροῦσι νοητὰς [2]) οὐσίας Στωϊκοῖς, περὶ [3]) τοῦ αἰσθήσει καταλαμβάνεσθαι τὰ καταλαμβανόμενα, καὶ πᾶσαν κατάληψιν ἠρτῆσθαι τῶν αἰσθήσεων; Εἰ δὲ ἀναπλάσσει λόγους τῶν φιλοσοφούντων, καὶ ἐπιμελῶς, ὅση δύναμις, ἐξεταζόντων

[1]) Aristophan. in Acharnens. pag. 391. seqq.

[2]) Hoeschel. in textu (Spenc. ad marg.) male: *νοητῶν οὐσιῶν Στωϊκοῖς*. R.

[3]) Hoeschel. et Spenc. male: *περὶ τοῦ αἴσθησιν καταλαμβάνεσθαι*. — Huc pertinet, Spencero praeeunte, illud Tull. lib. I. Academ. Quaest. »Sed inter scientiam et inscientiam, comprehensionem illam, quam dixi, collocabat, eamque neque in rectis, neque in pravis numerabat, sed soli credendum esse dicebat. E quo sensibus etiam fidem tribuebat, quod, ut supra dixi, comprehensio, facta sensibus, et vera esse illi, et fidelis videbatur: non quod omnia quae essent in re comprehenderet; sed quia nihil, quod cadere in eam posset, relinqueret, quodque natura quasi normam scientiae et principium sui dedisset, unde postea notiones rerum in animis imprimerentur, e quibus non principia solum, sed latiores quaedam ad rationem inveniendam viae reperiuntur,« etc. Et lib. IV. Academ. Quaest. »Dicunt enim Stoïci sensus ipsos assensus esse, quos, quoniam appetitio consequatur, actionem sequi; tolli autem omnia si visa tollantur.«

τὰ Χριστοῦ· οὐδὲ τούτοις ἀκόλουθα πεποίηκεν. Οὐδεὶς γὰρ, μαθὼν ἀόρατον εἶναι τὸν θεὸν, καὶ εἶναί τινα δημιουργήματα ἀόρατα, τουτέστι νοητὰ, λέγοι ἄν, ὡς ἀπολογούμενος περὶ τῶν κατὰ τὴν ἀνάστασιν, τό· »Πῶς[1]) αἰσθήσει μὴ καταλαμβανόμενοι γνώσονται τὸν θεόν;« ἢ· »Τί χωρὶς αἰσθήσεως μαθεῖν δυνατόν ἐστιν;« Καὶ οὐκ ἐν ἀνακεχωρηκόσι καὶ ἀναγινωσκομένοις ὑπὸ ὀλίγων μόνον καὶ φιλομαθῶν, ἀλλ' ἐν τοῖς δημωδεστέροις γέγραπται, ὅτι »τὰ[2]) ἀόρατα τοῦ θεοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται.« Διὸ ὧν ἐστιν εἰδέναι, ὅτι εἰ καὶ τοὺς ἐν βίῳ ἀνθρώπους χρὴ ἀπὸ[3]) αἰσθήσεων ἄρξασθαι καὶ τῶν αἰσθητῶν, μέλλοντας ἀναβαίνειν ἐπὶ τὴν τῶν νοητῶν φύσιν· ἀλλ' οὔτι γε ἐν αἰσθητοῖς καταμένειν χρή. Οὔτε χωρὶς αἰσθήσεως ἐροῦσιν ἀδύνατον εἶναι μαθεῖν τὰ νοητά· χρώμενοι δὲ τῷ· »Τίς[4]) χωρὶς αἰσθήσεως μαθεῖν δυνατός ἐστιν;« ἐλέγξουσιν οὐκ εὐλόγως τοῦτο[5]) ὑπὸ τοῦ Κέλσου ἐπιφέρεσθαι τό· »οὐκ ἀνθρώπου μὲν, οὐδὲ ψυχῆς, ἀλλὰ γὰρ σαρκὸς φωνή.«

38. Νοῦν (357) τοίνυν, ἢ ἐπέκεινα νοῦ καὶ οὐσίας, λέγοντες εἶναι ἁπλοῦν, καὶ ἀόρατον, καὶ ἀσώματον, τὸν τῶν ὅλων θεὸν, οὐκ[6]) ἂν ἄλλῳ τινὶ, ἢ τῷ κατὰ

---

[1]) Hoeschel. et Spencer. *Πῶς αἰσθήσεσι μὴ καταλαμβανόμενον κτλ.* At Codd. Reg. et Basil. ut in nostro textu, sicque ipsimet Hoeschel. et Spencer. habent numero praecedenti. R.

[2]) Rom. I, 20.

[3]) Hoeschel. in textu, Spenc. ad marg. *ὑπὸ αἰσθήσεων.*

[4]) Paulo supra legitur: *Τί χωρὶς αἰσθήσεως μαθεῖν δυνατόν ἐστιν.* Cfr. etiam lib. huj. num. 36.

[5]) Boherellus »Lego: *τούτῳ.*«

[6]) Guietus existimat scribendum forte: *οὐκ ἂν ἄλλῳ τινὶ ἢ τῷ κατὰ τὴν ἐκείνου εἰκόνα γενομένῳ νῷ, φήσομεν.* Itaque verba: *τοῦ νοῦ*, pro mero imperiti glossemate habet. Scribendum enim erat, inquit, *τοῦ θεοῦ*, non *τοῦ νοῦ*. R.

τὴν ἐκείνου τοῦ νοῦ εἰκόνα γενομένῳ, φήσομεν καταλαμβάνεσθαι τὸν θεόν· νῦν μὲν, ἵνα τῇ λέξει χρήσωμαι[1]) τοῦ Παύλου· »δι'[2]) ἐσόπτρου καὶ αἰνίγματος, τότε δὲ πρόσωπον πρὸς πρόσωπον.« Πρόσωπον δὲ ἐὰν λέγω, μὴ συκοφαντείτω τις διὰ τὴν λέξιν τὸν δηλούμενον νοῦν ὑπ' αὐτῆς· ἀλλὰ μανθανέτω ἐν τῷ· »ἀνακεκαλυμμένῳ[3]) προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι, καὶ[4]) τὴν αὐτὴν εἰκόνα μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν·« οὐ πρόσωπον αἰσθητὸν ἐν τοῖς τοιούτοις παραλαμβανόμενον, ἀλλὰ κατὰ τροπολογίαν νοούμενον, ὡς καὶ ὀφθαλμοὺς, καὶ ὦτα, καὶ ὅσα ἐν τοῖς ἀνωτέρω[5]) ὁμώνυμα τοῖς τοῦ σώματος μέλεσι παρεστήσαμεν. Καὶ ἄνθρωπος μὲν οὖν, τουτέστι ψυχὴ χρωμένη σώματι, λεγόμενη ὁ ἔσω[6]) ἄνθρωπος, ἀλλὰ καὶ ψυχὴ, ἀποκρίνεται, οὐχ ἅπερ Κέλσος ἀνέγραψεν· ἀλλ' ἅπερ αὐτὸς διδάσκει ὁ τοῦ θεοῦ ἄνθρωπος. Σαρκὸς δὲ φωνῇ οὐκ ἂν Χριστιανὸς χρήσαιτο, μαθὼν »πνεύματι[7]) τὰς πράξεις τοῦ σώματος« θανατοῦν, καὶ »πάντοτε[8]) τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι« περιφέρειν· καί· »νεκρώσατε[9]) τὰ μέλη τὰ ἐπὶ τῆς γῆς·« καὶ εἰδὼς τί δηλοῦται ἐκ τοῦ· »οὐ[10]) μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ

---

[1]) Mss. (itemq. Boherell.) *χρήσωμαι*. Hoeschel. et Spencer. *χρήσομαι*. R.

[2]) Cfr. I Cor. XIII, 12. — Codd. Reg. et Basil. *δι' ἐσόπτρου καὶ αἰνίγματος*. Hoeschel. et Spencer. *δι' ἐσόπτρου καὶ αἰνίγματι*. Vulgata: *δι' ἐσόπτρου ἐν αἰνίγματι*. R.

[3]) Cfr. II Cor. III, 18.

[4]) Uncis inclusum legitur: *καί* in edd. Spenc.

[5]) Cfr. lib. IV. contra Cels. num. 37. coll. lib. VI. num. 61. et 62.

[6]) Cfr. Rom. VII, 22. coll. Ephes. III, 16.

[7]) Cfr. Rom. VIII, 13. [8]) Cfr. II Cor. IV, 10.

[9]) Cfr. Coloss. III, 5. [10]) Gen. VI, 3.

τὸ εἶναι αὐτοὺς σάρκας· « ἐπιστάμενος δὲ καὶ, ὅτι »οἱ [1]) ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύνανται·« καὶ διὰ τοῦτο πάντα πράττων, εἰς τὸ μηδαμῶς αὐτὸν ἔτι εἶναι »ἐν τῇ σαρκὶ,« ἀλλ' »ἐν μόνῳ τῷ πνεύματι.«

39. Ἴδωμεν δὲ καὶ ἐπὶ τίνα ἡμᾶς καλεῖ, ἵν' αὐτοῦ ἀκούσωμεν, τίνι τρόπῳ γνωσόμεθα τὸν θεόν· ἐφ' οἷς οἴεται μηδένα Χριστιανῶν ἐπαΐειν δύνασθαι τῶν ὑπ' αὐτοῦ λεγομένων· φησὶ γάρ· »Ὅμως δ' οὖν ἀκουσάτωσαν, εἴ τι καὶ ἐπαΐειν δύνανται.« Τίνων οὖν ἡμᾶς ἀκούειν ὑπ' αὐτοῦ λεγομένων βούλεται, κατανοητέον, ὁ φιλόσοφος. Δέον διδάσκειν ἡμᾶς, ὁ δὲ διαλοιδορεῖται· καὶ δέον εὔνοιαν ἑαυτοῦ δεῖξαι ἐν τῷ προοιμίῳ τῶν λόγων τὴν πρὸς τοὺς ἀκούοντας, ὁ δέ φησι τοῖς [2]) ἕως θανάτου ἀποτολμῶσιν, ἵνα μὴ ἐξομόσωνται μηδὲ μέχρι φωνῆς τὸν Χριστιανισμόν, καὶ παρεσκευασμένοις πρὸς πᾶσαν αἰκίαν, καὶ πάντα τρόπον θανάτου· »ὡς [3]) δειλὸν γένος.« Λέγει δ' ἡμᾶς εἶναι καὶ »φιλοσώματον γένος,« τοὺς φάσκοντας· »εἰ [4]) καὶ Χριστόν ποτε κατὰ σάρκα ἐγνώκαμεν, ἀλλὰ νῦν οὐκ [5]) ἔτι γινώσκομεν·« καὶ οὕτω προχείρως ὑπὲρ εὐσεβείας τιθέντας τὸ σῶμα, ὡς οὐδὲ τὸ ἱμάτιον ἀποδύσαιτ' [6]) ἂν εὐχερῶς φιλόσοφος. Φησὶν οὖν πρὸς ἡμᾶς· »ὅτι, ἐὰν αἰσθήσεσι μύσαντες ἀναβλέψητε νῷ, καὶ σαρκὸς ἀποστραφέντες ὀφθαλμὸν τὸν τῆς ψυχῆς ἐγείρητε, μόνως οὕτω τὸν θεὸν ὄψεσθε·« καὶ οἴεται αὐτὰ, λέγω δὴ τὰ περὶ διττῶν

---

[1]) Cfr. Rom. VIII, 8—9.

[2]) Edd. Spenc. et Ruaei in textu: τοῖς ἕως θανάτου ἀποθνήσκουσιν. Jam Boherell. vero, quem Ruaeus in notis sequitur: »Lego: τοῖς ἕως θανάτου ἀποκαρτεροῦσιν, aut: ἀποτολμῶσιν.«

[3]) Gelenius legisse videtur: ὦ δειλὸν γένος. R. — Cfr. lib. huj. num. 36.

[4]) Cfr. II Cor. V, 16.

[5]) Cod. Anglican. primus: οὐκ ἐπιγινώσκομεν. R.

[6]) Edd. Spenc. ἀποδύσαι τ' ἄν κτλ.

ὀφθαλμῶν, ἀπὸ Ἑλλήνων λαβὼν, μὴ προπεφιλοσοφῆσθαι παρ' ἡμῖν. (358) Λεκτέον δ', ὅτι Μωϋσῆς, ἀναγράφων τὴν κοσμοποιΐαν, εἰσάγει τὸν ἄνθρωπον πρὸ μὲν τῆς παραβάσεως, πῇ μὲν βλέποντα, πῇ δὲ μὴ βλέποντα· βλέποντα μὲν, ἐν τῷ λέγεσθαι περὶ τῆς γυναικὸς, ὅτι »εἶδεν[1]) ἡ γυνὴ, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι·« μὴ βλέποντα δὲ, οὐ μόνον ἐν τῷ λέγεσθαι ὡς περὶ τυφλῶν ὀφθαλμῶν ὑπὸ τοῦ ὄφεως τῇ γυναικὶ τό· »ᾔδει[2]) γὰρ ὁ θεὸς, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται οἱ ὀφθαλμοὶ ὑμῶν·« ἀλλὰ καὶ ἐν τῷ· »ἔφαγον,[3]) καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο.« Διηνοίχθησαν μὲν οὖν αὐτῶν οἱ ὀφθαλμοὶ τῆς αἰσθήσεως, οὓς καλῶς ἦσαν μύσαντες, ἵνα μὴ περισπώμενοι ἐμποδίζωνται βλέπειν τῷ τῆς ψυχῆς ὀφθαλμῷ. Οὓς δὲ τέως εἶχον βλέποντας τῆς ψυχῆς ὀφθαλμοὺς, καὶ εὐφραινομένους ἐπὶ τῷ θεῷ καὶ τῷ παραδείσῳ αὐτοῦ, τούτους, οἶμαι, διὰ τὴν ἁμαρτίαν ἔμυσαν. Ὅθεν καὶ ὁ σωτὴρ ἡμῶν, τὸ διττὸν τοῦτο τῶν ὀφθαλμῶν ἐπιστάμενος εἶδος ἐν ἡμῖν, φησὶ τό· »εἰς[4]) κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον,[5]) ἵνα οἱ μὴ βέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται·« μὴ βλέποντας μὲν αἰνιττόμενος τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς, οὓς ὁ λόγος ποιεῖ βλέπειν· βλέποντας δὲ, τοὺς τῶν αἰσθήσεων, τούτους δὲ τυφλοῦ ὁ λόγος, ἵνα ἀπερισπάστως ἡ ψυχὴ βλέπῃ ἃ δεῖ. Παντὸς οὖν τοῦ κατὰ τρόπον[6]) Χριστιανίζοντος ὁ τῆς ψυχῆς ἐγήγερται ὀφθαλμὸς, καὶ ὁ τῆς αἰσθήσεως μέμυκε· καὶ ἀνάλογον τῇ ἐγέρσει τοῦ κρείττονος ὀφθαλμοῦ, καὶ τῇ μύσει τῶν ὄψεων τῆς αἰσθήσεως, νοεῖται καὶ θεωρεῖται

---

[1]) Gen. III, 6. [2]) Cfr. Gen. III, 5.
[3]) Gen. III, 6. 7. [4]) Ev. Joann. IX, 39.
[5]) Hoeschel. in textu, Spenc. ad marg. εἰσῆλθον. R.
[6]) Hoeschel. in textu, Spenc. ad marg. τόπον.

ἑκάστῳ ὁ ἐπὶ πᾶσι θεὸς, καὶ ὁ υἱὸς αὐτοῦ, λόγος καὶ σοφία τυγχάνων, καὶ τὰ λοιπά.

40. Ἐξῆς δὲ τοῖς ἐξετασθεῖσιν ὁ Κέλσος ὡς πρὸς πάντας Χριστιανοὺς ἀποτείνει λόγον, ὄντινα πρὸς τοὺς πάντη ἀλλοτρίους τῆς Ἰησοῦ διδασκαλίας ὁμολογοῦντας εἶναι εἰ ἄρα λέγειν ἥρμοζεν. Ὀφιανοὶ[1]) γὰρ, ὡς καὶ ἐν τοῖς ἀνωτέρω ἐλέγομεν, τὸν Ἰησοῦν ἐξ ὅλων ἀρνούμενοι, ἢ εἴ τινες ἄλλοι τὰ παραπλήσια ἐκείνοις φρονοῦντές εἰσιν »οἱ τὰ εἴδωλα[2]) προμνώμενοι, πλάνοι καὶ γόητες·« καὶ ἐκεῖνοί εἰσιν οἱ τὰ ὀνόματα τῶν θυρωρῶν[3]) ἀθλίως ἐκμανθάνοντες. Μάτην οὖν πρὸς

---

[1]) Vide lib. III. num. 13. coll. lib. VI. num. 24. et 28.

[2]) Spencerus: Si per *idola* spectra intelligis, vide supra annotatt. ad lib. VI. num. 66. et 67. At si mavis de imaginibus, et simulacris interpretari, adi gemmarum inscriptiones, quarum plurimae Magicis operationibus inserviebant. Audi etiam quae Irenaeus refert de Simone et Helena, lib. I. cap. 23. (al. 20.) num. 4. »Imaginem quoque Simonis habent factam ad figuram Jovis, et Helenae in figuram Minervae; et has adorant.« Et de Carpocratianis, cap. 25. (al. 24) num. 6. »Gnosticos se autem vocant: et imagines quasdam quidem depictas, quasdam autem et de reliqua materia fabricatas habent, dicentes formam Christi factam a Pilato illo in tempore, quo fuit Jesus cum hominibus. Et has coronant, et proponunt eas cum imaginibus mundi philosophorum, videlicet cum imagine Pythagorae, et Platonis, et Aristotelis, et reliquorum; et reliquam observationem circa eas, similiter ut gentes, faciunt.« Vide Epiphan. Haer. 21. pag. 58., Haer. 27. pag. 108. Irenaeum, lib. II. cap. 6. 7. 14. 15. 16. 19. 20. 21., lib. IV, cap. 19. (35.)

[3]) Spencerus: Iren. lib. I. cap. 24. (al. 22.) num. 7. »Trecentorum autem sexaginta quinque coelorum locales positiones distribuunt, similiter ut Mathematici. Illorum enim theoremata accipientes, in suum characterem doctrinae transtulerunt: esse autem principem illorum Ἀβρά-ξας, et propter hoc CCCLXV. numerum habere in se.« Istis tercentum sexaginta quinque localibus coelorum positionibus totidem *Principes*, vel angeli, praesidebant; quos hoc in loco Origenes *Janitores* vocat: ut tibi con-

Χριστιανούς φησι τό· »κἂν ἡγεμόνα τῆς ὁδοῦ ταύτης ζητῆτε, φευκτέοι μὲν ὑμῖν οἱ πλάνοι καὶ γόητες, καὶ τὰ εἴδωλα προμνώμενοι.« Καὶ μηδ' ἐπιστάμενος, ὅτι οἱ τοιοῦτοι οὐκ ἔλαττον Κέλσου, ὡς γόητες, σὺν ἐκείνῳ κακῶς λέγουσι τὸν Ἰησοῦν καὶ πᾶσαν τὴν κατ' αὐτὸν θεοσέβειαν, φησὶ, φύρων ἡμᾶς ἐν ἐκείνοις τῷ ἑαυτοῦ λόγῳ· »ἵνα μὴ παντάπασιν ἦτε καταγέλαστοι τοὺς μὲν ἄλλους, τοὺς δεικνυμένους θεοὺς, ὡς εἴδωλα βλασφημοῦντες· τὸν δὲ καὶ αὐτῶν[1] *ὡς ἀληθῶς εἰδώλων ἀθλιώτερον, καὶ μηδὲ εἴδωλον ἔτι, ἀλλ' ὄντως*[2] *νεκρὸν, σέβοντες, καὶ πατέρα ὅμοιον αὐτῷ ζητοῦντες.« Ὅτι γὰρ μὴ ἐπιστάμενος, τί μὲν Χριστιανοὶ λέγουσι, (359) τί δὲ οἱ τοιούτους μύθους ἀναπλάσαντες,*[3] *ἀλλ' οἰόμενος ἡμῖν προσεῖναι τὰ ἐκείνοις προσαγόμενα ἐγκλήματα, ταῦτα λέγει πρὸς ἡμᾶς οὐ προσόντα ἡμῖν, δῆλον ἐκ τοῦ· »Διὰ τὴν μὲν δὴ τοιάνδε ἀπάτην, καὶ τοὺς θαυμαστοὺς ἐκείνους συμβούλους,*[4] *καὶ τὰ δαιμόνια ῥήματα, τὰ πρὸς τὸν λέοντα, καὶ τὸν ἀμφίβιον, καὶ τὸν ὀνοειδῆ, καὶ τοὺς ἄλλους, καὶ τοὺς θεσπεσίους θυρωροὺς, ὧν τὰ ὀνόματα ἀθλίως ἐκμανθάνοντες οἱ δύστηνοι κακῶς*[5] *δαιμονᾶτε, καὶ ἀνασκολοπίζεσθε.« Καὶ*

---

stare potest ex jam laudato Irenaei capite, et annotatione nostra ad lib. VI. contra Cels. num. 30. Per horum portas, impetrata primum votis, quae conceperunt, ab unoquoque *Principe* admissione, cultores miseri eorum principatus ingrediuntur. Vide Orig. contra Cels. lib. VI. num. 30. et 31.

[1]) Mallet Guietus: *αὐτόν*, ut referatur ad Jesum. R.

[2]) Edd. Spenc. et Ruaei: *ὄντως νεκρόν*. Cfr. lib. VII. contra Cels. num. 36.

[3]) Hoeschel. et Spencer. in marg. *ἀναπλάσσοντες*.

[4]) Hoeschel. in textu, Spenc. ad marg. *συμβόλους καὶ τὰ δαιμόνια ῥήματα ἃ πρὸς τὸν κτλ.* Ceterum confer hunc locum cum iis, quae habentur lib. VI. contra Cels. num. 24—30. seqq.

[5]) Hoeschel. in textu, Spenc. ad marg. *κακῶς κακοδαιμονᾶτε*.

οὐκ[1]) οἶδέ γε, ὅτι οὐδεὶς τῶν τὸν λεοντοειδῆ, καὶ τὸν ὀνοειδῆ, καὶ τὸν ἀμφίβιον νομιζόντων εἶναι θυρωροὺς τῆς ἀνόδου, ἕως[2]) θανάτου ἵσταται κἂν ὑπὲρ τῆς φαινομένης αὐτῷ ἀληθείας. Ἀλλὰ τὸ ὑφ' ἡμῶν δι' εὐσεβείας, ἵν' οὕτως εἴπω, ὑπερβολὴν γινόμενον, παρεχόντων ἑαυτοὺς παντὶ τρόπῳ θανάτου, καὶ[3]) τὸ ἀνασκολοπίζεσθαι, ἐκείνοις προσάγει τοῖς μηδὲν τούτων πάσχουσιν· ἡμῖν δὲ,[4]) τοῖς ἀνασκολοπιζομένοις δι' εὐσέβειαν, ὀνειδίζει τὴν ἐκείνων περὶ τὸν λεοντοειδῆ καὶ τὸν ἀμφίβιον, καὶ τὰ λοιπὰ μυθοποιΐαν. Οὐ διὰ Κέλσον τοίνυν φεύγομεν τὸν περὶ λεοντοειδοῦς καὶ τῶν λοιπῶν λόγον· οὐδὲ γὰρ τὴν ἀρχὴν τοιοῦτόν τι παρειλήφαμεν· ἀλλ' ἀκολουθοῦντες τῇ διδασκαλίᾳ Ἰησοῦ τὰ ἐναντία ἐκείνοις λέγομεν, οὐ συγκατατιθέμενοι τῷ τοιόνδε εἶναι τῷ προσώπῳ τὸν Μιχαὴλ, καὶ τοιόνδε ἕτερόν τινα τῶν προκατειλεγμένων.[5])

41. Τίνι[6]) δὲ καὶ ἕπεσθαι ἡμᾶς ὁ Κέλσος βούλεται, ὡς οὐκ[7]) ἀπορήσοντας παλαιῶν ἡγεμόνων καὶ ἱερῶν ἀνδρῶν, κατανοητέον. Ἀναπέμπει ἡμᾶς ἐπὶ ἐνθέους, ὡς λέγει, ποιητὰς, καὶ σοφοὺς, καὶ[8]) φιλοσό-

---

[1]) Hoeschel. et Spenc. ad marg. οὐκ εἶδέ γε, ὅτι κτλ.

[2]) Vide lib. VI. contra Cels. num. 11.

[3]) Boherellus: »Lego: καὶ τῷ ἀνασκολοπίζεσθαι.«

[4]) In antea editis (v. c. edd. Spenc.) deest δέ, quod restituunt Mss. R. — Edd. Spenc. πάσχουσιν· ἢ ἡμῖν, τοῖς κτλ. Jam Boherell. vero: »Lego: πάσχουσιν· καὶ ἡμῖν, vel: ἡμῖν δὲ, τοῖς« κτλ.

[5]) Mss. προκατειλεγμένων. Libri antea editi (v. c. edd. Spenc.) κατειλεγμένων. R.

[6]) Boherellus, quocum Ruaeus facit: »Malim: Τίσι δὲ καὶ ἕπεσθαι« κτλ.

[7]) Guieto delendum videtur οὐκ, nisi forte, inquit, pro: ἀπορήσοντας, scribendum sit: εὐπορήσαντας. Particulam οὐκ Gelenius non agnoscit. Ego retinendam censeo. R.

[8]) In edd. Spenc. uncis inclusum legitur: καί.

φους, μὴ τιθεὶς αὐτῶν[1]) τὰ ὀνόματα· καὶ τοὺς ὁδηγοὺς δείξειν ἐπαγγελλόμενος, ἀορίστως[2]) ἀποφαίνεται τοὺς ἐνθέους ποιητὰς, καὶ σοφοὺς, καὶ φιλοσόφους. Εἰ δ' ἐτίθει τὰ ὀνόματα ἑκάστου τούτων· καὶ ἀγωνίζεσθαι εὔλογον ἡμῖν ἐφαίνετο, ὅτι τυφλώττοντας περὶ τὴν ἀλήθειαν ὁδηγοὺς ἡμῖν δίδωσιν, ἵνα σφάλωμεν· ἢ, εἰ καὶ μὴ πάνυ τυφλώττοντας, περὶ πολλά γε τῆς ἀληθείας δόγματα ἐσφαλμένους. Εἴτ' οὖν Ὀρφέα βούλεται ἔνθεον εἶναι ποιητὴν, εἴτε Παρμενίδην, εἴτ' Ἐμπεδοκλέα, εἴτε καὶ αὐτὸν Ὅμηρον, ἢ καὶ Ἡσίοδον· δεικνύτω ὁ βουλόμενος, πῶς βέλτιον ὁδεύσουσιν οἱ τοιούτοις ὁδηγοῖς χρώμενοι, καὶ ὠφέληνται περὶ[3]) τῶν κατὰ τὸν βίον, παρὰ τοὺς καταλιπόντας διὰ τὴν Ἰησοῦ τοῦ Χριστοῦ διδασκαλίαν πάντα ἀγάλματα, καὶ ἱδρύματα, ἀλλὰ καὶ πᾶσαν Ἰουδαϊκὴν δεισιδαιμονίαν, καὶ πρὸς μόνον ἀναβλέποντας διὰ τοῦ λόγου τοῦ θεοῦ τὸν πατέρα τοῦ λόγου θεόν. Τίνες δὲ καὶ οἱ σοφοὶ, ἢ οἱ φιλόσοφοι, παρ' ὧν βούλεται πολλὰ καὶ θεῖα ἀκοῦσαι ἡμᾶς ὁ Κέλσος, καταλιπόντας θεράποντα θεοῦ Μωϋσέα, καὶ προφήτας τοῦ τῶν ὅλων δημιουργοῦ, ἀληθῶς ἐνθέως μυρία ὅσα εἰρηκότας· καὶ αὐτὸν ἐπιλάμψαντα τῷ γένει τῶν ἀνθρώπων, καὶ καταγγείλαντα ὁδὸν θεοσεβείας, καὶ μηδένα, τὸ ὅσον ἐφ' ἑαυτῷ, ἄγευστον (360) καταλιπόντα τῶν ἰδίων μυστηρίων, ἀλλὰ δι' ὑπερβάλλουσαν φιλανθρωπίαν ἔχοντα μὲν διδόναι τοῖς συνετωτέροις θεολογίαν, ἐπάραι τὴν ψυχὴν ἀπὸ τῶν τῇδε πραγμάτων δυναμένην· οὐδὲν δ' ἧττον συγκαταβαίνοντα καὶ ταῖς ὑποδεεστέραις ἕξεσιν ἰδιωτῶν ἀνδρῶν, καὶ ἁπλουστέρων γυναικῶν, οἰκετῶν τε, καὶ ἁπαξαπλῶς

---

[1]) Edd. Spenc. et Ruaei in textu: *αὐτοῖς ὀνόματα*. Jam Boherell. vero, quocum Ruaeus facit: »Melius legas: *αὐτῶν τὰ ὀνόματα*.« — Cfr. seqq.

[2]) Hoeschel. in textu, Spenc. ad marg. *ἀορίστους ἀποφαίνεται*.

[3]) Absunt a Codd. Reg. et Basil. verba: *περὶ τῶν*. R.

τῶν ὑπὸ μηδενὸς ἢ Ἰησοῦ μόνου βεβοηθημένων πρὸς τὸ, ὡς ἐνεχώρει βέλτιον αὐτοὺς βιοῦν, μετὰ δογμάτων ὧν ἐδύναντο περὶ θεοῦ χωρεῖν;

42. Εἶτα μετὰ ταῦτα, ὡς ἐπὶ ἐνεργέστερον διδάσκαλον τῶν θεολογίας πραγμάτων,[1]) ἀναπέμπει ἡμᾶς ἐπὶ τὸν Πλάτωνα, παρατιθέμενος αὐτοῦ τὰς ἀπὸ τοῦ Τιμαίου λέξεις οὕτως ἐχούσας· »Τὸν[2]) μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον, καὶ[3]) εὑρόντα λέγειν εἰς πάντας ἀδύνατον.« Εἶτ' ἐπιφέρει τούτοις, λέγων· »Ὁρᾶτε ὕπως ζητεῖται[4]) θεοπρόποις ἀληθείας ὁδὸς, καὶ ὡς ᾖδει Πλάτων, ὅτι ταύτῃ βῆναι πᾶσιν ἀδύνατον. Ἐπειδὴ δὲ τούτου χάριν ἐξηύρηται σοφοῖς ἀνδράσιν, ὡς ἂν τοῦ ἀκατονομάστου καὶ πρώτου λαβοιμέν τινα ἐπίνοιαν, διαδηλοῦσαν αὐτὸν ἢ τῇ συνθέσει τῇ ἐπὶ τὰ ἄλλα, ἢ ἀναλύσει ἀπ' αὐτῶν, ἢ ἀναλογίᾳ, τὸ ἄλλως ἄῤῥητον θέλων[5]) διδάξαι, θαυμάσαιμι δ' ἂν εἰ ἀκολουθήσαι δυνήσεσθε, παντελῶς τῇ σαρκὶ ἐνδεδεμένοι, καὶ μηδὲν καθαρὸν βλέποντες.« Μεγαλοφυῶς μὲν καὶ οὐκ εὐκαταφρονήτως τὴν ἐκκειμένην λέξιν ὁ Πλάτων προφέρεται. Ὅρα δὲ, εἰ μὴ φιλανθρωπότερον ὁ θεῖος λόγος εἰσάγει τὸν[6]) ἐν ἀρχῇ πρὸς τὸν θεὸν, θεὸν λόγον γενόμενον[7]) σάρκα· ἵνα

---

[1]) Guieto videtur scribendum: *δογμάτων*. R.

[2]) Cfr. Platonis Timaeus, ed. Bekk. Part. III. Vol. II. pag. 23. (al. 28.)

[3]) Edd. Bekkeri: *καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν*.

[4]) Hoeschel. in textu male, Spenc. ad marg. *ζητεῖτε θεοπρόποις καὶ ἀληθείας ὁδοῖς*.

[5]) Boherellus: »Lego: *θέλουσαν διδάξαι, θαυμάσαιμι ἂν εἰ*« κτλ. — Ruaeus: »Mavult Guietus: *θέλουσιν*, ut ad verba: *σοφοῖς ἀνδράσι*, referatur. Ego pro: *θέλων*, lego: *θέλω*, et nihil aliud muto.«

[6]) Cfr. ev. Joann. I, 1. coll. 14.

[7]) Codd. Reg. et Basil. *γενόμενον*. Libri editi (v. c. edd. Spenc.) *γινόμενον*. R.

εἰς πάντας δυνατὸς ἦ φθάνειν ὁ λόγος, ὃν καὶ τὸν εὐρόντα εἰς πάντας ἀδύνατον λέγειν φησὶν ὁ Πλάτων. Πλάτων μὲν οὖν λεγέτω τὸν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς ἔργον εἶναι εὑρεῖν,[1] οὐκ ἀδύνατον ἐμφαίνων εἶναι τῇ ἀνθρωπίνῃ φύσει τὸ εὑρεῖν κατ' ἀξίαν τὸν θεόν· ἢ εἰ μὴ κατ' ἀξίαν, ἀλλ' ἐπὶ πλεῖόν γε καὶ παρὰ τοὺς πολλούς· ὅπερ εἰ ἦν ἀληθὲς, καὶ θεὸς κατ' ἀλήθειαν εὕρητο Πλάτωνι, ἤ τινι τῶν Ἑλλήνων· οὐκ ἄλλο τι ἔσεβον καὶ θεὸν ἐκάλουν, καὶ προσεκύνουν, ἤτοι[2] τοῦτον καταλιπόντες· ἢ συμπαραλαμβάνοντες τὰ μὴ συμπαραληπτὰ τῷ[3] τηλικούτῳ θεῷ· ἡμεῖς δὲ ἀποφαινόμεθα, ὅτι οὐκ αὐτάρκης ἡ ἀνθρωπίνη φύσις[4] ὁπωσποτανοῦν ζητῆσαι τὸν θεὸν, καὶ εὑρεῖν αὐτὸν καθαρῶς, μὴ βοηθηθεῖσα ὑπὸ τοῦ ζητουμένου· εὑρισκομένου τοῖς ὁμολογοῦσι, μετὰ[5] τὸ παρ' αὐτοὺς ποιεῖν, ὅτι δέονται αὐτοῦ, ἐμφανίζοντος ἑαυτὸν οἷς ἂν κρίνῃ εὔλογον εἶναι ὀφθῆναι, ὡς πέφυκε θεὸς μὲν ἀνθρώπῳ γινώσκεσθαι, ἀνθρώπου δὲ ψυχὴ ἔτι οὖσα ἐν σώματι γιγνώσκειν τὸν θεόν.

---

[1]) Edd. Spenc. et Ruaei in textu: εὑρεῖν, ἀδύνατον ἐμφαίνων κτλ. Jam Boherell. vero, quocum Ruaeus facit in notis: »Sensus postulat, ut οὐκ praefigatur voc. ἀδύνατον.«

[2]) Edd. Spenc. in textu: ἤτοι τοῦτον, καταλιπόντες ἢ συμπαραλαμβάνοντες κτλ. Ed. vero Ruaei, eandem in textu, quam nos, exhibens interpungendi rationem, Boherello duce, in notis: »Si vetus retineatur interpungendi ratio, et post τοῦτον ponatur virgula, subaudiendum erit μᾶλλον post ἤ, ut et pag. (edd. Spenc.) 416., ni malis pro: ἤ, legere: οὐ.« — Cfr. insuper lib. VII. contra Cels. num. 19.

[3]) Mss. τῷ τηλικούτῳ θεῷ. Libri editi (v. c. edd. Spenc.) τῷ τοιούτῳ θεῷ. R.

[4]) Codd. Reg. et Basil. φύσις ὁπωσποτανοῦν. Libri editi (v. c. edd. Spenc.) φύσις ὅπως ποτ' οὖν. R.

[5]) Boherellus: »Forte legendum: μετὰ τὸ παρ' αὐτοῖς ποιεῖν.« — Guietus legit: μετὰ τὸ τὸ καθ' ἑαυτοὺς ποιεῖν. R.

13. Ἀλλὰ καὶ λέγων ὁ Πλάτων, (361) ὅτι [1]) »τὸν εὑρόντα ἀδύνατόν ἐστιν εἰς [2]) πάντας λέγειν τὸν ποιητὴν καὶ πατέρα τοῦ παντὸς« ἄῤῥητον μὲν καὶ ἀκατονόμαστον οὔ φησιν αὐτὸν εἶναι, ῥητὸν δ' ὄντα εἰς [3]) ὀλίγους δύνασθαι λέγεσθαι. Εἶθ', ὥσπερ ἐπιλαθόμενος ὧν παρέθετο Πλάτωνος λέξεων, ὁ Κέλσος φησὶν ἀκατονόμαστον εἶναι θεὸν τούτοις· [4]) »Ἐπειδὴ δὲ τούτου χάριν ἐξηύρηται σοφοῖς ἀνδράσιν, ὡς ἂν τοῦ ἀκατονομάστου καὶ πρώτου λάβοιμέν τινα ἐπίνοιαν.« Ἡμεῖς δὲ οὐ μόνον τὸν θεὸν, ἄῤῥητον εἶναί φαμεν, ἀλλὰ καὶ ἕτερα τῶν μετ' αὐτόν· ἅπερ βιασάμενος ὁ Παῦλος σημῆναί φησι τό· »ἤκουσα [5]) ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι·« τῷ· »ἤκουσεν·« ἀντὶ τοῦ· »συνῆκε·« χρησάμενος, ἀνάλογον τῷ· »ὁ [6]) ἔχων ὦτα ἀκούειν, ἀκουέτω.« Τὸν ποιητὴν δὴ καὶ πατέρα τοῦ παντὸς ἡμεῖς φαμεν ἔργον ἰδεῖν. Βλέπεται δὲ οὐ μόνον κατὰ τό· »μακάριοι [7]) οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται·« ἀλλὰ καὶ κατὰ τὸ λεγόμενον ὑπὸ τῆς εἰκόνος [8]) τοῦ ἀοράτου θεοῦ ἐν τῷ· »ὁ [9]) ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα τὸν πέμψαντά με.« Ἐν τούτοις γὰρ οὐδεὶς ἂν νοῦν ἔχων φήσειεν, ὅτι ἀναφέρων ταῦτα ὁ Ἰησοῦς ἐπὶ τὸ αἰσθητὸν αὐτοῦ καὶ βλεπόμενον τοῖς ἀνθρώποις σῶμα, εἶπε τό· »ὁ [10]) ἑωρακὼς ἐμὲ, ἑώρακε

---

[1]) Cfr. Platonis Timaeus, ed. Bekk. Part. III. Vol. II. pag. 23. (al. 28.) coll. pag. 66. not. 3.

[2]) Cfr. pag. huj. not. 3.

[3]) Edd. Spenc. et Ruaei in textu: εἰς λόγους δύνασθαι κτλ. Jam Boherell. vero, quem Ruaeus totus sequitur: „Lego: εἰς ὀλίγους, ut opponatur τῷ· εἰς πάντας, quod praecessit.“ — Cfr. pag. huj. not. 2.

[4]) Boherellus: „Vel ἐν τούτοις. Nam Neutrius est.“

[5]) Cfr. II Cor. XII, 4. — Edd. Spenc. et Ruaei: ἤκουσα.

[6]) Matth. XI, 15. [7]) Matth. V, 8.

[8]) Cfr. Coloss. I, 15. [9]) Cfr. ev. Joann. XIV, 9.

[10]) Cfr. ev. Joann. XIV, 9.

φους, μὴ τιθεὶς αὐτῶν[1]) τὰ ὀνόματα· καὶ τοὺς ὁδηγοὺς δείξειν ἐπαγγελλόμενος, ἀορίστως[2]) ἀποφαίνεται τοὺς ἐνθέους ποιητὰς, καὶ σοφοὺς, καὶ φιλοσόφους. Εἰ δ' ἐτίθει τὰ ὀνόματα ἑκάστου τούτων· καὶ ἀγωνίζεσθαι εὔλογον ἡμῖν ἐφαίνετο, ὅτι τυφλώττοντας περὶ τὴν ἀλήθειαν ὁδηγοὺς ἡμῖν δίδωσιν, ἵνα σφάλωμεν· ἢ, εἰ καὶ μὴ πάνυ τυφλώττοντας, περὶ πολλά γε τῆς ἀληθείας δόγματα ἐσφαλμένους. Εἴτ' οὖν Ὀρφέα βούλεται ἔνθεον εἶναι ποιητὴν, εἴτε Παρμενίδην, εἴτ' Ἐμπεδοκλέα, εἴτε καὶ αὐτὸν Ὅμηρον, ἢ καὶ Ἡσίοδον· δεικνύτω ὁ βουλόμενος, πῶς βέλτιον ὁδεύσουσιν οἱ τοιούτοις ὁδηγοῖς χρώμενοι, καὶ ὠφέλησεται περὶ[3]) τῶν κατὰ τὸν βίον, παρὰ τοὺς καταλιπόντας διὰ τὴν Ἰησοῦ τοῦ Χριστοῦ διδασκαλίαν πάντα ἀγάλματα, καὶ ἑδρύματα, ἀλλὰ καὶ πᾶσαν Ἰουδαϊκὴν δεισιδαιμονίαν, καὶ πρὸς μόνον ἀναβλέποντας διὰ τοῦ λόγου τοῦ θεοῦ τὸν πατέρα τοῦ λόγου θεόν. Τίνες δὲ καὶ οἱ σοφοὶ, ἢ οἱ φιλόσοφοι, παρ' ὧν βούλεται πολλὰ καὶ θεῖα ἀκοῦσαι ἡμᾶς ὁ Κέλσος, καταλιπόντας θεράποντα θεοῦ Μωϋσέα, καὶ προφήτας τοῦ τῶν ὅλων δημιουργοῦ, ἀληθῶς ἐνθέως μυρία ὅσα εἰρηκότας· καὶ αὐτὸν ἐπιλάμψαντα τῷ γένει τῶν ἀνθρώπων, καὶ καταγγείλαντα ὁδὸν θεοσεβείας, καὶ μηδένα, τὸ ὅσον ἐφ' ἑαυτῷ, ἄγευστον (360) καταλιπόντα τῶν ἰδίων μυστηρίων, ἀλλὰ δι' ὑπερβάλλουσαν φιλανθρωπίαν ἔχοντα μὲν διδόναι τοῖς συνετωτέροις θεολογίαν, ἐπάραι τὴν ψυχὴν ἀπὸ τῶν τῇδε πραγμάτων δυναμένην· οὐδὲν δ' ἧττον συγκαταβαίνοντα καὶ ταῖς ὑποδεεστέραις ἕξεσιν ἰδιωτῶν ἀνδρῶν, καὶ ἁπλουστέρων γυναικῶν, οἰκετῶν τε, καὶ ἀπαξαπλῶς

---

[1]) Edd. Spenc. et Ruaei in textu: αὐτοῖς ὀνόματα. Jam Boherell. vero, quocum Ruaeus facit: »Melius legas: αὐτῶν τὰ ὀνόματα.« — Cfr. seqq.

[2]) Hoeschel. in textu, Spenc. ad marg. ἀορίστους ἀποφαίνεται.

[3]) Absunt a Codd. Reg. et Basil. verba: περὶ τῶν. R.

τῶν ὑπὸ μηδενὸς ἢ Ἰησοῦ μόνου βεβοηθημένων πρὸς τὸ, ὡς ἐνεχώρει βέλτιον αὐτοὺς βιοῦν, μετὰ δογμάτων ὧν ἐδύναντο περὶ θεοῦ χωρεῖν;

42. Εἶτα μετὰ ταῦτα, ὡς ἐπὶ ἐνεργέστερον διδάσκαλον τῶν θεολογίας πραγμάτων,[1]) ἀναπέμπει ἡμᾶς ἐπὶ τὸν Πλάτωνα, παρατιθέμενος αὐτοῦ τὰς ἀπὸ τοῦ Τιμαίου λέξεις οὕτως ἐχούσας· »Τὸν[2]) μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον, καὶ[3]) εὑρόντα λέγειν εἰς πάντας ἀδύνατον.« Εἶτ' ἐπιφέρει τούτοις, λέγων· »Ὁρᾶτε ὕπως ζητεῖται[4]) θεοπρόποις ἀληθείας ὁδὸς, καὶ ὡς ἤδει Πλάτων, ὅτι ταύτῃ βῆναι πᾶσιν ἀδύνατον. Ἐπειδὴ δὲ τούτου χάριν ἐξηύρηται σοφοῖς ἀνδράσιν, ὡς ἂν τοῦ ἀκατονομάστου καὶ πρώτου λάβοιμέν τινα ἐπίνοιαν, διαδηλοῦσαν αὐτὸν ἢ τῇ συνθέσει τῇ ἐπὶ τὰ ἄλλα, ἢ ἀναλύσει ἀπ' αὐτῶν, ἢ ἀναλογίᾳ, τὸ ἄλλως ἀῤῥητον θέλων[5]) διδάξαι, θαυμάσαιμι δ' ἂν εἰ ἀκολουθῆσαι δυνήσεσθε, παντελῶς τῇ σαρκὶ ἐνδεδεμένοι, καὶ μηδὲν καθαρὸν βλέποντες.« Μεγαλοφυῶς μὲν καὶ οὐκ εὐκαταφρονήτως τὴν ἐκκειμένην λέξιν ὁ Πλάτων προφέρεται. Ὅρα δὲ, εἰ μὴ φιλανθρωπότερον ὁ θεῖος λόγος εἰσάγει τὸν[6]) ἐν ἀρχῇ πρὸς τὸν θεὸν, θεὸν λόγον γενόμενον[7]) σάρκα· ἵνα,

---

[1]) Guieto videtur scribendum: *δογμάτων*. R.

[2]) Cfr. Platonis Timaeus, ed. Bekk. Part. III. Vol. II. pag. 23. (al. 28.)

[3]) Edd. Bekkeri: *καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν*.

[4]) Hoeschel. in textu male, Spenc. ad marg. *ζητεῖτε θεοπρόποις καὶ ἀληθείας ὁδοῖς*.

[5]) Boherellus: »Lego: *θέλουσαν διδάξαι, θαυμάσαιμι ἂν εἰ*« κτλ. — Ruaeus: »Mavult Guietus: *θέλουσιν*, ut ad verba: *σοφοῖς ἀνδράσι*, referatur. Ego pro: *θέλων*, lego: *θέλω*, et nihil aliud muto.«

[6]) Cfr. ev. Joann. I, 1. coll. 14.

[7]) Codd. Reg. et Basil. *γενόμενον*. Libri editi (v. c. edd. Spenc.) *γινόμενον*. R.

εἰς πάντας δυνατὸς ἦ φθάνειν ὁ λόγος, ὃν καὶ τὸν εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν φησὶν ὁ Πλάτων. Πλάτων μὲν οὖν λεγέτω τὸν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς ἔργον εἶναι εὑρεῖν,[1]) οὐκ ἀδύνατον ἐμφαίνων εἶναι τῇ ἀνθρωπίνῃ φύσει τὸ εὑρεῖν κατ' ἀξίαν τὸν θεόν· ἢ εἰ μὴ κατ' ἀξίαν, ἀλλ' ἐπὶ πλεῖόν γε καὶ παρὰ τοὺς πολλούς· ὅπερ εἰ ἦν ἀληθὲς, καὶ θεὸς κατ' ἀλήθειαν εὕρητο Πλάτωνι, ἤ τινι τῶν Ἑλλήνων· οὐκ ἄλλο τι ἔσεβον καὶ θεὸν ἐκάλουν, καὶ προσεκύνουν, ἤτοι[2]) τοῦτον καταλιπόντες· ἢ συμπαραλαμβάνοντες τὰ μὴ συμπαραληπτὰ τῷ[3]) τηλικούτῳ θεῷ· ἡμεῖς δὲ ἀποφαινόμεθα, ὅτι οὐκ αὐτάρκης ἡ ἀνθρωπίνη φύσις[4]) ὑπωσποτανοῦν ζητῆσαι τὸν θεὸν, καὶ εὑρεῖν αὐτὸν καθαρῶς, μὴ βοηθηθεῖσα ὑπὸ τοῦ ζητουμένου· εὑρισκομένου τοῖς ὁμολογοῦσι, μετὰ[5]) τὸ παρ' αὐτοὺς ποιεῖν, ὅτι δέονται αὐτοῦ, ἐμφανίζοντος ἑαυτὸν οἷς ἂν κρίνῃ εὔλογον εἶναι ὀφθῆναι, ὡς πέφυκε θεὸς μὲν ἀνθρώπῳ γινώσκεσθαι, ἀνθρώπου δὲ ψυχὴ ἔτι οὖσα ἐν σώματι γιγνώσκειν τὸν θεόν.

---

[1]) Edd. Spenc. et Ruaei in textu: *εὑρεῖν, ἀδύνατον ἐμφαίνων κτλ.* Jam Boherell. vero, quocum Ruaeus facit in notis: »Sensus postulat, ut *οὐκ* praefigatur voc. *ἀδύνατον*.«

[2]) Edd. Spenc. in textu: *ἤτοι τοῦτον, καταλιπόντες ἢ συμπαραλαμβάνοντες κτλ.* Ed. vero Ruaei, eandem in textu, quam nos, exhibens interpungendi rationem, Boherello duce, in notis: »Si vetus retineatur interpungendi ratio, et post *τοῦτον* ponatur virgula, subaudiendum erit *μᾶλλον* post *ἤ*, ut et pag. (edd. Spenc.) 416., ni malis pro: *ἤ*, legere: *οὐ*.« — Cfr. insuper lib. VII. contra Cels. num. 19.

[3]) Mss. *τῷ τηλικούτῳ θεῷ*. Libri editi (v. c. edd. Spenc.) *τῷ τοιούτῳ θεῷ*. R.

[4]) Codd. Reg. et Basil. *φύσις ὑπωσποτανοῦν*. Libri editi (v. c. edd. Spenc.) *φύσις ὅπως ποτ' οὖν*. R.

[5]) Boherellus: »Forte legendum: *μετὰ τὸ παρ' αὐτοῖς ποιεῖν*.« — Guietus legit: *μετὰ τὸ τὸ καθ' ἑαυτοὺς ποιεῖν*. R.

43. Ἀλλὰ καὶ λέγων ὁ Πλάτων, (361) ὅτι [1]) »τὸν εὑρόντα ἀδύνατόν ἐστιν εἰς [2]) πάντας λέγειν τὸν ποιητὴν καὶ πατέρα τοῦ παντὸς« ἄῤῥητον μὲν καὶ ἀκατονόμαστον οὗ φησιν αὐτὸν εἶναι, ῥητὸν δ' ὄντα εἰς [3]) ὀλίγους δύνασθαι λέγεσθαι. Εἶθ', ὥσπερ ἐπιλαθόμενος ὧν παρέθετο Πλάτωνος λέξεων, ὁ Κέλσος φησὶν ἀκατονόμαστον εἶναι θεὸν τούτοις· [4]) »Ἐπειδὴ δὲ τούτου χάριν ἐξηύρηται σοφοῖς ἀνδράσιν, ὡς ἂν τοῦ ἀκατονομάστου καὶ πρώτου λάβοιμέν τινα ἐπίνοιαν.« Ἡμεῖς δὲ οὐ μόνον τὸν θεὸν, ἄῤῥητον εἶναί φαμεν, ἀλλὰ καὶ ἕτερα τῶν μετ' αὐτόν· ἅπερ βιασάμενος ὁ Παῦλος σημῆναί φησι τό· »ἤκουσα [5]) ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι·« τῷ· »ἤκουσεν·« ἀντὶ τοῦ· »συνῆκε·« χρησάμενος, ἀνάλογον τῷ· »ὁ [6]) ἔχων ὦτα ἀκούειν, ἀκουέτω.« Τὸν ποιητὴν δὴ καὶ πατέρα τοῦ παντὸς ἡμεῖς φαμεν ἔργον ἰδεῖν. Βλέπεται δὲ οὐ μόνον κατὰ τό· »μακάριοι [7]) οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται·« ἀλλὰ καὶ κατὰ τὸ λεγόμενον ὑπὸ τῆς εἰκόνος [8]) τοῦ ἀοράτου θεοῦ ἐν τῷ· »ὁ [9]) ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα τὸν πέμψαντά με.« Ἐν τούτοις γὰρ οὐδεὶς ἂν νοῦν ἔχων φήσειεν, ὅτι ἀναφέρων ταῦτα ὁ Ἰησοῦς ἐπὶ τὸ αἰσθητὸν αὐτοῦ καὶ βλεπόμενον τοῖς ἀνθρώποις σῶμα, εἶπε τό· »ὁ [10]) ἑωρακὼς ἐμὲ, ἑώρακε

---

[1]) Cfr. Platonis Timaeus, ed. Bekk. Part. III. Vol. II. pag. 23. (al. 28.) coll. pag. 66. not. 3.

[2]) Cfr. pag. huj. not. 3.

[3]) Edd. Spenc. et Ruaei in textu: εἰς λόγους δύνασθαι κτλ. Jam Boherell. vero, quem Ruaeus totus sequitur: „Lego: εἰς ὀλίγους, ut opponatur τῷ· εἰς πάντας, quod praecessit.“ — Cfr. pag. huj. not. 2.

[4]) Boherellus: „Vel ἐν τούτοις. Nam Neutrius est.“

[5]) Cfr. II Cor. XII, 4. — Edd. Spenc. et Ruaei: ἤκουσα.

[6]) Matth. XI, 15. [7]) Matth. V, 8.

[8]) Cfr. Coloss. I, 15. [9]) Cfr. ev. Joann. XIV, 9.

[10]) Cfr. ev. Joann. XIV, 9.

τὸν πατέρα τὸν πέμψαντά με·« ἕπονται γὰρ κατὰ τοῦτο ἑωρακότες τὸν πατέρα θεὸν καὶ πάντες οἱ λέγοντες· »σταυροῦ,[1]) σταυροῦ αὐτόν·« καὶ ὁ ἐξουσίαν κατὰ τοῦ ἀνθρωπίνου αὐτοῦ[2]) Πίλατος λαβών· ὕπερ ἐστὶν ἄτοπον. Ὅτι δὲ τό· »ὁ[3]) ἑωρακὼς ἐμέ, ἑώρακε τὸν πατέρα τὸν πέμψαντά με·« οὐκ ἐπὶ τὴν κοινοτέραν ἐκδοχὴν ἀναφέρεται· δῆλον ἐκ τοῦ εἰρῆσθαι τῷ Φιλίππῳ· „τοσοῦτον[4]) χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε;“ Τοῦτο δ' εἰρηκεν αὐτῷ ἀξιώσαντι καὶ λέγοντι· „δεῖξον[5]) ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν.“ Νοήσας τις οὖν, πῶς δεῖ ἀκούειν περὶ μονογενοῦς θεοῦ υἱοῦ τοῦ θεοῦ, τοῦ πρωτοτόκου πάσης κτίσεως, καθότι „ὁ[6]) λόγος γέγονε σάρξ·“ ὄψεται[7]) πῶς ἰδών τις τὴν εἰκόνα τοῦ ἀοράτου θεοῦ γνώσεται τὸν πατέρα καὶ ποιητὴν τοῦδε τοῦ παντός.

44. Κέλσος μὲν οὖν ἤτοι τῇ συνθέσει τῇ ἐπὶ τὰ ἄλλα, ἀνάλογον τῇ παρὰ τοῖς γεωμέτραις καλουμένῃ συνθέσει, ἢ τῇ ἀπὸ τῶν ἄλλων ἀναλύσει, ἢ καὶ ἀναλογίᾳ[8]) ἀνάλογον τῇ παρὰ τοῖς αὐτοῖς ἀναλογίᾳ, οἴεται γιγνώσκεσθαι τὸν θεὸν, ἐπὶ τὰ πρόθυρα εἰ ἄρα τοῦ ἀγαθοῦ δυναμένου τινὸς οὕτως ἐλθεῖν· ὁ δὲ τοῦ θεοῦ λόγος εἰπών· „οὐδεὶς[9]) ἔγνω τὸν πατέρα, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἂν ὁ υἱὸς ἀποκαλύψῃ·“ θείᾳ τινὶ χάριτι, οὐκ ἀθεεὶ ἐγγινομένῃ τῇ ψυχῇ, ἀλλὰ μετά τινος

---

[1]) Cfr. Luc. XXIII, 21. — Edd. Spenc. et Ruaei: σταύρου, σταύρου αὐτόν.

[2]) Omittitur in antea editis (v. c. edd. Spenc.) αὐτοῦ, sed suppletur e Mss. R. — Cfr. ev. Joann. XIX, 10.

[3]) Cfr. ev. Joann. XIV, 9.

[4]) Ev. Joann. XIV, 9. [5]) Ev. Joann. XIV, 8.

[6]) Ev. Joann. I, 14.

[7]) Boherellus: „Voces: ὄψεται et γνώσεται invicem transponendas puto.“

[8]) Vox: ἀναλογίᾳ hic abundare videtur, nec a Gelenio agnoscitur. R.

[9]) Cfr. Matth. XI, 27.

ἐνθουσιασμοῦ, ἀποφαίνεται γιγνώσκεσθαι τὸν θεόν. Καὶ γὰρ εἰκὸς, μείζονα μὲν ἢ κατὰ τὴν ἀνθρωπίνην φύσιν εἶναι τὴν γνῶσιν τοῦ θεοῦ· — διὸ καὶ τὰ τοσαῦτα παρ' ἀνθρώποις ἐστὶ περὶ θεοῦ σφάλματα· — χρησιότητι δὲ καὶ φιλανθρωπίᾳ τοῦ θεοῦ, καὶ (362) παραδόξῳ καὶ θειοτέρᾳ χάριτι, φθάνειν τὴν τοῦ θεοῦ γνῶσιν ἐπὶ τοὺς προγνώσει θεοῦ προκαταληφθέντας, ὅτι ἀξίως βιώσουσι τοῦ ἐγνωσμένου, οὐδαμῶς παραχαράττοντες τὴν εἰς αὐτὸν εὐσέβειαν, οὔτε ἂν ὑπὸ τῶν ἀγνοούντων ὅ, τί ποτέ ἐστιν εὐσέβεια, καὶ πᾶν ὅ, τί ποτ' οὖν μᾶλλον ἀναπλαττόντων εἶναι τὴν εὐσέβειαν ἢ ὅπερ ἐστὶν ἡ εὐσέβεια, τὴν ἐπὶ θανάτῳ ἀπάγωνται, οὔτε ἂν καταγελαστότατοι εἶναι νομίζωνται. Ὁρῶν δ', οἶμαι, ὁ θεὸς καὶ τὴν ἀλαζονείαν, ἢ [1]) τὴν πρὸς τοὺς ἄλλους ὑπεροψίαν, τῶν μεγάλα μὲν φρονούντων ἐπὶ τῷ ἐγνωκέναι τὸν θεὸν, καὶ ἀπὸ φιλοσοφίας τὰ θεῖα μεμαθηκέναι, παραπλησίως δὲ τοῖς ἀπαιδευτοτάτοις ἐπὶ τὰ ἀγάλματα, καὶ τοὺς νεὼς αὐτῶν, καὶ τὰ θρυλλούμενα μυστήρια ἄγοντας,[2]) ἐξελέξατο[3]) »τὰ μωρὰ τοῦ κόσμου,« τοὺς ἐν Χριστιανοῖς ἁπλουστάτους, καὶ πολλῶν φιλοσόφων μετριώτερον καὶ καθαρώτερον βιοῦντας· ἵνα καταισχύνῃ τοὺς σοφοὺς, οὐκ αἰδουμένους ἐν τῷ τοῖς ἀψύχοις προσομιλεῖν ὡς θεοῖς, ἢ θεῶν εἰκόσι. Τίς γὰρ νοῦν ἔχων οὐ καταγελάσεται τοῦ μετὰ τοὺς τηλικούτους καὶ τοσούτους ἐν φιλοσοφίᾳ περὶ θεοῦ, ἢ θεῶν λόγους, ἐνορῶντος τοῖς ἀγάλμασι, καὶ ἤτοι αὐ-

---

[1]) Boherellus: „Malim: *καὶ τὴν πρὸς τοὺς ἄλλους*“ κτλ.

[2]) Boherellus: „Lego: *ἀγόντων*, quod eodem fere modo explicandum est, ac si scriptum sit: *ἀγομένων*. Sic et paulo infra *ἀναφέροντος*, non alio sensu positum videtur, quam si scribatur: *ἀναφερομένων*.“ — Spencerus: „Lego cum Boherello: *ἀγόντων*, id est: *euntium*.“

[3]) Hoeschel. in notis: „Cod. Gelenii: *ἐξελέγξατο*. Vertit enim: *coarguit*, sed vitiose.“ — Cfr. I Cor. I, 27.

τοῖς ἀναπέμποντος τὴν εὐχὴν, ἢ διὰ τῆς τούτων ὄψεως, ἐφ'[1]) ὃν φαντάζεται δεῖν ἀναβαίνειν ἀπὸ τοῦ βλεπομένου καὶ συμβόλου ὄντος, ἀναφέροντός[2]) τε[3]) ἐπὶ τὸν νοούμενον; Χριστιανὸς δὲ, καὶ ὁ ἰδιώτης, πάντα μὲν τόπον τοῦ κόσμου πέπεισται εἶναι μέρος τοῦ ὅλου, ναοῦ τοῦ θεοῦ ὄντος τοῦ παντὸς κόσμου· ἐν παντὶ δὲ τόπῳ εὐχόμενος, μύσας τοὺς τῆς αἰσθήσεως ὀφθαλμοὺς, καὶ ἐγείρας τοὺς τῆς ψυχῆς, ὑπεραναβαίνει τὸν ὅλον κόσμον. Καὶ οὐδ' ἐπὶ τὴν ἀψίδα ἵσταται τοῦ οὐρανοῦ, ἀλλ' εἰς τὸν ὑπερουράνιον[4]) γενόμενος τῇ δια-

---

[1]) Guieto scribendum videtur: *ἐφ' ᾧ φαντάζεται δεῖν ἀναβαίνειν, ἀναφέροντος; Χριστιανὸς δέ, κτλ.* Itaque *τὴν εὐχήν*, ad voc. *ἀναφέροντος* refert, cetera vero addititia ei et aliena videntur. Sed Boherellus omnia sana existimat, si etc. R. — Cfr. pag. huj. not. 3.

[2]) Edd. Spenc. ad marg. *ἀναφέροντά τε.* — Cfr. pag. 69. not. 2.

[3]) Boherellus: „*Τό· τε* delendum puto; nam praecessit *ἤ*, quo *ἀναφέροντος* jungatur cum *ἀναπέμποντος*. Haec enim est verborum constructio: *ἢ διὰ τῆς τούτων ὄψεως ἀναφέροντος ἐπὶ τὸν νοούμενον, ἐφ' ὃν κτλ.* Post *ἀναφέροντος* potest etiam subintelligi *τὴν εὐχήν*, quamquam paulo remotius. Quod si *τε* retinere velis, tunc *ἀναφέροντος* jungendum erit cum immediate praecedenti: *ὄντος*, et ante *ἐφ' ὃν* subaudiendum e praecedentibus: *ἀναπέμποντος τὴν εὐχήν*. Hoc forte praestat.“ — Cfr. pag. huj. not. 1.

[4]) Hoeschel. et Spencer. *ἐπουράνιον*, sed Cod. Basil. *ὑπερουράνιον*, quae genuina est lectio. Origenes enim hic respexit ad ea, quae Plato in Phaedro dixit: *Ὅταν δὲ δὴ πρὸς ταῦτα καὶ ἐπὶ θοίνην ἴωσιν, ἄκραν ὑπὸ τὴν ὑπ' οὐράνιον ἀψῖδα πορεύονται πρὸς ἄνακτες ἤδη.* Cfr. ed. Bekk. Part. I. Vol. I. pag. 41. (al. 247.) Et mox: *Τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησέ πω τῶν τῇδε ποιητὴς, οὔτε ποθ' ὑμνήσει καὶ' ἀξίαν.* Cfr. ibid. pag. 42. (al. 247.) R.

νοίᾳ τόπον, ὁδηγούμενος ὑπὸ τοῦ θεοῦ πνεύματος, καὶ ὡσπερεὶ ἔξω τοῦ κόσμου τυγχάνων, ἀναπέμπει οὐ περὶ τῶν τυχόντων τὴν εὐχὴν τῷ θεῷ· ἔμαθε[1]) γὰρ ἀπὸ τοῦ Ἰησοῦ μηδὲν μικρὸν, τουτέστιν αἰσθητὸν, ζητεῖν, ἀλλὰ μόνα τὰ μεγάλα καὶ ἀληθῶς θεῖα, ὅσα συμβάλλεται διδόμενα ὑπὸ τοῦ θεοῦ, πρὸς τὸ ὁδεῦσαι ἐπὶ τὴν παρ' αὐτῷ διὰ τοῦ υἱοῦ αὐτοῦ λόγου ὄντος θεοῦ μακαριότητα.

45. Ἴδωμεν δὲ καὶ ἃ φησιν ἡμᾶς διδάξειν, εἰ ἄρα αὐτοῖς ἀκολουθῆσαι δυνησόμεθα, ἐν οἷς λέγει ἡμᾶς παντελῶς ἐνδεδέσθαι τῇ σαρκὶ, οὓς[2]) ἐὰν βιῶμεν ὀρθῶς, καὶ κατὰ τὸν Ἰησοῦ λόγον, ἀκούοντας τό· »ὑμεῖς[3]) οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν.« Φησὶ δ' »ἡμᾶς καὶ μηδὲν κα-

---

[1]) Respicit Origenes ad illa Christi verba apud Clementem Alexandrinum lib. I. Stromat. pag. 346. *Αἰτεῖτε γὰρ, φησὶ, τὰ μεγάλα, καὶ τὰ μικρὰ ὑμῖν προστεθήσεται*, et ad ista, quae ipse affert Adamantius lib. de Oratione: *Καὶ αἰτεῖτε τὰ ἐπουράνια, καὶ τὰ ἐπίγεια ὑμῖν προστεθήσεται*, ex Evangelio forte, Patribus passim laudato, Nazaraeorum, nisi malis Origenem incidisse in interpolatum Matthaei Codicem cap. VI, vers. 33. R.

[2]) *Λυτέους* pro *οὓς* legisse, aut legendum conjecisse videtur Gelenius interpres; cujus conjecturam cum arripuisset Spencerus, sic absque ulla Mss. auctoritate textum suum adornavit: *οὓς ἐὰν βιῶμεν ὀρθῶς καὶ κατὰ τὸν Ἰησοῦ λόγον ἀκούοντες, λύσει τό· ὑμεῖς κτλ.* Verum: *λύσει τό·* deest in omnibus Mss. et apud Hoeschelium. Cod. Jolianus ex correctione habet: *τῇ σαρκὶ, τοὺς ἐὰν βιῶμεν ὀρθῶς καὶ κατὰ τὸν Ἰησοῦ λόγον, ἀκούοντας τό· ὑμεῖς κτλ.* Rectius. R. — Spenc. ad marg. *ἀκούοντες τό· ὑμεῖς κτλ.*, Boherell. vero in notis: »Distinguendum existimo post *λόγον*, et legendum: *ἀκούοντας*, quod regatur a sequenti: *λύσει*.«

[3]) Rom. VIII, 9.

θαρὸν βλέπειν,« τοὺς πειρωμένους μηδὲ μέχρι τῶν λογισμῶν ὑπὸ τῶν ἐνθυμημάτων τῆς κακίας μολύνεσθαι, καὶ ἐν τῇ εὐχῇ λέγοντας· « »καρδίαν[1]) καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου·« ἵνα τῇ μόνῃ περιυσίᾳ βλέπειν θεὸν »καρδίᾳ[2]) καθαρᾷ« θεασώμεθα αὐτόν. Ἃ δὲ λέγει, τοιαῦτά ἐστιν· »Οὐσία καὶ γένεσις (363) νοητὸν, ὁρατόν· μετὰ οὐσίας μὲν ἀλήθεια, μετὰ δὲ γενέσεως πλάνη. Περὶ ἀλήθειαν μὲν οὖν ἐπιστήμη, περὶ δὲ θάτερον δόξα· καὶ νοητοῦ μέν ἐστι νόησις, ὁρατοῦ δὲ ὄψις. Γινώσκει δὲ νοητὸν μὲν νοῦς, ὁρατὸν δὲ ὀφθαλμός. Ὅπερ οὖν ἐν τοῖς ὁρατοῖς ἥλιος, οὔτ' ὀφθαλμὸς ὤν, οὔτ' ὄψις, ἀλλ' ὀφθαλμῷ τε τοῦ ὁρᾶν αἴτιος, καὶ ὄψει τοῦ[3]) δι' αὐτὸν συνίστασθαι, καὶ ὁρατοῖς τοῦ ὁρᾶσθαι, πᾶσιν αἰσθητοῖς τοῦ γίγνεσθαι, καὶ[4]) μὴ αὐτὸς αὑτῷ τοῦ βλέπεσθαι· τοῦτο ἐν τοῖς νοητοῖς ἐκεῖνος, ὅσπερ οὔτε νοῦς, οὔτε νόησις, οὔτ' ἐπιστήμη, ἀλλὰ νῷ τε τοῦ νοεῖν αἴτιος, καὶ[5]) νοήσει τοῦ δι' αὐτὸν εἶναι, καὶ ἐπιστήμῃ τοῦ δι' αὐτὸν γιγνώσκειν, καὶ[6]) νοητοῖς ἅπασι, καὶ αὐτῇ ἀληθείᾳ, καὶ αὐτῇ οὐσίᾳ, τοῦ εἶναι· πάντων ἐπέκεινα ὤν, ἀῤῥήτῳ τινὶ δυνάμει, νοητός. Ταῦτ' εἴρηται μὲν ἀνθρώποις νοῦν ἔχουσιν· εἰ δέ τι

---

[1]) Psalm. LI, 10. (L.) [2]) Cfr. Matth. V, 8.

[3]) Mallet Guietus: τοῦ δι' αὐτοῦ. R.

[4]) Boherellus: »Lege: καὶ μὴν αὐτὸς αὑτῷ τοῦ βλέπεσθαι.« — Guietus legit: καὶ δὴ αὐτὸς αὑτῷ τοῦ βλέπεσθαι. R.

[5]) Mallet Guietus: καὶ νοήσει τοῦ δι' αὐτοῦ εἶναι, καὶ ἐπιστήμῃ τοῦ δι' αὐτοῦ γιγνώσκειν. R.

[6]) Spencerus: καὶ νοητοῖς ἅπασι· καὶ αὕτη ἀλήθεια, καὶ αὕτη οὐσία, τοῦ εἶναι πάντων ἐπέκεινα, ὧν ἀῤῥήτῳ τινὶ δυνάμει νοητός. Jam Boherellus vero: »Haec sic lege, et distingue: καὶ νοητοῖς ἅπασι, καὶ αὐτῇ ἀληθείᾳ, καὶ αὐτῇ οὐσίᾳ, τοῦ εἶναι· πάντων ἐπέκεινα ὧν, ἀῤῥήτῳ τινὶ δυνάμει, νοητός.«

αὐτῶν καὶ ὑμεῖς συνίετε, εὖ[1]) ὑμῖν ἔχει. Καὶ πνεῦμα, εἴ τι οἴεσθε κατιὸν ἐκ θεοῦ προαγγέλλειν τὰ θεῖα, τοῦτ' ἂν εἴη τὸ πνεῦμα τὸ ταῦτα κηρύττον, οὗ δὴ πλησθέντες ἄνδρες παλαιοὶ πολλὰ κἀγαθὰ ἠγγείλαν· ὧν εἰ μὴ δύνασθε ἐπαΐειν, σιωπᾶτε, καὶ τὴν ἑαυτῶν ἀμαθίαν ἐγκαλύπτετε, καὶ μὴ λέγετε τυφλώττειν τοὺς βλέποντας, καὶ χωλοὺς εἶναι τοὺς τρέχοντας, αὐτοὶ πάντη τὰς ψυχὰς ἀποκεχωλευμένοι καὶ ἠκρωτηριασμένοι, καὶ τῷ σώματι ζῶντες, τουτέστι τῷ νεκρῷ.

46. Πρὸς ταῦτα δ' ἡμεῖς φήσομεν[2]) οἱ μελετήσαντες μηδενὶ ἀπεχθάνεσθαι τῶν καλῶς λεγομένων, κἂν οἱ ἔξω τῆς πίστεως λέγωσι καλῶς, μὴ[3]) προσφιλονεικεῖν αὐτοῖς, μηδὲ ζητεῖν ἀνατρέπειν τὰ ὑγιῶς ἔχοντα, ὅτι οἱ μὲν διαλοιδορούμενοι τοῖς κατὰ δύναμιν εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβεῖν θέλουσιν, ἀποδεχόμενον ἰδιωτῶν τὴν εἰς αὐτὸν πίστιν, καὶ συνετωτέρων τὴν μετὰ λόγου εἰς αὐτὸν εὐσέβειαν, μετ' εὐχαριστίας ἀναπεμπόντων εὐχὰς τῷ δημιουργῷ τοῦ παντὸς, καὶ ἀναπεμπόντων αὐτὰς, ὡς δι' ἀρχιερέως τοῦ τὴν εἰλικρινῆ θεοσέβειαν ἀνθρώποις παραστήσαντος· καὶ καλοῦντες αὐτοὺς »κεχωλευμένους τὰς ψυχὰς καὶ ἠκρωτηριασμένους,« λέγοντες δὲ καὶ »σώμαι ζῶντας τῷ νεκρῷ« τοὺς μελετῶντας ἀπὸ διαθέσεως λέγειν τό· »ἐν[4]) σαρκὶ γὰρ ζῶντες, οὐ κατὰ σάρκα στρατευόμεθα· τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ θεῷ·« ὁράτωσαν, μὴ κατ' αὐτὸ τοῦτο λέγειν κακῶς ἀνθρώπους εὐχομένους εἶναι θεοῦ, τὰς ψυχὰς ἑαυτῶν χωλὰς κατασκευάζωσι, καὶ[5]) τὸν ἔσω ἑαυτῶν ἄνθρωπον ἀκρωτη-

---

[1]) Omnes Codd. Mss. (itemq. Boherell. in not.) εὖ ὑμῖν ἔχει, sicque Gelenius interpres legit. Hoeschel. autem et Spenc. male: ἐφ' ὑμῖν λέγει. R.

[2]) Cfr. lib. VI. contra Cels. num. 3.

[3]) Aliquot Mss. μὴ πρὸς φιλονεικίαν. R.

[4]) Cfr. II Cor. X, 3. 4.

[5]) Deest καί in antea editis (v. c. edd. Spenc.), sed

ριάζωσιν, ἀποκόπτοντες αὐτοὺς,[1]) διὰ τῶν εἰς ἑτέρους δυσφημιῶν, τοὺς καλῶς βιοῦν ἐθέλοντας, τὸ ἐπιεικὲς καὶ τὸ εὐσταθὲς, ἐνεσπαρμένα φυσικῶς ὑπὸ τοῦ δημιουργοῦ τῇ λογικῇ φύσει. Οἱ δὲ πρὸς[2]) ἑτέρους μαθόντες ἀπὸ τοῦ θείου λόγου, καὶ ποιοῦντες, καὶ τὸ λοιδορούμενοι[3]) εὐλογεῖν, διωκόμενοι ἀνέχεσθαι, δυσφημούμενοι[4]) παρακαλεῖν· οὗτοι ἂν (364) εἶεν οἱ τὰς τῆς ψυχῆς βάσεις ὀρθώσαντες, καὶ ὅλην τὴν ψυχὴν καθαίροντες καὶ εὐτρεπίζοντες· οὐχ ἵνα λέξεσι μόναις οὐσίαν ἀπὸ γενέσεως χωρίζωσι, καὶ νοητὸν ἀπὸ ὁρατοῦ, καὶ τὴν μὲν ἀλήθειαν τῇ οὐσίᾳ συνάπτωσι, τὴν δὲ μετὰ γενέσεως πλάνην παντὶ τρόπῳ φεύγωσι· σκοποῦντες, ὡς ἔμαθον, οὐ τὰ γενέσεως, ἅπερ ἐστὶ βλεπόμενα,[5]) καὶ διὰ τοῦτο πρόσκαιρα, ἀλλὰ τὰ κρείττονα· εἴτ' οὐσίαν αὐτά τις βούλεται καλεῖν· εἴτε διὰ[6]) τὸ νοητὰ τυγχάνειν, ἀόρατα· εἴτε διὰ τὸ ἔξω αἰσθήσεως εἶναι αὐτῶν τὴν φύσιν, μὴ βλεπόμενα. Οὕτω δὲ καὶ[7]) τοῖς τῆς γενέσεως ἐνσῶσιν οἱ τοῦ Ἰησοῦ μαθηταὶ, ὥστε οἱονεὶ ἐπιβάθρᾳ χρῆσθαι αὐτοῖς πρὸς τὴν κατανόησιν τῆς τῶν νοητῶν φύσεως· τὰ[8]) γὰρ ἀόρατα τοῦ θεοῦ ἀπὸ κτίσεως κόσμου, τουτέστι τὰ νοητὰ, τοῖς ποιήμασι νοούμενα, ἐν τῷ νοεῖσθαι, καθορᾶται. Καὶ οὐχ ἵστανταί γε, ἀναβάντες ἀπὸ τῶν τοῦ κόσμου κτισμάτων, ἐν

---

habetur in Mss. R. — Jam Boherellus: »Videtur *καί* deesse ante *τόν*.«

[1]) Spenc. *αὐτούς*, Ruaeus: *αὐτούς*. — Boherellus: »Lego: *αὐτοῦ*, ut jungatur cum voc. *ἐπιεικές*.«

[2]) Boherellus, quocum Ruaeus facit: »Interpres Gelenius legit: *πρὸς ἑτέροις*. Non male.« — Codd. Reg. et Basil. *πρὸς ἑτέρου*. R.

[3]) Cfr. I Cor. IV, 12. 13.

[4]) Cfr. lib. V. contra Cels num. 63.

[5]) Cfr. II Cor. IV, 18.

[6]) Mss. *διὰ τὸ νοητὰ τυγχάνειν*. Libri antea editi (v. c. edd. Spenc.) *διὰ τὰ νοητὰ τυγχάνειν*. R.

[7]) Deest *καί* in ed. Ruaei. [8]) Cfr. Rom. I, 20.

τοῖς ἀοράτοις τοῦ θεοῦ· ἀλλὰ γὰρ ἱκανῶς ἐκείνοις ἐγγυμνασάμενοι, καὶ συνιέντες αὐτὰ, ἀναβαίνουσιν ἐπὶ τὴν ἀΐδιον[1]) δύναμιν τοῦ θεοῦ, καὶ ἁπαξαπλῶς τὴν θεότητα αὐτοῦ· ἐπιστάμενοι, ὅτι ὁ μὲν φιλάνθρωπος θεὸς τὴν ἀλήθειαν καὶ τὸ ἑαυτοῦ γνωστὸν[2]) ἐφανέρωσεν οὐ μόνον τοῖς ἀνακειμένοις αὐτῷ, ἀλλὰ καί τισι τῶν ἔξω τῆς εἰλικρινοῦς θεοσεβείας καὶ εἰς αὐτὸν εὐσεβείας· τινὲς δὲ τῶν θεοῦ προνοίᾳ ἀναβεβηκότων ἐπὶ τὴν τῶν τηλικούτων γνῶσιν οὐκ ἄξια τῆς γνώσεως δρῶντες ἀσεβοῦσι, καὶ τὴν[3]) ἀλήθειαν ἐν ἀδικίᾳ κατέχουσιν· οὔτ' ἀπολογίας[4]) ἔτι χώραν ἐπὶ τῇ γνώσει τῶν τηλικούτων ἔχειν δυνάμενοι παρὰ τῷ θεῷ.

47. Μαρτυροῦνται γοῦν ὑπὸ τοῦ θείου λόγου οἱ τὰ παρὰ τῷ Κέλσῳ ἐκκείμενα καταλαβόντες, καὶ κατὰ τὰ δόγματα ταῦτα φιλοσοφεῖν ἐπαγγελλόμενοι, ὅτι »γνόντες[5]) τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν, ἢ εὐχαρίστησαν· ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη,« μετὰ τὸ τηλικοῦτο φῶς τῆς περὶ ὧν ἐφανέρωσεν αὐτοῖς ὁ θεὸς γνώσεως, ἡ ἐπειγομένη »ἀσύνετος αὐτῶν καρδία.« Ἔστι γοῦν ἰδεῖν, τίνα τρόπον οἱ[6]) »φάσκοντες εἶναι σοφοὶ,« μεγάλης μωρίας δείγματα ἐμφαίνουσιν· ὅτε μετὰ τοὺς τηλικούτους ἐν ταῖς διατριβαῖς περὶ θεοῦ καὶ τῶν νοητῶν λόγους »ἠλλάξαντο[7]) τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν.« Διὸ καὶ αὐτοὶ μὲν καταλειφθέντες ὑπὸ τῆς προνοίας, ὡς οὐκ ἀξίως βιώσαντες

---

[1]) Cfr. Rom. I, 20.

[2]) Cfr. Rom. I, 19. — Vide lib. IV. contra Cels. num. 39. coll. lib. VI. num. 3.

[3]) Cfr. Rom. I, 18. [4]) Cfr. Rom. I, 20.

[5]) Cfr. Rom. I, 21. — Edd. Spenc. male: γνῶντες. Jam Boherell. vero: »Lege: γνόντες.«

[6]) Cfr. Rom. I, 22.

[7]) Cfr. Rom. I, 23. — Vulgata biblia: ἤλλαξαν.

τῶν φανερωθέντων αὐτοῖς ὑπὸ τοῦ θεοῦ, ἐγκαλινδοῦνται »ταῖς [1]) ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν·« καὶ ἀτιμάζεται [2]) αὐτῶν τὰ σώματα ἐν ἀσχημοσύναις καὶ ἀκολασίαις, ἀνθ' [3]) ὧν ἀντήλλαξαν [4]) »τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει, [5]) καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα.«

48. Οἱ δ' ὑπ' αὐτῶν ἐπὶ ἰδιωτείᾳ [6]) ἐξουθενούμενοι, (365) καὶ μωροὶ, καὶ ἀνδράποδα εἶναι λεγόμενοι, κἂν μόνον πιστεύωσιν ἑαυτοὺς τῷ θεῷ, παραδεξάμενοι τὴν τοῦ Ἰησοῦ διδασκαλίαν, τοσοῦτον ἀποδέουσιν ἀσελγείας καὶ ἀκαθαρσίας καὶ πάσης τῆς ἐν συνουσίαις ἀσχημοσύνης· ὡς καὶ τρόπον τελείων ἱερέων πᾶσαν [7]) συνουσίαν ἀποστραφέντων πολλοὺς αὐτῶν παντελῶς καθαρεύειν, οὐ μόνον ἀπὸ πάσης μίξεως. Καὶ εἷς μέν που παρ' Ἀθηναίοις ἱεροφάντης, οὐδὲ πιστευόμενος [8]) ἑαυτοῦ τὰς ἀρσενικὰς ὀρέξεις, ὡς κύριος αὐτῶν εἶναι δυνάμενος καὶ κρατεῖν αὐτῶν ἐς ὅσον βούλεται, κωνειασθεὶς τὰ ἀρσενικὰ μέρη, καθαρὸς εἶναι νομίζεται πρὸς τὴν νενομισμένην παρ' Ἀθηναίοις ἁγιστείαν. Ἔστι δ' ἐν Χριστιανοῖς ἰδεῖν ἄνδρας μὴ δεηθέντας κωνείου, ἵνα τὸ θεῖον καθαρῶς θεραπεύσωσιν·

---

[1]) Cfr. Rom. 1, 24. [2]) Cfr. Rom. 1, 24.

[3]) Libri antea editi (v. c. edd. Spenc., uncis verb. οἵτινες appositis): οἵτινες ἄνωθεν μετήλλαξαν κτλ., sed Mss. ἀνθ' ὧν ἀντήλλαξαν. R. — Cfr. Rom. 1, 25.

[4]) Edd. Spenc. ad marg. ἀντήλλαξαν. — Cfr. pag. huj. not. 3.

[5]) Edd. Spenc. et Ruaei: ψευδεῖ.

[6]) Mss. ἰδιωτείᾳ. Libri editi (v. c. edd. Spenc.) ἰδιωτίᾳ. R.

[7]) Vide lib. I. contra Cels. num. 26.

[8]) Hoeschel. in textu, Spenc. ad marg. πεπιστευμένος. Hieronymus ep. ad Gerontiam de Monogamia, et in fine libri primi adversus Jovinianum: »Hierophantas quoque Atheniensium usque hodie cicutae sorbitione castrari, et postquam in pontificatum fuerint electi, viros esse desinere.«

ἀλλ' ἀρκουμένους λύγῳ ἀντὶ κωνείου, ὡς πᾶσαν ἐπιθυμίαν ἀπὸ τῆς διανοίας αὐτῶν ἐξελάσαντες τὸ θεῖον εὐχαῖς θεραπεύωσι.[1]) Παῦ' ἄλλοις δὲ νομιζομένοις θεοῖς εἶναι παρθένοι πάνυ εὐαρίθμητοι,[2]) εἴτε ὑπὸ ἀνθρώπων φρουρούμεναι, εἴτε καὶ μή· (οὐ γὰρ τοῦτο πρόκειται νῦν ἐξετάζειν·) δοκοῦσι διατελεῖν[3]) ἐν τῇ διὰ τὴν εἰς τὸ θεῖον τιμὴν καθαρότητι· ἐν δὲ Χριστιανοῖς, οὐ διὰ τὰς παρὰ ἀνθρώποις τιμὰς, οὐ διὰ μισθοὺς καὶ ἀργύρια, οὐδὲ διὰ δοξάριον, ἀσκοῦσι τὴν παντελῆ παρθενίαν· καὶ ὡς »ἐδοκίμασαν[4]) τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει,« τηροῦνται ὑπὸ τοῦ θεοῦ ἐν δοκίμῳ νῷ, καὶ τῷ ποιεῖν τὰ καθήκοντα, πληρούμεναι[5]) πάσης δικαιοσύνης καὶ ἀγαθότητος.

49. Ταῦτα δὴ λέλεκταί μοι, οὐ προσφιλονεικοῦντι μὲν τοῖς καλῶς καὶ παρ' Ἕλλησι νενομημένοις, οὐδὲ κατηγοροῦντι τῶν ὑγιῶν δογμάτων· βουλομένῳ δὲ παραστῆσαι, ὅτι καὶ ταῦτα, ἀλλὰ καὶ τούτων ἔτι μείζονα καὶ θειότερα λέλεκται μὲν παρὰ τοῖς θείοις ἀνδράσι, προφήταις τοῦ θεοῦ, καὶ ἀποστόλοις τοῦ Ἰησοῦ· ἐξετάζεται δὲ παρὰ τοῖς τελειότερον Χριστιανίζειν ἐθέλουσι, καὶ ἐπισταμένοις, ὅτι »στόμα[6]) δικαίου μελετήσει σο-

---

[1]) Mss. (itemq. Boherell.) θεραπεύωσι. Libri antea editi (v. c. edd. Spenc.) θεραπεύσουσι. R.

[2]) Vide Hieronymum lib. I. adversus Jovinianum.

[3]) Codd. Reg. et Basil. διατελεῖν διὰ τὴν εἰς τὸ θεῖον τιμὴν καθαρώτατοι· οἱ δὲ Χριστιανοὶ οὐ διὰ τάς κτλ. Quae lectio non spernenda, cum tempore Origenis ista fere de Christianis in universum, non de quibusdam eorum vere potuerint dici. R.

[4]) Cfr. Rom. I, 28.

[5]) Absunt a Codd. Reg. et Basil. verba: πληρούμεναι πάσης δικαιοσύνης καὶ ἀγαθότητος. Apud Hoeschel. legitur in textu (apud Spenc. in marg.) πληρούμενοι. R.

[6]) Cfr. Psalm. XXXVII, 30. 31. (XXXVI.)

φίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν· ὁ νόμος τοῦ θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ.« Ἀλλὰ καὶ παρ' οἷς εἴτε διὰ πολλὴν ἰδιωτείαν,[1]) εἴτε δι' ἁπλότητα, εἴτε καὶ δι' ἀπορίαν τῶν προτρεψάντων ἐπὶ τὴν λογικὴν εὐσέβειαν, ταῦτα μὲν οὐ τετράνωται, θεὸς δὲ ὁ ἐπὶ πᾶσι πιστεύεται, καὶ ὁ τούτου μονογενὴς υἱὸς λόγος καὶ θεός, εὑρεθείη ἂν σεμνότητος καὶ καθαρότητος καὶ ἤθους ἀφέλεια, καὶ ἁπλότης[2]) πολλάκις κρείττων· ἣν οἱ »φάσκοντες[3]) εἶναι σοφοὶ« μὴ ἀνειληφότες ἐγκαλινδοῦνται μετὰ παίδων, ἐν οἷς οὐ θέμις, ἄῤῥενες[4]) »ἐν ἄῤῥεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι.«

50. Ὁ μὲν οὖν οὐκ ἐσαφήνισε, πῶς μετὰ γενέσεώς ἐστι πλάνη· οὐδὲ παρέστησεν ὅ, τί περ ἐβούλετο· ἵνα κατανοήσωμεν συγκρίνοντες τὰ αὐτοῦ τοῖς ἡμετέροις. Οἱ δὲ προφῆται, αἰνιττόμενοι[5]) ὅ, τι περὶ τῶν γενέσεως πραγμάτων σοφὸν, θυσίαν περὶ ἁμαρτίας λέγουσιν ἀναφέρεσθαι, καὶ περὶ[6]) τῶν ἄρτι γεγεννημένων, ὡς (366) οὐ καθαρῶν ἀπὸ ἁμαρτίας. Φασὶ δὲ καὶ τό· »ἐν[7]) ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.« Ἀλλὰ καὶ ἀποφαίνονται, ὅτι »ἀπηλλοτριώθησαν[8]) οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας·« παραδόξως λέγοντες καὶ τό· »ἐπλανήθησαν[9]) ἀπὸ γαστρὸς, ἐλάλησαν ψευδῆ.« Οὕτω δὲ πᾶσαν τὴν τῶν αἰσθητῶν διαβάλλουσιν οἱ καθ' ἡμᾶς σοφοὶ φύσιν, ὥστε

---

[1]) Mss. *ἰδιωτείαν*. Libri editi (v. c. edd. Spenc.) *ἰδιωτίαν*. R.

[2]) Hoeschel. in textu, Spenc. ad marg. *ἀπλότητος*.

[3]) Cfr. Rom. I, 22. [4]) Cfr. Rom. I, 27.

[5]) Boherellus: „Malim: *αἰνιττόμενοι τὸ περί*" κτλ. — Edd. Spenc. ad marg. *αἰνιττόμενοι ὅτι περί* κτλ.

[6]) Vide Galeni lib. V. de Hippocratis et Platonis decretis, pag. 290

[7]) Psalm. LI, 5. (L.)

[8]) Psalm. LVIII, 3. (LVII.)

[9]) Psalm. LVIII, 3. (LVII.)

πὴ μὲν ματαιότητα εἰρῆσθαι τὰ σώματα, ἐν τῷ· »τῇ [1]) γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι·« πὴ δὲ ματαιότητα ματαιοτήτων, ὡς [2]) εἶπεν ὁ ἐκκλησιαστής· »ματαιότης [3]) ματαιοτήτων, τὰ πάντα ματαιότης.« Τίς δ' οὕτω διαβέβληκε τὴν ἐνταῦθα τῆς ἀνθρώπου ψυχῆς ζωὴν, ὡς ὁ εἰπών· »πλὴν [4]) τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν;« Οὐ γὰρ ἐδίστασε περὶ τῆς διαφορᾶς τοῦ ζῆν τῆς ψυχῆς ἐνταῦθα, καὶ ἔξω τῶν ἐνθάδε· οὐδ' ἔλεγε μέν·

Τίς [5]) οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
Τὸ κατθανεῖν δὲ ζῆν; [6])

Θαῤῥεῖ δὲ λέγειν τὰ ἀληθῆ ἐν τῷ· »ἐταπεινώθη [7]) εἰς χοῦν ἡ ψυχὴ ἡμῶν·« καί· „εἰς [8]) χοῦν θανάτου κατήγαγές με.“ Καθὸ καὶ τό· „τίς [9]) με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;“ Ἀλέκται καὶ τό· „ὃς [10]) μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν.“ Προφήτης δέ ἐστι καὶ ὁ εἰπὼν τό· „ἐταπείνωσας [11]) ἡμᾶς

---

[1]) Cfr. Rom. VIII, 20.

[2]) Ita Codd. Reg. et Basil. In antea editis (v. c. edd. Spenc.) deest ὡς. R. [3]) Ecclesiast. I, 2.

[4]) Psalm. XXXIX, 5. (XXXVIII.)

[5]) Desumta sunt haec verba e Phrino Euripidis. Cfr. Suidas in voc. *Τίς*, coll. Stobaeo, serm. 117., ubi haec leguntur:

Τίς δ' οἶδεν εἰ ζῆν τοῦθ', ὃ κέκληται θανεῖν,
Τὸ ζῆν δὲ θνήσκειν ἐστί· πλὴν ὅμως βροτῶν
Νοσοῦσιν οἱ βλέποντες, οἱ δ' ὀλωλότες
Οὐδὲν νοσοῦσιν, οὐδὲ κέκτηνται κακά.

[6]) Sequuntur apud Suidam verba, desumta ex Ranis Aristophanis, haecce:

Τὸ πνεῖν δὲ δειπνεῖν, καὶ τὸ καθεύδειν κώδιον.

[7]) Psalm. XLIV, 25. (XLIII.)

[8]) Psalm. XXII, 15. (XXI.)

[9]) Rom. VII, 24. [10]) Philipp. III, 21.

[11]) Psalm. XLIV, 19. (XLIII.)

ἐν τύπῳ κακώσεως·" κακώσεως τόπον λέγων, τὸν περίγειον τόπον, ἐφ' ὃν ἐκβληθεὶς ἀπὸ τοῦ παραδείσου διὰ τὴν κακίαν ἐλήλυθεν ὁ Ἀδάμ,[1]) ὅπερ ἐστὶν ἄνθρωπος. Καὶ ὁ λέγων δέ, ὅτι „βλέπομεν[2]) ἄρτι δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον·" ἔτι δὲ καὶ τό· „ἐνδημοῦντες[3]) ἐν τῷ σώματι ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου," διὸ „εὐδοκοῦμεν ἐκδημῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν κύριον·" ὥρα πηλίκα περὶ τῆς διαφόρου ζωῆς τῶν ψυχῶν τεθεωρήκει.

51. Καὶ τί με δεῖ ἐπὶ πλεῖον ἀντιπαρατιθέναι τῇ λέξει Κέλσου, ὡς πολλῷ πρότερον τούτων παρ' ἡμῖν λελεγμένων, ὅτε καὶ ἐκ τῶν εἰρημένων σαφές ἐστι τὸ βούλημα ἡμῶν; Ἐν τούτοις δὲ καὶ οἱονεὶ τίθησιν· »Καὶ[4]) πνεῦμα εἴ τι οἴεσθε κατιὸν ἐκ θεοῦ προαγγέλλειν τὰ θεῖα, τοῦτ' ἂν εἴη τὸ πνεῦμα, τὸ ταῦτα κηρύττον, οὗ δὴ πλησθέντες ἄνδρες παλαιοὶ πολλὰ κἀγαθὰ ἤγγειλαν.« Οὐκ οἶδε δὲ διαφορὰν τῶν παρ' ἡμῖν ἠκριβωμένων[5]) τοῖς λέγουσιν, ὅτι καὶ »τὸ[6]) ἄφθαρτόν σου πνεῦμά ἐστιν ἐν πᾶσι, διὸ τοὺς παραπίπτοντας κατ' ὀλίγον ἐλέγχει ὁ θεός·« φάσκουσι δὲ ἄλλα καὶ τό· »λάβετε[7]) πνεῦμα ἅγιον « τὴν ποσότητα τοῦ διδομένου ἑτέραν ἐμφαίνειν παρὰ τὴν δηλουμένην ἐκ τοῦ· »βαπτισθήσεσθε[8]) ἐν πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας.« Ἔργον δέ ἐστι ταῦτ' ἐπιμελῶς

---

[1]) Vide lib. IV. contra Cels. num. 40.

[2]) Cfr. I Cor. XIII, 12.

[3]) Cfr. II Cor. V, 6—8.

[4]) Ita Cod. Jolianus ex correctione. Libri antea editi (v. c. edd. Spenc.) ἢ πῶς πνεῦμα θεῖον κατιὸν ἐκ θεοῦ προαγγέλλει. R. — Boherellus: „Ex libri huj. num. 45. legendum videtur: εἰ πῶς« κτλ.

[5]) Edd. Spenc., uncis praepos. ἐν appositis: ἠκριβωμένων ἐν τοῖς λέγουσιν.

[6]) Cfr. Sap. Sal. XII, 1. 2.

[7]) Ev. Joann. XX, 22. [8]) Act. I, 5.

νοήσαντα ἰδεῖν διαφορὰν τῶν ἐκ διαλειμμάτων πλειόνων χωρησάντων τὴν τῆς ἀληθείας κατάληψιν, καὶ [1]) (367) βραχεῖαν ἐπίνοιαν θεοῦ· καὶ τῶν ἐπὶ πλεῖον θεοφορηθέντων, καὶ ἀεὶ μετὰ θεοῦ ἑστηκότων, καὶ διὰ παντὸς ὑπὸ θείου πνεύματος ἀγομένων· ὅπερ εἰ ἦν ἐξετασθὲν καὶ νενοημένον Κέλσῳ, οὐκ ἀμαθίαν ἡμῖν ἐνεκάλει, οὐδὲ προσέταττε μὴ λέγειν τυφλώττειν τοὺς ἐν ὑλικαῖς τέχναις ἀνθρώπων, ταῖς κατὰ τὰ ἀγάλματα, οἰομένους ἐνδείκνυσθαι τὴν εὐσέβειαν. Οὐδεὶς γὰρ βλέπων τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς, ἄλλῳ τρόπῳ σέβει τὸ θεῖον, παρὰ τὸν ὑποδεικνύντα ἐνορᾶν ἀεὶ τῷ τοῦ παντὸς δημιουργῷ, καὶ πᾶσαν εὐχὴν ἀναφέρειν ἐκείνῳ, καὶ πάντα πράττειν ὡς ἐν ὀφθαλμοῖς θεοῦ, ἐπὶ [2]) θεατοῦ ἐνορῶντος ἡμῶν καὶ τοῖς λογισμοῖς. Εὐχόμεθα οὖν ἡμεῖς καὶ βλέπειν, καὶ ὁδηγοὶ εἶναι τυφλῶν, ἕως προσελθόντες τῷ λόγῳ τοῦ θεοῦ ἀπολάβωσι τὰς ὑπὸ τῆς ἀγνοίας τυφλωθείσας ὄψεις τῆς ψυχῆς αὐτῶν. Ἐὰν δὲ καὶ ποιῶμεν ἄξια τοῦ εἰπόντος τοῖς μαθηταῖς· »ὑμεῖς [3]) ἐστε τὸ φῶς τοῦ κόσμου·« καὶ τοῦ διδάξαντος λόγου, ὅτι »τὸ [4]) φῶς ἐν τῇ σκοτίᾳ φαίνει·« ἐσόμεθα καὶ φῶς τῶν ἐν σκότει, καὶ παιδεύσομεν τοὺς ἄφρονας, καὶ διδάξομεν τοὺς νηπίους.

52. Μὴ ἀγανακτείτω δὲ Κέλσος, ἐπὰν χωλοὺς λέγωμεν καὶ τὰς βάσεις τῆς ψυχῆς πεπηρωμένους, τοὺς ἐπὶ τὰ νομιζόμενα ἱερὰ, ὡς ἀληθινὰ ἱερὰ, σπεύδοντας, καὶ μὴ ὁρῶντας, ὅτι οὐδὲν βαναύσων ἔργον δύναται εἶναι ἱερόν. Τρέχουσι δὲ καὶ οἱ κατὰ τὴν διδασκαλίαν Ἰησοῦ εὐσεβοῦντες, ἕως ἐπὶ τὸ τέλος φθάσαντες τοῦ δρόμου εἴπωσιν ἐρρωμένῃ καὶ ἀληθευούσῃ τῇ διαθέσει·

---

[1]) Deest *καί* in edd. Spenc.

[2]) Boherellus: »Magis placeret conjunctim, ut esset: *ὡς ἐν ὀφθαλμοῖς θεοῦ ἐπιθεατοῦ*. Vide tamen lib. III. contra Cels. num. 57. et lib. IV. num. 26.«

[3]) Matth. V, 14. [4]) Ev. Joann. I, 5.

»τὸν [1]) ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν, ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος.« Καὶ ἕκαστός γε ἡμῶν οὕτω τρέχει, ὡς [2]) »οὐκ ἀδήλως·« καὶ οὕτω πρὸς τὴν κακίαν πυκτεύει, ὡς »οὐκ [3]) ἀέρα δέρων,« ἀλλὰ τοὺς ὑπὸ »τὸν [4]) ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας.« Λεγέτω δ' ἡμᾶς ὁ Κέλσος »σώματι τῷ νεκρῷ ζῶντας,« ἀκούοντας· »εἰ [5]) κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε·« καὶ μανθάνοντας τό· »εἰ [6]) πνεύματι ζῶμεν, πνεύματι καὶ στοιχῶμεν·« εἴη [7]) τε τοῖς ἔργοις ἡμᾶς δεικνύναι ψευδόμενον τὸν λέγοντα περὶ ἡμῶν, ὅτι τῷ σώματι ζῶμεν τῷ νεκρῷ.

53. Μετὰ ταῦτα τοίνυν, πρὸς ἃ, κατὰ δύναμιν, ἀπηντήσαμεν, φησὶ πρὸς ἡμᾶς· »Πόσῳ δ' ἦν ὑμῖν [8]) ἄμεινον, ἐπειδή γε καινοτομῆσαί τι ἐπεθυμήσατε, περὶ ἄλλον τινὰ τῶν γενναίως ἀποθανόντων, καὶ θεῖον μῦθον δέξασθαι δυναμένων, σπουδάσαι; Φέρε, εἰ μὴ ἤρεσκεν Ἡρακλῆς, καὶ Ἀσκληπιὸς, καὶ οἱ πάλαι δεδοξασμένοι, Ὀρφέα εἴχετε, ἄνδρα ὁμολογουμένως ὁσίῳ χρησάμενον πνεύματι, καὶ αὐτὸν βιαίως ἀποθανόντα. Ἀλλ' ἴσως ὑπ' ἄλλων προείληπτο. Ἀνάξαρχον γοῦν, ὃς εἰς ὅλμον ἐμβληθεὶς, καὶ παρανομώτατα συντριβόμενος, εὖ μάλα κατεφρόνει τῆς (368) κολάσεως, λέγων· Πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον, αὐτὸν γὰρ οὐ

---

[1]) II Tim. IV, 7. 8. [2]) Cfr. I Cor. IX, 26.
[3]) Cfr. I Cor. IX, 26. [4]) Ephes. II, 2.
[5]) Rom. VIII, 13. [6]) Cfr. Gal. V, 25.
[7]) Ita legendum, Boherello duce, duabus vocibus, quasi dicat: *sit modo ut.* Hoeschel. in textu habet (Spenc. ad marg.) *εἰ ἦτε.* Codd. Reg. et Basil. *εἰ οἷός τε.* Melius legeretur: *εἰ οἷοί τε τοῖς ἔργοις ἡμεν δεικνύναι.* R. — Edd. Spenc. in textu, una voce: *εἴητε.*
[8]) Spenc. ad marg. *ἡμῖν.*

πτίσσεις. Θείου τινὸς ὡς ἀληθῶς πνεύματος ἡ φωνή. Ἀλλὰ καὶ τούτῳ φθάσαντές τινες ἠκολούθησαν φυσικοί. Οὐκοῦν Ἐπίκητον; ὃς, τοῦ δεσπότου στρεβλοῦντος αὐτοῦ τὸ σκέλος, ὑπομειδιῶν ἀνεκπλήκτως ἔλεγε· Κατάσεις·[1]) καὶ κατάξαντος, οὐκ ἔλεγον, εἶπεν, ὅτι κατάσεις; Τί τοιοῦτον ὁ ὑμέτερος θεὸς κολαζόμενος ἐφθέγξατο; Ὑμεῖς δὲ κἂν Σίβυλλαν,[2]) ἢ χρῶνταί τινες ὑμῶν, εἰκότως ἂν μᾶλλον προεστήσασθε ὡς τοῦ θεοῦ παῖδα· νῦν δὲ παρεγγράφειν μὲν εἰς τὰ ἐκείνης πολλὰ καὶ βλάσφημα εἰκῇ δύνασθε·[3]) τὸν δὲ βίῳ μὲν ἐπιρρήτοτάτῳ, θανάτῳ δὲ οἰκτίστῳ χρησάμενον, θεὸν τίθεσθε. Πόσῳ τοῦδε ἐπιτηδειότερος ἦν ὑμῖν Ἰωνᾶς ἐπὶ[4]) τῇ κοιλίᾳ κήτους, ἢ Δανιὴλ ὁ ἐκ τῶν θηρίων, ἢ οἱ τῶνδε ἔτι τερατωδέστεροι;«

54. Ἐπεὶ οὖν ἀναπέμπει ἡμᾶς ἐπὶ τὸν Ἡρακλέα, ἀπομνημόνευμα[5]) τῶν λόγων αὐτοῦ ἡμῖν παραστησάτω, καὶ περὶ τῆς παρ' Ὀμφάλῃ ἀσέμνου δουλείας αὐτοῦ ἀπολογησάσθω· δεικνύτω δὲ, εἰ θείας τιμῆς ἄξιος ἦν ὁ τοῦ γεωργοῦ βίᾳ καὶ ληστρικῶς λαβὼν τὸν βοῦν, καὶ καταθοινησάμενος, καὶ ἡσθεὶς ἐφ' οἷς ἐκεῖνος καταρώμενος ἔλεγε πρὸς αὐτὸν ἐσθίοντα· ὡς καὶ μέχρι τοῦδε ἱστορεῖσθαι τὸν Ἡρακλέος[6]) δαίμονα λαμβάνειν μετὰ

---

[1]) Boherell. non male ad hunc locum et subsequentem: »Lege: *κατάξεις*.«

[2]) Vide lib. V. contra Cels. num. 61.

[3]) Boherellus: „Malim: *δεδύνησθε*.“

[4]) Ita Cod. Jolian. (itemq. Boherell.) ex correctione. Quae lectio confirmatur ex hujus libri num. 57. Hoeschel. et Spenc. *ἐπὶ τῇ κολοκύντῃ*. Sed quid prodigii habet, *ἐπὶ τῇ κολοκύντῃ* Jonam fuisse? R.

[5]) In marg. libr. editor. (v. c. edd. Spenc.) legitur: *ἀπομνημονεύματα λόγων*. R.

[6]) Lactant. lib. I. cap. XXI. „Apud Lindum, quod est oppidum Rhodi, Herculis sacra sunt, quorum a ceteris longe diversus est ritus: si quidem non *εὐφημίᾳ*, ut Graeci appellant, sed maledictis, et exsecratione celebran-

τῶν ἀρῶν τὴν θυσίαν. Καλεῖ δ' ἡμᾶς ἐπὶ τὴν περὶ Ἀσκληπιοῦ ταυτολογίαν, προειρηκότας καὶ περὶ αὐτοῦ· ἀλλ' ἡμεῖς ἐκείνοις ἀρκούμεθα. Τί δὲ καὶ θαυμάσας Ὀρφέως, ὁμολογουμένως φησὶν αὐτὸν ὁσίῳ χρησάμενον πνεύματι, καλῶς βεβιωκέναι; Θαυμάζω δὲ, εἰ μὴ καὶ Κέλσος διὰ μὲν τὴν πρὸς ἡμᾶς φιλονεικίαν, καὶ ἵνα Ἰησοῦν ἐξευτελίσῃ, νῦν ὑμνεῖ Ὀρφέα· ὅτε δ' ἐνετύγχανεν [1]) αὐτοῦ τοῖς ὡς περὶ θεῶν ἀσεβέσι μύθοις, οὐκ

---

tur; eaque pro violatis habent, si quando inter solemnes ritus vel imprudenti alicui exciderit bonum verbum. Cujus rei haec ratio redditur, si tamen ulla esse ratio in rebus vanissimis potest: Hercules, cum eo delatus esset, famemque pateretur, aratorem quendam conspexit operantem, ab eoque petere coepit, ut sibi unum bovem venderet: enimvero ille negavit fieri posse, quia spes sua omnis colendae terrae duobus illis jumentis niteretur. Hercules, solita violentia usus, quia unum accipere non potuit, utrumque sustulit. At ille infelix, cum boves suos mactari videret, injuriam suam maledictis ultus est: quod homini eleganti et urbano gratissimum fuit. Nam dum comitibus suis epulas apparat, dumque alienos boves devorat, illum sibi amarissime convitiantem cum risu et cachinnis audiebat. Sed postquam Herculi divinos honores ob admirationem virtutis deferri placuit, a civibus ei ara posita est, quam de facto *Βούζυγον*, id est, bovis jugum, nominavit: ad quam duo juncti boves immolarentur, sicut illi, quos abstulerat aratori: eumque ipsum sibi constituit sacerdotem, ac praecepit, ut iisdem maledictis semper in celebrandis sacrificiis uteretur: quod negaret, se unquam epulatum esse jucundius." Philostrat lib. II. Iconum in Thiodamante, a quo Hercules una cum sociis boves abripuit: *Ὅθεν βοῦς μὲν ἀρότης Ἡρακλεῖ θύεται. Κατάρχονται δὲ ἐπαρώμενοι, ὅσα οἶμαι, ὁ γεωργὸς τότε. Χαίρει δὲ ὁ Ἡρακλῆς, καὶ Λινδίοις δίδωσι καταρωμένοις τἀγαθά.* Spenc.

[1]) Mss. *ἐνετύγχανεν*. Libri editi (v. c. edd. Spenc.) *ἐτύγχανεν*. R.

ἀπεστρέφετο τὰ ποιήματα, ὡς [1]) μᾶλλον τῶν Ὁμήρου ἄξια ἐκβάλλεσθαι [2]) τῆς καλῆς πολιτείας· καὶ γὰρ πολλῷ χείρονα περὶ τῶν νομιζομένων εἶπε θεῶν Ὀρφεὺς [3]) ἢ Ὅμηρος. Γενναῖος μὲν οὖν ὁ Ἀνάξαρχος, λέγων τῷ τῆς Κύπρου τυράννῳ Ἀριστοκρέοντι· [4]) »Πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον·« μονογενὲς δὲ τοῦτο περὶ Ἀναξάρχου ἴσασι θαυμαζόμενον Ἕλληνες· ἐφ' ᾧ εἰ καὶ, ὡς Κέλσος, ἀξίως ἔχρῃν τινας σέβειν ἄνθρωπον δι' ἀρετήν· οὐκ ἦν εὔλογον ἀναγορεύεσθαι τὸν Ἀνάξαρχον θεόν. Καὶ ἐπὶ Ἐπίκτητον [5]) δὲ ἡμᾶς ἀναπέμπει, θαυμάσας τὸ εὐγενῶς μὲν αὐτῷ λελεγμένον, οὐ μὴν ὥσιε παραβληθῆναι αὐτοῦ τὸν ἐπὶ τῇ κατάξει τοῦ σκέλους λόγον τοῖς παραδόξοις τοῦ Ἰησοῦ ἔργοις [6]) καὶ λόγοις ἀπιστουμένοις ὑπὸ Κέλσου· διὰ τὸ καὶ δυνάμει λελέχθαι θείᾳ, μέχρι δεῦρο ἐπισιρέφοντας οὐ τῶν ἁπλουσιέρων τινὰς μόνον, ἀλλὰ καὶ πολλοὺς τῶν συνετωτέρων.

55. Ἐπεὶ δέ φησι μετὰ τὸν κατάλογον τῶν τοσούτων ἀνδρῶν τό· »Τί τοιοῦτον ὁ ὑμέτερος θεὸς (369) κολαζόμενος ἐφθέγξατο;« εἴποιμεν ἂν πρὸς αὐτὸν, [7]) ὅτι ἡ παρὰ ταῖς μάστιξι καὶ ταῖς πολλαῖς αἰκίαις αὐ-

---

[1]) Edd. Spenc., uncis voc. ἤ appositis: ὡς μᾶλλον ἢ τῶν κτλ.

[2]) Cfr. lib. IV. contra Cels. num. 36.

[3]) Vide lib. I. contra Cels. num. 16.

[4]) Edd. Spenc. ad marg. *Νικοκρέοντι*. Plutarch. lib. περὶ ἠθ. ἀρετῆς. Laërt. Cicero 2. Tusculan.

[5]) A teneris claudicasse Epictetum tradit Simplicius ad Enchirid. pag. 102. et ex defluxione pedum debilitatum refert Suidas. Porro claudicantis *σκέλους* Epicteti mentio non uno in loco apud Simplic. pag. 128. Nazianzen. epist. 64. ad Philagrium et orat. in Julian. pag. 37. ed. Montacutii. Vide etiam Caesarium dialogo 4.

[6]) Edd. Spenc. ἔργοις, ἀπιστουμένοις ὑπὸ Κέλσου, καὶ λόγοις· διὰ τὸ καὶ δυνάμει κτλ.

[7]) Edd. Spenc. *αὐτήν*. Jam Boherell. vero: »Lege: *αὐτόν*.«

τοῦ σιωπὴ παντὸς τοῦ ἐν Ἕλλησιν, ἐν περιστάσεσι τυγχάνοντος, φθεγξαμένου μᾶλλον ἐνέφηνε καρτερίαν καὶ ὑπομονήν· εἴ γε κἂν τούτῳ πιστεύειν ὁ Κέλσος βούλεται εὐγνωμόνως ἀναγεγραμμένῳ ὑπὸ φιλαλήθων ἀνδρῶν, τῶν καὶ τὰ παράδοξα ἀψευδῶς εἰρηκότων, καὶ τὴν παρὰ ταῖς μάστιξι σιωπὴν αὐτοῦ ἐκείνοις συναριθμησάντων.[1]) Ἀλλὰ καὶ ἐμπαιζόμενος,[2]) καὶ ἐνδυόμενος τὴν κοκκίνην χλαμύδα, καὶ τὸν ἀκάνθινον στέφανον τῇ κεφαλῇ περιτιθέμενος, καὶ τὸν κάλαμον λαμβάνων ἐπὶ τῆς χειρὸς ἀντὶ σκήπτρου, ἄκρᾳ πραότητι ἐχρήσατο, μηδὲν μηδ' ἀγεννὲς,[3]) μηδ' ἀγανακτητικὸν εἰπὼν πρὸς αὐτοὺς, τοσαῦτα κατ' αὐτοῦ τολμήσαντας. Οὐκ ἦν οὖν, κατὰ τὸν ἀπὸ καρτερίας παρὰ ταῖς μάστιξι σιωπήσαντα, καὶ ἀπὸ πραότητος πάντα ὑπομένοντα τὰ παρὰ τῶν ἐπαιζόντων προσαγόμενα, εἰρηκέναι ἀπὸ ἀγεννείας, ὡς οἴονταί τινες καὶ τό· »Πάτερ,[4]) εἰ δυνατὸν, τὸ ποτήριον παρελθέτω τοῦτο ἀπ' ἐμοῦ· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.« Ἔχει μὲν οὖν λόγον ἡ δοκοῦσα ὑποπαραίτησις εἶναι τοῦ καλουμένου ποτηρίου, ὃν ἐν ἄλλοις[5]) ἐπὶ πλεῖον ἐξητάσαμεν καὶ ἀποδεδώκαμεν. Ἵνα δ' ἁπλούστερον ἀκούσωμεν τοῦ λελεγμένου, ὅρα εἰ μὴ μετὰ τῆς πρὸς θεὸν εὐσεβείας καὶ ἡ εὐχὴ εἴρηται, παντὸς οὑτινοσοῦν τὸ περιστατικὸν οὐ προηγούμενον εἶναι νομίζοντος, ἀλλ' ὑπομένοντος τὸ μὴ προηγουμένως[6]) συμβαῖνον, ὅταν καιροὺς καλῇ.

---

[1]) Cfr. Jesai. LIII, 7. Matth. XXVII, 14. I Petr. II, 23.

[2]) Cfr. Matth. XXVII, 28. 29.

[3]) Mss. (itemq. edd. Spenc. ad marg.) ἀγεννές. Libri editi (v. c. edd. Spenc. in textu): ἀγενές. R.

[4]) Cfr. Matth. XXVI, 39.

[5]) Cfr. Orig. Exhortatio ad Martyrium num. 29.

[6]) Libri editi (v. c. edd. Spenc.) προηγουμένως εἶναι συμβαῖνον, sed a Cod. Basil. recte abest: εἶναι. R. — Jam Boherellus: »Dele hic εἶναι, natum e versu superiori, ubi legitur: προηγούμενον εἶναι.«

Ἀλλὰ καὶ οὐκ ἐνδεδωκότος ἦν, εὐαρεστουμένου δὲ τοῖς συμβαίνουσι, καὶ προτιμῶντος τὰ ἀπὸ προνοίας περισταικὰ, ἡ λέγουσα φωνή· »πλὴν[1]) οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ.«

56. Εἶτ' οὐκ οἶδ' ὅπως ἐβούλετο ἡμᾶς μᾶλλον Σίβυλλαν ἀναγορεῦσαι παῖδα θεοῦ, ἢ Ἰησοῦν, ἀποφηνάμενος, ὅτι »παρενεγράψαμεν εἰς τὰ ἐκείνης πολλὰ καὶ βλάσφημα·« καὶ μὴ ἀποδείξας μηδ' ὅ,[2]) τι παρενεγράψαμεν. Ἀπέδειξε δ' ἂν, εἰ τὰ ἀρχαιότερα καθαρώτερα ἐδείκνυε, καὶ οὐκ ἔχοντα ἅπερ οἴεται παρεγγεγράφθαι· μὴ ἀποδείξας δὲ μηδ' ὅτι βλάσφημά ἐστι ταῦτα· εἶτα πάλιν οὐ δὶς, οὐδὲ τρὶς, ἀλλὰ δὴ πολλάκις ἐπιρρητότατον εἶπε τὸν Ἰησοῦ βίον· οὐ στὰς καθ ἕκαστον τῶν ἐν τῷ βίῳ αὐτοῦ πεπραγμένων, καὶ νομιζομένων εἶναι ἐπιρρητοτάτων· ἵνα τοῦτ' εἰπὼν δόξῃ μὴ μόνον ἀναποδείκτως ἀποφαίνεσθαι, ἀλλὰ καὶ λοιδορεῖν ὃν οὐκ ἐπίσταται. Εἰ γὰρ τὰ εἴδη τοῦ ἐπιρρητοτάτου βίου ἐν ταῖς πράξεσιν αὐτοῦ φαινόμενα αὐτῷ ἐκτιθέμενος ἦν, κἂν ἠγωνισάμεθα πρὸς ἕκαστον τῶν δοκούντων εἶναι αὐτῷ[3]) ἐπιρρητοτάτων. Τὸ δὲ καὶ θανάτῳ οἰκτίστῳ κεχρῆσθαι τὸν Ἰησοῦν, δύναιτ' ἂν λέγεσθαι καὶ περὶ Σωκράτους, καὶ περὶ Ἀναξάρχου, οὗ πρὸ βραχέος ἐμνημόνευσε, καὶ περὶ ἄλλων μυρίων. Ἆρ' οἰκτιστος μέν ἐστιν ὁ Ἰησοῦ θάνατος, οὐχὶ (370) δὲ καὶ ὁ ἐκείνων; Ἢ ὁ ἐκείνων μὲν οὐκ οἰκτιστος, ὁ δὲ τοῦ Ἰησοῦ οἰκτιστος; Ὁρᾷς οὖν καὶ ἐνταῦθα, ὅτι σκοπὸς ἦν τῷ Κέλσῳ τὸ διαλοιδορεῖσθαι πρὸς τὸν Ἰησοῦν, κινουμένῳ, οἶμαι, ὑπό τινος πνεύματος, καταλυθέντος ὑπὸ τοῦ Ἰη-

---

[1]) Cfr. Matth. XXVI, 39.

[2]) Edd. Spenc. ad marg. ὅτι.

[3]) Codd. Reg. et Basil. αὐτὸν ἐπιρρητότατον. Libri editi (v. c. edd. Spenc.) αὐτῷ ἐπιρρητότατον. Legendum: αὐτῷ ἐπιρρητοτάτων. R. — Item Boherellus: »Lege: ἐπιρρητοτάτων.«

σοῦ, καὶ καθαιρεθέντος· ἵνα μηκέτι ἔχῃ κνίσσας καὶ αἵματα, οἷς τρεφόμενον ἠπάτα τοὺς ἐν τοῖς ἐπὶ γῆς ἀγάλμασι ζητοῦντας θεὸν, καὶ μὴ ἀναβλέποντας εἰς τὸν ἐπὶ πᾶσιν ἀληθῶς θεόν.

57. Εἶθ' ἑξῆς, ὥσπερεὶ σκοπὸν ἔχων τὸ συμπληροῦν βιβλίον, ἐβούλετο ἡμᾶς μᾶλλον τὸν Ἰωνᾶν νομίσαι θεὸν, ἤπερ Ἰησοῦν· Ἰωνᾶν,[1]) τὸν κηρύξαντα μετάνοιαν μιᾷ πόλει τῇ Νινευΐ, προκρίνων Ἰησοῦ τοῦ κηρύξαντος μετάνοιαν ὅλῳ τῷ κόσμῳ, καὶ μᾶλλον ἐκείνου ἀνύσαντος. Καὶ τὸν μὲν ἐν τῇ κοιλίᾳ[2]) τοῦ κήτους τεραστίως ποιήσαντα καὶ παραδόξως τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ἐβούλετο ἡμᾶς ἀναγορεῦσαι θεόν· τὸν δ' ἀναδεξάμενον ὑπὲρ ἀνθρώπων ἀποθανεῖν, οὐκ ἤθελε Κέλσος, μαρτυρούμενον ὑπὸ τοῦ θεοῦ διὰ τῶν προφητῶν ἄξιον εἶναι τῆς δευτερευούσης[3]) μετὰ τὸν θεὸν τῶν ὅλων, δι' ἃ ἐποίησεν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἀνδραγαθήματα, τιμῆς. Καὶ Ἰωνᾶς[4]) μὲν, ἵνα μὴ κηρύξῃ τὸ προστεταγμένον ὑπὸ τοῦ θεοῦ, κατεπόθη ὑπὸ τοῦ κήτους· Ἰησοῦς δὲ, ἐπεὶ ἐδίδαξεν ἅπερ ὁ θεὸς ἐβούλετο, τὸν ὑπὲρ ἀνθρώπων θάνατον ἀνεδέξατο. Ἑξῆς δέ φησιν, ὅτι »ἔδει μᾶλλον τὸν Λανιὴλ, ἀναβάντα ἀπὸ τῶν λεόντων,[5]) προσκυνεῖσθαι ὑφ' ἡμῶν, ἤπερ τὸν Ἰησοῦν,« τὴν ἀγριότητα πάσης ἀντικειμένης δυνάμεως καταπατήσαντα,[6]) καὶ ἡμῖν δόντα[7]) »ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.« Εἶτα μὴ ἔχων ἄλλους λέγειν, φη-

---

[1]) Cfr. Jon. III, 4.

[2]) Cfr. lib. huj. num. 53. in fine, coll. Jon. II, 1.

[3]) Edd. Spenc. *δευτερούσης*.

[4]) Edd. Spenc. et Ruaei, ut nos in textu. Jam Boherell. vero, quocum Ruaeus facit: »Ante hanc vocem videtur deesse: *φεύγων*, aut quid simile.« — Cfr. Jon. I, 3. seqq. coll. II, 1. seqq.

[5]) Cfr. Dan. VI, 23.

[6]) Cfr. Coloss. II, 15. [7]) Cfr. Luc. X, 19.

σίν· »ἢ οἱ τῶνδε ἔτι τερατωδέστεροι·« ἅμα ἵνα λοιδορήσῃ τὸν Ἰωνᾶν καὶ τὸν Λανιήλ. Τὸ γὰρ ἐν Κέλσῳ πνεῦμα εὐλογεῖν δικαίους οὐκ ἠπίστατο.

58. Μετὰ [1]) ταῦτα [2]) δὲ ἴδωμεν καὶ τὴν ἑξῆς αὐτοῦ λέξιν οὕτως ἔχουσαν· »Ἔστιν αὐτοῖς καὶ τοιόνδε παράγγελμα, τὸν ὑβρίζοντα μὴ ἀμύνεσθαι·[3]) κἂν τύπτῃ, φησὶ, τὴν ἑτέραν γνάθον, σὺ δὲ καὶ τὴν ἄλλην πάρεχε. Ἀρχαῖον καὶ τοῦτο εὖ μάλα πρόσθεν εἰρημένον, ἀγροικότερον [4]) δ' αὐτὸ ἀπεμνημόνευσαν. Ἐπεὶ καὶ Πλάτωνι πεποίηται Σωκράτης Κρίτωνι διαλεγόμενος τάδε·« »»Οὐδαμῶς [5]) ἄρα δεῖ ἀδικεῖν. Οὐ δῆτα. Οὐδ' [6]) ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται· ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν.[7]) Οὐ φαίνεται. Τί [8]) δαὶ δή; Κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ; Οὐ δεῖ δή που, ὦ Σώκρατες. Τί [9]) δέ; Ἀντικακουργεῖν κακῶς [10]) πάσχοντα, ὡς οἱ πολλοί φασι, δίκαιον ἢ οὐ δίκαιον; Οὐδαμῶς. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους, τοῦ ἀδικεῖν οὐδὲν διαφέρει. Ἀληθῆ λέγεις. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ, οὐδὲ (371) κακῶς ποιεῖν οὐδένα

---

[1]) Cfr. Philoc. cap. XV. edd. Tarini pag. 127. seq.

[2]) Edd. Philoc. ταῦτα ἴδωμεν καὶ τὴν ἑξῆς λέξιν αὐτοῦ τοῦ Κέλσου δηλονότι οὕτως ἔχουσαν.

[3]) Philoc. ἀμύνασθαι.

[4]) Philoc. ἀγροικότερον δὴ αὐτό κτλ.

[5]) Cfr. Platon. Crito, ed. Bekker. Part. I. Vol. II. pag. 156. seq. (al. 49.) — Philoc. Οὐδαμῶς ἄρα δεῖ κτλ.

[6]) Philoc. itemq. edd. Platon. Οὐδὲ ἀδικούμενον κτλ.

[7]) Philoc. ἀδικεῖν· καὶ τὰ ἑξῆς, omissis reliquis verbis, quae hoc num. leguntur.

[8]) Sic legendum e Platone. Hoeschel. autem et Spenc. Τί δὲ δή;

[9]) Hoeschel. (itemq. Spenc., uncis voc. καί appositis) in textu: Τί δὲ δεῖ ἀντικακουργεῖν.

[10]) Hoeschel. in textu, Spenc. ad marg. κακὸν φάσκοντα.

ἀνθρώπων, οὐδ'[1]) ἂν ὁτιοῦν πάσχῃ ὑπ'[2]) αὐτῶν.«« »Ταῦτά φησιν ὁ Πλάτων· καὶ αὖθις τάδε·« »»Σκόπει[3]) οὖν δὴ καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς καὶ συνδοκεῖ σοι· καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι,[4]) ὡς οὐδέποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν, οὔτε τοῦ ἀνταδικεῖν· οὔτε κακῶς πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα[5]) κακῶς· ἢ ἀφίστασαι,[6]) καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς; Ἐμοὶ μὲν γὰρ καὶ πάλαι οὕτω, καὶ νῦν ἔτι δοκεῖ.«« »Πλάτωνι μὲν οὖν οὕτως ἤρεσεν· ἦν δὲ καὶ πρόσθεν ἔτι θείοις ἀνδράσι δεδογμένα. Ἀλλὰ τῶνδε μὲν πέρι, καὶ τῶν ἄλλων, ὅσα παραφθείρουσιν, ἀρκείτω τὰ εἰρημένα· καὶ ὅτῳ φίλον ἐπὶ πλεῖόν τι αὐτῶν ζητεῖν, εἴσεται.«[7])

59. Πρὸς[8]) τοῦτο δὴ, καὶ πρὸς πάντα ὅσα ἐκοινοποίησεν ὁ Κέλσος, μὴ δυνηθεὶς αὐτῶν[9]) ἀντιβλέψαι τῇ ἀληθότητι, φάσκων αὐτὰ[10]) καὶ παρ' Ἕλλησιν εἰρῆσθαι, τοιαῦτα[11]) λεκτέον· Εἰ ὠφέλιμόν ἐστι τὸ δόγμα, καὶ τὸ βούλημα αὐτοῦ ὑγιὲς, εἴρηται δὲ Ἕλλησι μὲν

---

[1]) Edd. Spenc. et Ruaei: *οὐδ' ἂν ὅ, τιοῦν.*

[2]) Hoeschel. in textu, Spenc. ad marg. *παρ' αὐτῶν.*

[3]) Cfr. Platon. Crito, ed. Bekk. Partic. I. Vol. II. pag. 157. (al. 49.) — Ed. Bekkeri: *Σκόπει δὴ οὖν καὶ σὺ κτλ.*

[4]) Hoeschel. in textu, Spenc. ad marg. *βουλόμενοι.*

[5]) Codd. Reg. et Basil. (itemq. ed. Bekker.) *ἀντιδρῶντα*, quae lectio praestare videtur alteri libror. editor. (v. c. edd. Spenc.) *ἀντιδρῶντας.* R. — Jam Bohe-rellus: »Lege: *ἀντιδρῶντα.*«

[6]) Hoeschel. in textu, Spenc. ad marg. *ἀφίστασθαι.*

[7]) Libri editi (v. c. edd. Spenc.) in margine: *εἴσεσθαι.* R.

[8]) Cfr. Philoc. cap. XV. ed. Tarini pag. 128. seqq.

[9]) Philoc. *αὐτῇ.*

[10]) Deest *καί* in edd. Spenc.

[11]) Philoc. *τάδε λεκτέον.*

παρὰ [1]) *Πλάτωνι*, ἢ τινι τῶν *Ἑλλήνων* [2]) σοφῶν· *Ἰουδαίοις* δὲ παρὰ *Μωϋσῆ*, [3]) ἢ τινι τῶν προφητῶν· *Χριστιανοῖς* δὲ ἐν [4]) τοῖς ἀναγραφεῖσιν *Ἰησοῦ* λόγοις, ἢ λελεγμένοις παρά [5]) τινι τῶν ἀποστόλων αὐτοῦ· οὐ νομιστέον κατηγορεῖσθαι τὸ λεγόμενον [6]) παρὰ *Ἰουδαίοις*, ἢ παρὰ *Χριστιανοῖς*, ἐκ [7]) τοῦ καὶ παρ' *Ἕλλησιν* αὐτὰ εἰρῆσθαι· καὶ μάλιστα, ἐὰν ἀποδεικνύηται τὰ *Ἰουδαίων* πρεσβύτερα τῶν [8]) *Ἑλληνικῶν*. Οὐδὲ πάλιν ὑπὸ τοῦ κάλλους τῆς *Ἑλληνικῆς* φράσεως λεγόμενον τὸ αὐτό, πάντως κρεῖττον εἶναι νομιστέον τοῦ εὐτελέστερον ἀπαγγελλομένου καὶ ἁπλουστέραις λέξεσι παρὰ *Ἰουδαίοις*, ἢ [9]) *Χριστιανοῖς*· καίτοι γε ἡ πρώτη *Ἰουδαίων* λέξις, ᾗ οἱ προφῆται χρησάμενοι καταλελοίπασιν ἡμῖν βιβλία, *Ἑβραίων* διαλέκτῳ καὶ σοφῇ συνθέσει τῶν ἐν τῇ διαλέκτῳ κατ' ἐκείνους ἀναγέγραπται. Εἰ δὲ χρὴ καὶ τὴν τῶν δογμάτων ταυτότητα, κἂν παράδοξος ὁ λόγος εἶναι δοκῇ, δεῖξαι βέλτιον εἰρημένην παρὰ τοῖς *Ἰουδαίων* προφήταις, ἢ τοῖς λόγοις [10]) *Χριστιανῶν*· οὕτω τὸν λόγον κατασκευαστέον, ἀπό τινος τοῦ περὶ τὰς τροφὰς καὶ τὴν σκευασίαν αὐτῶν παραδείγματος. Ἔσιω τι ὑγιαῖνον [11]) βρῶμα, καὶ ἰσχύος τοῖς ἐσθίουσιν ἐμποιη-

---

[1]) Philoc. Mscr., Hoeschel. duce: παρὰ τῷ *Πλάτωνι*, Philoc. impressa ut nos in textu.

[2]) Philoc. *Ἑλληνικῶν*. [3]) Philoc. *Μωσεῖ*.

[4]) Philoc. (itemq. Boherell.) *ἐν τοῖς κτλ.* Apud Hoeschel. et Spenc. deest *ἐν*.

[5]) Cod. Reg. παρά *τισι τῶν ἀποστόλων*. R.

[6]) Philoc. *λεγόμενον παρ' Ἰουδαίοις*.

[7]) Philoc. *ἐκ τοῦ παρ' Ἕλλησιν αὐτὸ εἰρῆσθαι*.

[8]) Philoc. Mscr., Hoeschel. duce: *τῶν Ἑλλήνων*, Philoc. impressa ut nos in textu.

[9]) Philoc. Mscr., Hoeschel. duce: *ἢ παρὰ Χριστιανοῖς*, Philoc. impressa ut nos in textu.

[10]) Edd. Spenc. et Ruaei ut nos in textu: *λόγοις*, ed. vero Ruaei in notis: »Forte legendum: *λογίοις*.« — Philoc. *λογίοις*.

[11]) Philoc. *ὑγιεινὸν βρῶμα*.

τικὸν, τοῦτο δὲ οὕτω[1]) μὲν σκευασθὲν,[2]) καὶ τοιοῖσδε ἡδύσμασιν ἀρτυθὲν, λαμβανέτωσαν οὐχ οἱ μὴ μανθάνοντες[3]) ἄγροικοι, καὶ ἐν ἐπαύλεσιν ἀνατεθραμμένοι, καὶ πένητες, τὰ τοιάδε ἐσθίειν, ἀλλ' οἱ πλούσιοι καὶ ἁβροδίαιτοι μόνοι· οὐκ[4]) ἐκείνως δὲ καὶ ὡς δοκεῖ τοῖς νομιζομένοις καθαριωτέροις σκευασθὲν, ἀλλ' ὡς μεμαθήκασιν ἐσθίειν οἱ πένητες, καὶ οἱ ἀγροικότεροι, καὶ οἱ πολλοὶ τῶν ἀνθρώπων, ἐσθιέτωσαν μυριάδες ὅλαι. Εἰ[5]) οὖν καὶ διδῶτο[6]) ἀπὸ μὲν τῆς τοιᾶσδε[7]) σκευασίας[8]) τοὺς νομιζομένους καθαριωτέρους[9]) μόνους ὑγιάζεσθαι, οὐδενὸς τῶν πολλῶν προσβάλλοντος τοῖς[10]) τοιοῖσδε (372) βρώμασιν, ἀπὸ δὲ τῆς τοιᾶσδε[11]) τὰ πλήθη τῶν ἀνθρώπων ὑγιεινότερον διάγειν· τίνας μᾶλλον,

---

[1]) Philoc. οὕτως.

[2]) Philoc. Mscr., Hoeschel. duce: κατασκευασθέν, Philoc. impressa ut nos in textu.

[3]) Philoc. μαθόντες.

[4]) Philoc. οὐκ ἐκείνως δὲ, καὶ ἐκείνως καὶ ὡς δοκεῖ τοῖς νομιζομένοις καθαρειοτέροις κατασκευασθέν. Spenc. in textu: οὐκ ἐκείνως δὲ καὶ ἐκείνως τε, ὡς δοκεῖ, τοῖς νομιζομένοις καθαριωτέροις σκευασθέν, ad marg. vero: οὐκ ἐκείνως δὲ, ὡς δοκεῖ, τοῖς νομιζομένοις καθαριωτέροις σκευασθέν. — Jam Boherellus: »Sequere lectionem, quae est ad oram; sed dele virgulam post δοκεῖ.«

[5]) Hoeschel. et Spenc. ut nos in textu: Εἰ οὖν καὶ διδῶτο κτλ. Philoc. Εἰ οὖν, καὶ διδότω κτλ. — Cfr. pag. huj. not. 6.

[6]) Boherellus: »Lege: διδοῖτο.« — Cfr. pag. huj. not. 5. [7]) Philoc. τοιασδί.

[8]) Philoc. Mscr., Hoeschel. teste: κατασκευασίας, Philoc. vero impressa ut nos in textu. — Edd Spenc. διασκευασίας.

[9]) Philoc. καθαρειοτέρους εἶναι μόνους ὑγίαζεσθαι.

[10]) Philoc. τοῖς τοιουσδὶ βρώμασιν.

[11]) Philoc. τοιασδί.

τοῦ κοινωνικοῦ ἕνεκεν, ἀποδεξόμεθα τῶν ὑγιεινῶν βρωμάτων χάριν; Ἆρά γε τοὺς τοῖς[1]) λογίοις χρησίμως αὐτὰ σκευάζοντας, ἢ τοὺς τοῖς πλήθεσι; Τὴν[2]) ἴσην γὰρ δεδόσθω ὑγίειαν καὶ εὐεξίαν ἐγγίνεσθαι ἀπὸ τῶν οὑτωσὶ σκευασθέντων,[3]) ἢ[4]) οὑτωσί· ἀλλὰ φανερὸν, ὅτι αὐτὸ τὸ φιλάνθρωπον καὶ τὸ κοινωνικὸν ὑποβάλλει,[5]) κοινωφελέστερον εἶναι ἰατρὸν τὸν τῆς τῶν[6]) πολλῶν ὑγιείας προνοησάμενον, ἢπερ τὸν[7]) τῆς ὀλίγων μόνον.[8])

60. Εἰ νενόηται δὴ τὸ παράδειγμα· μεταβιβαστέον[9]) αὐτὸ ἐπὶ τὴν ποιότητα τῆς τῶν λογικῶν ζώων λογικῆς τροφῆς. Καὶ ὅρα, εἰ μὴ Πλάτων μὲν, καὶ οἱ Ἑλλήνων σοφοὶ, ἐν οἷς λέγουσι καλῶς, παραπλήσιοί εἰσι τοῖς προνοησαμένοις ἰατροῖς τῶν καθαριωτέρων[10]) εἶναι νομιζομένων μόνων,[11]) τοῦ[12]) πλήθους δὲ τῶν

---

[1]) Philoc. Mscr., Hoeschel. teste: τοῖς λόγοις χρησίμως αὐτὰ κατασκευάζοντας, Philoc. vero impressa: τοῖς πλουσίοις χρησίμως αὐτὰ σκευάζοντας.

[2]) Sic Philocalia. Hoeschel. et Spencer. Τῆς ἴσης (δεδόσθω γὰρ) ὑγιείας καὶ εὐεξίας ἐγγινομένης ἀπὸ τῶν κιλ.

[3]) Philoc. Mscr., Hoeschel. teste: κατασκευασθέντων, Philoc. vero impressa ut nos in textu.

[4]) Philoc. ἢ οὑτωσίν· ἀλλά κτλ.

[5]) Hoeschel. et Spenc. in margine: ὑποβάλλοι.

[6]) Deest τῶν in Philoc.

[7]) Philoc. Mscr., Hoeschel. teste: τὸν τῆς τῶν ὀλίγων, Philoc. vero impressa ut nos in textu.

[8]) Hoeschel. et Spencer. in textu: μόνων.

[9]) Philoc. Mscr., Hoeschel. teste: μετασκευαστέον, Philoc. vero impressa ut nos in textu.

[10]) Philoc. καθαρειοτέρων. [11]) Philoc. μόνον.

[12]) Hoeschel. et Spenc. in textu male: τοῦ πλήθους τῶν ἀνθρώπων καταφρονησάντων. Jam Boherell. vero: »Lege: καὶ τοῦ πλήθους, vel, ut est in Philocalia: τοῦ πλήθους δὲ τῶν ἀνθρώπων καταφρονήσασιν.«

ἀνθρώπων καταφρονήσασιν· οἱ δὲ ἐν Ἰουδαίοις προφῆται, καὶ [1]) οἱ τοῦ Ἰησοῦ μαθηταὶ, οἱ μακρὰν [2]) χαίρειν εἰπόντες τῇ ποικίλῃ τῶν λέξεων συνθέσει, καὶ τῇ, ὡς ὠνόμασεν ἡ γραφὴ, σοφίᾳ [3]) ἀνθρώπων, καὶ σοφίᾳ [4]) κατὰ σάρκα, τὴν [5]) γλῶσσαν αἰνισσομένῃ, ὁμοιωθεῖεν ἂν τοῖς τὴν αὐτὴν τῶν βρωμάτων ποιότητα ὑγιεινοτάτην προνοησαμένοις συνθέσει λέξεων σκευάσαι [6]) καὶ εὑρεπίσαι φθανούσῃ [7]) ἐπὶ τὰ πλήθη τῶν ἀνθρώπων, καὶ μὴ ξενιζούσῃ [8]) τὴν διάλεκτον αὐτῶν, μηδὲ διὰ τοῦ ξενισμοῦ ἀποστρεφούσῃ ἀκούειν ὡς ἀσυνήθων τῶν [9]) τοιῶνδε διαλέξεων. Καὶ [10]) γὰρ εἴπερ πρόκειται τῷ, ἵν' οὕτως ὀνομάσω, λογικῷ βρώματι, ἀνεξίκακον καὶ πρᾶον ποιῆσαι τὸν ἐμφαγόντα· πῶς οὐ βέλτιον συνεσκευασμένος [11]) ἂν εἴη ὁ λόγος, ὁ πλήθη ἀνε-

---

[1]) Philoc. καὶ τοῦ Ἰησοῦ μαθηταί.

[2]) Philoc. μακρά.

[3]) Philoc. σοφίᾳ τῶν ἀνθρώπων. — Cfr. I Cor. II, 4. 5.

[4]) Cfr. II Cor. I, 12.

[5]) Hoeschel. et Spenc. in textu male: τὴν γλῶσσαν αἰνισσόμενοι ὁμοιωθεῖσαν τοῖς κτλ., recte vero Philoc. ut in nostro textu. R. — Jam Boherellus: »Lege: αἰνισσομένῃ, ὁμοιωθεῖεν ἂν τοῖς κτλ., e Philocalia. Τὴν γλῶσσαν αἰνίττεσθαι autem eodem modo explico, quo verba subsequentia: ξενίζειν τὴν διάλεκτον.«

[6]) Philoc. Mscr., Hoeschel. teste: κατασκευάσαι, Philoc. vero impressa ut nos in textu.

[7]) Philoc. Mscr., Hoeschel. teste: φθανούσῃ καὶ ἐπὶ τά κτλ., Philoc. vero impressa ut nos in textu.

[8]) Cfr. pag. huj. not. 5.

[9]) Philoc. τῶν τοιούτων διαλέξεων.

[10]) Philoc. Mscr., Hoeschel. teste: καὶ εἰ πρόκειται, ἵν' οὕτως κτλ., Philoc. vero impressa: καὶ γὰρ εἴπερ πρόκειται, ἵν' οὕτως κτλ.

[11]) Hoeschel. et Spencer. συσκευασάμενος εἴη ἂν λόγος, ὁ πλήθη κτλ., sed melius Philocalia ut in nostro textu. Ruaeus, Boherello praeeunte.

ξικάκων καὶ πράων κατασκευάζων, ἢ προκοπτόντων γε ἐπὶ ταύτας τὰς ἀρετὰς, παρὰ τὸν πάνυ ὀλίγους καὶ εὐαριθμήτους, ἵνα [1]) καὶ τοῦτο δοθῇ, ἀνεξικάκους καὶ πράους ποιοῦντα; [2]) Ὥσπερ [3]) δὲ ὁ τοὺς Αἰγυπτιάζοντας ἢ τοὺς Συριάζοντας ὠφελεῖν ὑγιέσι δόγμασι βουλόμενος Ἕλλην τυγχάνων, προενοήσαιο ἂν μαθεῖν τὰς τῶν ἀκουσομένων διαλέκτους, καὶ, ὡς Ἕλληνες ὀνομάζουσι, βαρβαρίζειν μᾶλλον ὑπὲρ [4]) τῆς Αἰγυπτίων καὶ Σύρων βελτιώσεως, [5]) ἢ Ἕλλην μένων μηδὲν δύνασθαι χρήσιμον λέγειν Αἰγυπτίοις καὶ Σύροις· οὕτως ἡ προνοουμένη [6]) θεία φύσις οὐ τῶν πεπαιδεῦσθαι νομιζομένων μόνον [7]) τὰ Ἑλλήνων, ἀλλὰ [8]) καὶ τῶν λοιπῶν Ἑλλή-

---

[1]) Philoc. ἵνα καὶ τοῦτο δοθῇ. Hoeschel. et Spencer. ἵνα δοθῇ.

[2]) Edd. Spenc. ποιοῦντα. Ὥσπερ κτλ. Jam Boherellus vero: »Scribe interrogationis notam, post ποιοῦντα.«

[3]) Hoeschel. et Spencer. Ὥσπερ δὲ εἰ ὁ τοὺς Αἰγυπτιάζοντας ἢ τοὺς Συριάζοντας ὠφελεῖν ὑγιέσιν δόγμασιν ἐβούλετο, κτλ., at Philoc. rectius ut in nostro textu. Ruaeus, Boherello duce. — Philoc. Mscr., Hoeschel. teste: Ὥσπερ δὲ ὁ τοὺς — ὑγιέσι δόγμασι βουλόμενος κτλ., Philoc. vero impressa: Ὥσπερ δὴ εἰ ὁ τοὺς — ὑγιέσι δόγμασι βουλόμενος κτλ.

[4]) Philoc. Mscr., Hoeschel. teste: ὑπὲρ τῆς τῶν Αἰγυπτίων, Philoc. vero impressa ut nos in textu.

[5]) Philoc. Mscr., Hoeschel. teste: βελτιώσεως, ἢ Ἕλλην μένων μηδενὶ (?) χρήσιμον δύνασθαι λέγειν κτλ., Philoc. vero impressa: βελτιώσεως, ἢ Ἕλλην μένων μηδὲν χρήσιμον δύνασθαι λέγειν κτλ. Hoeschel. et Spencer. βελτιώσεως, ἢ Ἕλλην μὲν, ὡς μὴ δύνασθαι χρήσιμον λέγειν κτλ.

[6]) Philoc. προνοησαμένη.

[7]) Philoc. Mscr., Hoeschel. teste: μόνα τὰ Ἑλλήνων, Philoc. vero impressa ut nos in textu.

[8]) Desunt in Philoc. verba: ἀλλὰ καὶ τῶν λοιπῶν Ἑλλήνων.

νων,[1]) συγκατέβη τῇ ἰδιωτείᾳ[2]) τοῦ πλήθους τῶν ἀκροωμένων·[3]) ἵνα ταῖς συνήθεσιν αὐτοῖς χρησαμένη λέξεσι προκαλέσηται ἐπὶ ἀκρόασιν τὸ τῶν ἰδιωτῶν πλῆθος, δυνάμενον ἐξ εὐχεροῦς μετὰ τὴν ἅπαξ γενομένην εἰσαγωγὴν φιλοτιμήσασθαι πρὸς τὸ καὶ βαθύτερα τῶν κεκρυμμένων νοημάτων ἐν ταῖς γραφαῖς καταλαβεῖν. Καὶ τῷ τυχόντι γὰρ δῆλον ταύτας ἀναγινώσκοντι, ὅτι[4]) πολλὰ βαθύτερον τοῦ αὐτόθεν ἐμφαινομένου ἔχειν δύναται νοῦν τοῖς ἀνατιθεῖσιν αὐτοὺς[5]) τῇ ἐξετάσει τοῦ λόγου,[6]) φανερούμενον κατὰ[7]) τὴν ἀναλογίαν τῆς εἰς τὸν λόγον σχολῆς, καὶ εἰς τὴν ἄσκησιν[8]) αὐτοῦ προθυμίας.

61. Οὐκοῦν κατεσκεύασται, ὅτι,[9]) ὡς (373) φησι Κέλσος, ἀγροικότερον εἰπὼν ὁ Ἰησοῦς· »τῷ[10]) τύπτοντί σε εἰς τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην, καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες καὶ τὸ ἱμάτιον·« βιωφελέστερον κεκίνηκε τὸν λόγον,

---

[1]) Boherellus, quem Ruaeus in notis sequitur: »Dele hic Ἑλλήνων, vel muta in ἀνθρώπων.

[2]) Edd. Spenc. ἰδιωτίᾳ.

[3]) Philoc. Mscr., Hoeschel. teste: ἀκροαμάτων, Philoc. vero impressa ut nos in textu.

[4]) Ita Philocalia. Hoeschel. autem et Spencer. ὅτι πολὺν τοῦ αὐτόθεν ἐμφαινομένου βαθύτερον ἔχειν δύναται κτλ. — Jam Boherellus: »Lege: πολλά, e Philocalia.« [5]) Philoc. ἑαυτούς.

[6]) Philoc. λόγου φανερούμενον, καὶ φανερούμενον κατά κτλ.

[7]) Philoc. Mscr., Hoeschel. teste: κατ' ἀναλογίαν τῆς κτλ., Philoc. vero impressa ut nos in textu. Hoeschel. et Spencer. κατὰ τὴν ἀνάλογον τῆς κτλ. — Jam Boherellus: »Lege: ἀναλογίαν, e Philocalia.«

[8]) Philoc. ἄσκησιν τῆς αὐτοῦ προθυμίας.

[9]) Philoc. ὅτι ὡς φησιν ὁ Κέλσος, ὁ ἀγροικότερον εἰπών· τῷ τύπτοντί σε εἰς τὴν κιλ.

[10]) Cfr. Matth. V, 39. 40. coll. Luc. VI, 29.

καὶ παρέστησεν οὕτως εἰπών, ἢ ὡς ἐν τῷ Κρίτωνι Πλάτων, οὗ[1]) μηδ' ἀκούειν ἰδιῶται δύνανται, ἀλλὰ[2]) μόγις[3]) οἱ τὰ ἐγκύκλια πρὸ[4]) τῆς σεμνῆς Ἑλλήνων φιλοσοφίας μεμαθηκότες. Κατανοητέον δὲ καὶ, ὅτι οὐ παραφθείρεται ὁ περὶ ἀνεξικακίας νοῦς ὑπὸ τῆς τῶν λέξεων εὐτελείας, ἀλλὰ καὶ ἐν τούτῳ συκοφαντεῖ τὸν[5]) λόγον ὁ Κέλσος λέγων· »Ἀλλὰ τῶνδε μὲν πέρι, καὶ ἄλλων, ὅσα παραφθείρουσιν,[6]) ἀρκείτω τὰ εἰρημένα·[7]) καὶ ὅτῳ φίλον ἐπὶ πλέον τι αὐτῶν ζητεῖν, εἴσεται.«

62. Φέρε δὲ, ἴδωμεν καὶ τὰ ἑξῆς, ἐν οἷς ταὐτά φησι· »Στῶμεν δ' ἐκεῖθεν· οὐκ ἀνέχονται νεὼς ὁρῶντες, καὶ βωμοὺς, καὶ ἀγάλματα. Οὐδὲ γὰρ Σκύθαι τοῦτο, οὐδὲ Λιβύων οἱ Νομάδες, οὐδὲ Σῆρες οἱ ἄθεοι, οὐδ' ἄλλα ἔθνη τὰ δυσαγέστατα καὶ ἀνομώτατα. Ὅτι δὲ καὶ Πέρσαι οὕτως νομίζουσιν,[8]) Ἡρόδοτος ἐν τοῖσδε ἱστορεῖ·« »»Πέρσας[9]) δὲ οἶδα νόμοισι τοῖσδε[10]) χρεωμένους·[11]) ἀγάλματα[12]) μὲν, καὶ βωμοὺς, καὶ ναοὺς

---

[1]) Philoc. οὗ μηδὲ ἀκούειν κτλ.

[2]) Philoc. Mscr., Hoeschel. teste: ἀλλὰ μόλις, Philoc. vero impressa ut nos in textu.

[3]) Hoeschel. in textu, Spenc. ad marg. μόνης οἱ τὰ κτλ.

[4]) Hoeschel. et Spenc. in textu: πρὸς τῆς. Jam Boherell. vero, quocum Ruaeus facit: »Malim, e Philoc. πρὸ τῆς. Agitur enim de Encyclopaedia, quae gradus fuit ad Philosophiam.«

[5]) Edd. Spenc. τὸν λόγον λέγων ὁ Κέλσος.

[6]) Philoc. Mscr., Hoeschel. teste: διαφθείρουσιν, Philoc. vero impressa ut nos in textu.

[7]) Hactenus hoc loco Philocalia.

[8]) Spenc. ὀνομάζουσιν, Ruaeus: νομίζουσιν. — Jam Boherellus: »Legendum existimo: νομίζουσιν.

[9]) Cfr. Herodot. lib. I. cap. 131.

[10]) Edd. Herodot. τοιοῖσδε.

[11]) Edd. Spenc. et Ruaei: χρεομένους.

[12]) Edd. Herodot. ἀγάλματα μὲν καὶ νηοὺς καὶ βωμοὺς οὐκ ἐν νόμῳ.

οὐκ ἐν νόμῳ ποιευμένους [1]) ἱδρύεσθαι, [2]) ἀλλὰ καὶ τοῖσι ποιοῦσι [3]) μωρίην ἐπιφέρουσιν· [4]) ὡς μὲν ἐμοὶ δοκέει, διότι οὐκ ἀνθρωποφυέας ἐνόμισαν τοὺς θεούς, καθάπερ [5]) οἱ Ἕλληνες, εἶναι.«« »Καὶ μὴν καὶ Ἡράκλειτος ὧδέ πως ἀποφαίνεται· « ««καὶ τοῖς ἀγάλμασι τουτέοισιν εὔχονται, ὁκοῖον εἴ τις τοῖς [6]) δόμοισι λεσχηνεύοιτο, οὔτε [7]) γιγνώσκων θεοὺς, οὐδ' ἥρωας, οἵτινές εἰσι.«« »Τί γοῦν σοφώτερον τοῦ Ἡρακλείτου ἡμᾶς διδάσκουσιν; Ὁ μέν γε μάλα ἀπορρήτως ὑποσημαίνει, ἠλίθιον τὸ τοῖς ἀγάλμασιν εὔχεσθαι, ἐὰν μὴ γιγνώσκῃ τις θεοὺς καὶ ἥρωας, οἵτινές εἰσιν. Ἡράκλειτος μὲν οὕτως· οἱ δὲ ἄντικρυς τὰ ἀγάλματα ἀτιμάζουσιν. Εἰ μὲν ὅτι λίθος, ἢ ξύλον, ἢ χαλκὸς, ἢ χρυσὸς, ὃν ὁ δεῖνα ἢ ὁ δεῖνα εἰργάσατο, οὐκ ἂν εἴη θεὸς, γελοία ἡ σοφία. Τίς γὰρ καὶ ἄλλος, εἰ μὴ πάντη νήπιος, ταῦτα ἡγεῖται θεοὺς, ἀλλὰ [8]) μὴ θεῶν ἀναθήματα, καὶ ἀγάλματα; Εἰ δ' ὅτι μηδὲ θείας εἰκόνας ὑποληπτέον, ἄλλην γὰρ εἶναι θεοῦ μορφὴν, ὥσπερ καὶ Πέρσαις δοκεῖ· λελήθασιν αὐτοὶ σφᾶς αὐτοὺς ἐλέγχοντες, ὅταν φῶσιν, ὅτι ὁ θεὸς ἐποίησε τὸν ἄνθρωπον ἰδίαν εἰκόνα, τὸ δὲ εἶδος ὅμοιον ἑαυτῷ. Ἀλλὰ συνθήσονται μὲν, εἶναι ταῦτα ἐπὶ τιμῇ τινων, ἢ ὁμοίων, ἢ ἀνομοίων τὸ εἶδος· οὔτε δὲ θεοὺς εἶναι, οἷς ταῦτα ἀνάκειται, ἀλλὰ δαίμονας· οὐδὲ χρῆναι θεραπεύειν δαίμονας, ὅστις σέβει θεόν.«

---

[1]) Hoeschel. in textu, Spenc. ad marg. πορευομένους.

[2]) Hoeschel. in textu: ἱδρύσθαι, ad marg. ἱδρύσαι. Spenc. ad marg. ἱδρύσθαι, καί· ἱδρύσαι.

[3]) Edd. Herodot. ποιεῦσι.

[4]) Edd. Herodot. ἐπιφέρουσι, ὡς μὲν ἐμοὶ δοκέειν, ὅτι οὐκ κτλ. [5]) Edd. Herodot. κατάπερ.

[6]) Boherellus: »Videtur Gelenius interpres legisse: ταῖς δοκοῖς. Sed vide lib. I. contra Cels. num. 5.«

[7]) Edd. Spenc. οὔ τι γιγνώσκων κτλ.

[8]) Edd. Spenc. et Ruaei in textu: ἀλλὰ θεῶν κτλ. Jam Ruaeus vero in notis: »Lego: ἀλλὰ μὴ θεῶν« κτλ.

63. *Καὶ πρὸς ταῦτα δὲ λεκτέον· ὅτι, εἴπερ Σκύθαι, καὶ Λιβύων οἱ Νομάδες, καὶ Σῆρες, οὓς φησιν ἀθέους εἶναι ὁ Κέλσος, καὶ ἄλλα ἔθνη δυσαγέστατα καὶ ἀνομώτατα, ἀλλὰ καὶ Πέρσαι, οὐκ ἀνέχονται νεὼς ὁρῶντες, καὶ βωμοὺς, καὶ ἀγάλματα· οὐ παρὰ τοῦτο ἴσόν ἐστι τὸ μὴ ἀνέχεσθαι τούτων ἐκείνους τῷ καὶ ἡμᾶς μὴ ἀνέχεσθαι αὐτῶν. Ἐξεταστέον γὰρ* (374) *τὰ δόγματα, ἀφ' ὧν ὁρμώμενοι*[1] *οὐκ ἀνέχονται ναῶν καὶ ἀγαλμάτων, οἱ μὴ ἀνεχόμενοί γε αὐτῶν· ἵν' εἰ μὲν ἀπὸ ὑγιῶν δογμάτων οὐκ ἀνέχεται, ἐπαινῆται*[2] *ὁ μὴ ἀνεχόμενος· εἰ δ' ἀπὸ ἐσφαλμένων, ψέγηται. Δυνατὸν γὰρ τὸ αὐτὸ ἀπὸ διαφόρων δογμάτων γίνεσθαι. Οἷον ἐπὶ παραδείγματος· ἐκκλίνουσι τὸ μοιχεύειν οἱ τὰ τοῦ Κιτιέως Ζήνωνος φιλοσοφοῦντες, ἀλλὰ καὶ οἱ τὰ Ἐπικούρου, τινὲς δὲ καὶ τῶν παντελῶς ἰδιωτῶν. Ἀλλ' ὅρα, ὅση διαφωνία ἐστὶ περὶ τῆς τοῦ μοιχεύειν ἐκκλίσεως τῶν τοσούτων. Οἱ μὲν, διὰ τὸ κοινωνικὸν καὶ παρὰ φύσιν εἶναι τῷ λογικῷ ζώῳ, νοθεύειν τὴν ὑπὸ τῶν νόμων ἑτέρῳ προκαταληφθεῖσαν γυναῖκα, καὶ φθείρειν τὸν ἄλλου ἀνθρώπου*[3] *οἶκον· οἱ δὲ ἀπὸ Ἐπικούρου οὐ διὰ τοῦτο οὐ μοιχεύουσιν, ὅτε ἀπέχονται τοῦ μοιχεύειν, ἀλλὰ διὰ τὸ νενομικέναι τέλος τὴν ἡδονὴν, πολλὰ δ' ἀπαντᾷν*[4] *κωλυτικὰ τῆς ἡδονῆς τῷ εἴξαντι μιᾷ τῇ τοῦ μοιχεύειν ἡδονῇ, καὶ ἔσθ' ὅτε φυλακὰς, ἢ φυγὰς, ἢ θανάτους·*[5] *πολλάκις δὲ πρὸ τούτων καὶ κινδύνους,*

---

[1]) Ita recte habet Cod. Jolianus. Hoeschel. vero et Spencer. in textu: *οἰμώμενοι*, et in marg. male: *ὁμώμενοι*. R. — Jam Boherellus: »Lege: *ὁρμώμενοι*.«

[2]) Edd. Spenc. perperam: *ἐπαινεῖται*.

[3]) Edd. Spenc. ad marg. *οἶκον ἀνθρώπου*.

[4]) Sic optime Cod. Jolian. ex correctione. Si enim *ἀπαντᾷ*, quod habent libri editi (v. c. edd. Spenc.), retineatur, aliquid deerit post *θανάτους*, verbi gratia: *ὑπομένει*, vel quid simile. R.

[5]) Boherellus, qui legerat: *ἀπαντᾷ*, in notis: »Ali-

κατὰ τὸ ἐπιτηρεῖν τὴν τοῦ ἀνδρὸς ἔξοδον ἀπὸ τῆς οἰκίας, καὶ [1]) τῶν τὰ ἐκείνου φρονούντων· ὡς εἰ καθ' ὑπόθεσιν μοιχεύοντα οἷόν τ' ἦν λαθεῖν καὶ τὸν ἄνδρα τῆς γυναικὸς, καὶ τοὺς οἰκείους πάντας αὐτοῦ, καὶ τοὺς παρ' οἷς τις ἐκ τοῦ μοιχεύειν ἀδοξεῖ· κἂν ἐμοίχευσε διὰ τὴν ἡδονὴν ὁ Ἐπικούρειος. Εἰ δὲ καὶ ὁ ἰδιώτης ποτὲ, παρὸν μοιχεύειν, οὐ μοιχεύει, εὑρεθείη ἂν ἐνίοτε διὰ τὸν ἐνεστῶτα ἐκ τοῦ νόμου φόβον καὶ τὰς κολάσεις μὴ [2]) μοιχεύων· καὶ οὐ διὰ τὸ θηρᾶσθαι πλείονας ἡδονὰς ὁ τοιοῦτος ἀπέχοιτ' ἂν τοῦ μοιχεύειν. Ὁρᾷς οὖν, ὅτι τὸ Ἓν εἶναι νομιζόμενον ἔργον, ἡ τῆς μοιχείας ἀποχὴ, [3]) παρὰ τὰς προθέσεις τῶν ἀπεχομένων οὐ ταὐτὸν, ἀλλὰ διάφορον γίνεται· ἢ γὰρ ἀπὸ ὑγιῶν δογμάτων, ἢ ἀπὸ μοχθηρῶν καὶ ἀσεβεστάτων τῶν ἐν τῷ Ἐπικουρείῳ ἢ τῷ τοιῷδ' ἰδιώτῃ.

64. Ὥσπερ οὖν τὸ Ἓν τοῦτο πρᾶγμα, ἡ τῆς μοιχείας ἀποχὴ, [4]) Ἓν εἶναι δοκοῦσα, πολλὰ ἀλίσκεται τυγχάνουσα, παρὰ τὰ διάφορα δόγματα καὶ τὰς προθέσεις· οὕτω καὶ τῶν μὴ ἀνεχομένων παρὰ βωμοῖς, καὶ ναοῖς, καὶ ἀγάλμασι σέβειν τὸ θεῖον, Σκύθαι μὲν, ἢ Λιβύων οἱ Νομάδες, ἢ Σῆρες οἱ ἄθεοι, ἢ Πέρσαι, ἀπὸ δογμάτων τοῦτο πράττουσιν ἄλλων, ἢ ὧν Χριστιανοὶ καὶ Ἰουδαῖοι οὐκ ἀνέχονται τῆς τοιαύτης ὑπολαμβανομένης εἰς τὸ θεῖον θεραπείας. Οὐδεὶς ἐκείνων, διὰ τὸ ἐκκλίνειν [5]) καὶ κατασπᾶν καὶ κατάγειν τὴν περὶ τὸ

---

quid deesse videtur, verbi gratia: ὑπομένει, aut quid simile.« — Cfr. pag. 99. not. 4.

[1]) Forte legendum: καὶ τῶν τὰ ἐκείνου φρονούντων. R.

[2]) Edd. Spenc. ad marg. οὐ μοιχεύων.

[3]) Edd. Spenc. et Ruaei in textu: ἀποδοχή, ed. vero Ruaei in notis: »Omnino legendum ἀποχή, ut initio numeri 64.«

[4]) Cfr. pag. huj. not. 3.

[5]) Boherellus: »Lego: ἐκκλίνειν τὸ κατασπᾶν.«

θεῖον θρησκείαν ἐπὶ τὴν τοιαύτην ὕλην οὐτωσὶ ἐσχηματισμένην, οὐκ ἀνέχεται βωμῶν καὶ ἀγαλμάτων· οὐδὲ διὰ τὸ διειληφέναι περὶ δαιμόνων, ὅτι τοιοῖσδε παρακαθέζονται σχήμασι καὶ χωρίοις, ἤτοι ὑπό τινων μαγγανειῶν κατακλιθέντες,[1]) ἢ καὶ ἄλλως δυνηθέντες προκαταλαβεῖν ἑαυτοῖς τόπους, ἐν οἷς τῆς τῶν θυομένων ἀποφορᾶς λίχνως μεταλαμβάνοντες παράνομον[2]) ἡδονὴν καὶ παρανόμως[3]) θηράσωνται. Χριστιανοὶ δὲ καὶ Ἰουδαῖοι διὰ (375) τό· »κύριον[4]) τὸν θεόν σου φοβηθήσῃ.[5]) καὶ αὐτῷ μόνῳ λατρεύσεις·« καὶ[6]) διὰ τό· »οὐκ[7]) ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ·« καί· »οὐ[8]) ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ[9]) πᾶν ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω,[10]) καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ[11]) ὅσα ἐν τῷ ὕδατι ὑποκάτω[12]) τῆς γῆς, οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ[13]) μὴ λατρεύσεις αὐτοῖς·« καὶ διὰ τό·

---

[1]) Boherellus: »Malim: *κατακληθέντες*, ut pag. (edd. Spenc.) 418. lin. 34. dixit *κηλήσει*. Sic et libri huj. VII. num. 69. pro *κατακλίσεις*, legendum puto: *κατακηλήσεις*. Vide etiam lib. II. contra Cels. num. 51. coll. lib. I. num. 6.«

[2]) Boherellus: »Intelligo ipsos idololatras.«

[3]) Codd. Reg. et Basil. *παρανόμως θηράσωνται*. Libri editi (v. c. edd. Spenc.) *παρανόμους θηράσονται*. R. — Jam Boherellus: »Lege: *θηράσωνται*.«

[4]) Cfr. Deut. VI, 13. coll. Matth. IV, 10.

[5]) Codd. Reg. et Basil. *προσκυνήσεις*, ut Matth. IV, 10 R. [6]) Deest *καί* in edd. Spenc.

[7]) Exod. XX, 3. [8]) Cfr. Exod. XX, 4. 5.

[9]) Codd. Mss. Reg. et Basil. *οὐδὲ πᾶν ὁμοίωμα*. Libri editi (v. c. edd. Spenc. itemq. Vulgata Biblia): *οὐδὲ παντὸς ὁμοίωμα*. R.

[10]) Uncis inclusum legitur *ἄνω* in edd. Spenc.

[11]) Hoeschel. et Spenc. ut in nostro textu. Vulgata Biblia: *καὶ ὅσα ἐν τοῖς ὕδασιν*.

[12]) Edd. Spenc. et Ruaei: *ὑπὸ κάτω*.

[13]) Sic Cod. Vaticanus. Hoeschel. et Spenc. *οὐδὲ μὴ λατρεύσῃς*. R.

»κύριον[1]) τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις·« καὶ ἄλλα πλείονα τούτοις παραπλήσια, οὐ μόνον ἐκτρέπονται νεὼς, καὶ βωμοὺς, καὶ ἀγάλματα· ἀλλὰ καὶ ἐπὶ τὸ ἀποθνήσκειν, ὅτε δεῖ, ἑτοίμως ἔρχονται ὑπὲρ τοῦ μὴ μολύναι τὴν περὶ τοῦ θεοῦ τῶν ὅλων ὑπόληψιν, διά τινος τοιούτου παρανομήματος.

65. Εἴρηται δὲ ἐν τοῖς ἀνωτέρω[2]) περὶ Περσῶν πρὸς τὸ νεὼς μὲν αὐτοὺς μὴ ἱδρύσθαι, σέβειν δὲ τὸν ἥλιον καὶ τὰ τοῦ θεοῦ δημιουργήματα· ὅπερ[3]) ἡμῖν ἀπηγόρευται,[4]) διδασκομένοις μὴ λατρεύειν[5]) »τῇ κτίσει παρὰ τὸν κτίσαντα·« ἀλλ' εἰδέναι μὲν, ὅτι[6]) »ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ·« καὶ, ὅτι »ἡ[7]) ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ[8]) θεοῦ ἀπεκδέχεται·« καὶ, ὅτι »τῇ[9]) ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα[10]) ἐπ' ἐλπίδι·« καὶ μὴ μὴν καὶ δεῖν τὰ ἐπὶ τῇ δουλείᾳ τῆς φθορᾶς, καὶ ἐπὶ τῇ ματαιότητι ὑποτεταγμένα, καὶ ἐπ' ἐλπίδι κρείττονι ταῦτα πράττοντα, ἐν χώρᾳ τιμᾶν θεοῦ τοῦ ἀνενδεοῦς, ἢ τοῦ υἱοῦ αὐτοῦ καὶ πρωτοτόκου[11]) πάσης κτίσεως. Ἀρκεῖ τοίνυν πρὸς ἐκείνοις καὶ ταῦτα περὶ τοῦ Περσῶν ἔθνους, βωμοὺς

---

[1]) Matth. IV, 10. coll. Deut. VI, 13. et pag. 101. not. 5.

[2]) Cfr. lib. VI. contra Cels. num. 22.

[3]) Edd. Spenc. ἅπερ.

[4]) Codd. Reg. Basil. et Vatican. ἀπαγορεύεται. R.

[5]) Cfr. Rom. I, 25. [6]) Rom. VIII, 21.

[7]) Rom. VIII, 19.

[8]) Cod. Reg. et Basil. τοῦ θεοῦ ἀπεκδέχεται· τῇ γὰρ ματαιότητι κτλ. R.

[9]) Rom. VIII, 20.

[10]) Codd. Reg. et Basil. ὑποτάξαντα ἐπ' ἐλπίδι· οὐ μὴν τὰ ἐπὶ τῇ δουλείᾳ. R.

[11]) Cfr. Coloss. I, 15.

καὶ ἀγάλματα ἐκτρεπομένων, λατρευόντων δὲ »τῇ κτίσει παρὰ τὸν κτίσαντα.« Ἐπεὶ δὲ καὶ τὴν Ἡρακλείτου παρέθετο λέξιν, ὑποδιηγησάμενος αὐτὴν ὑποσημαίνουσαν· »ἠλίθιον εἶναι τὸ τοῖς ἀγάλμασιν εὔχεσθαι, ἐὰν μὴ γιγνώσκῃ τις θεοὺς καὶ ἥρωας, οἵτινές εἰσι·« λεκτέον, ὅτι γιγνώσκειν μέν ἐστι θεὸν, καὶ τὸν μονογενῆ αὐτοῦ, καὶ τοὺς τετιμημένους ὑπὸ θεοῦ τῇ θεὸς[1]) προσηγορίᾳ, καὶ μετέχοντας τῆς θεότητος αὐτοῦ, ἑτέρους ὄντας παρὰ πάντας τοὺς θεοὺς τῶν ἐθνῶν, οἵτινές εἰσι δαιμόνια·[2]) οὐ μὴν δυνατόν ἐστι καὶ γιγνώσκειν τὸν θεὸν, καὶ τοῖς ἀγάλμασιν εὔχεσθαι.

66. Καὶ οὐ μόνον τὸ εὔχεσθαι τοῖς ἀγάλμασιν ἠλίθιόν ἐστιν, ἀλλὰ γὰρ καὶ τὸ συμπεριφερόμενον τοῖς πολλοῖς προσποιεῖσθαι[3]) τοῖς ἀγάλμασιν εὔχεσθαι· ὁποῖον ποιοῦσιν οἱ τὰ ἀπὸ τοῦ Περιπάτου φιλοσοφοῦντες, καὶ οἱ τὰ Ἐπικούρου ἢ Δημοκρίτου ἀσπαζόμενοι. Οὐδὲν γὰρ νόθον χρὴ ἐνυπάρχειν τῇ ψυχῇ τοῦ ἀληθῶς εἰς τὸ θεῖον εὐσεβοῦς. Οὐ τιμῶμεν δὲ τὰ ἀγάλματα καὶ διὰ τὸ μὴ, τὸ ὅσον ἐφ' ἡμῖν, καταπίπτειν εἰς ὑπόληψιν τὴν περὶ τοῦ εἶναι τὰ ἀγάλματα θεοὺς ἑτέρους, Διὸ καὶ ἐγκαλοῦμεν Κέλσῳ, καὶ πᾶσι τοῖς ὁμολογοῦσι μὴ εἶναι ταῦτα θεοὺς, ὅτι τῶν δοκούντων εἶναι σοφῶν[4]) καὶ ἡ φαινομένη περὶ τὰ ἀγάλματα τιμή·[5]) οἷς καὶ ἀκολουθοῦντες οἱ πολλοὶ οὐ (376) μόνον κατὰ συμπεριφορὰν σέβειν αὐτὰ νομίζοντες, ἁμαρτάνουσιν, ἀλλὰ γὰρ καὶ καταπίπτοντες τῇ ψυχῇ ἐπὶ τὸ νομίζειν ταῦτα

---

[1]) Cfr. Psalm. L, 1. (XLIX.)

[2]) Cfr. Psalm. XCVI, 5. (XCV.)

[3]) Vide Euseb. lib. IV. Praepar. Evangel. in fine cap. II.

[4]) Boherellus: »Legendum puto: *σοφῶν γίνεται ἡ φαινομένη κτλ.* Quod compendiose scriptum facile potuit depravari.«

[5]) Edd. Hoeschel. et Spenc. ad marg. *τιμή· ἢ καὶ ἀκολουθοῦντες κτλ.*

εἶναι θεοὺς, καὶ μηδ' ἀνεχόμενοι ἀκούειν, ὅτι οὐκ εἰσὶ ταῦτα θεοὶ τὰ ὑπ' αὐτῶν προσκυνούμενα. Κέλσος μὲν οὖν φησιν »αὐτὰ μὴ ἡγεῖσθαι θεοὺς, ἀλλὰ θεῶν ἀναθήματα·« μὴ ἀποδεικνὺς, πῶς οὐκ ἀνθρώπων εἰσὶ ταῦτα ἀναθήματα, ἀλλ', ὡς ὠνόμασεν, αὐτῶν τῶν θεῶν. Σαφὲς γὰρ, ὅτι ἐστὶν ἀνθρώπων πεπλανημένων περὶ τὸ θεῖον ταῦτα ἀναθήματα. Ἀλλ' οὐδὲ θείας εἰκόνος [1]) ὑπολαμβάνομεν εἶναι τὰ ἀγάλματα, ἅτε μορφὴν ἀοράτου [2]) καὶ ἀσωμάτου μὴ διαγράφοντα θεοῦ. Ἐπεὶ δὲ ὑπολαμβάνει ἡμᾶς ὁ Κέλσος τοῖς ἐναντίοις περιπίπτειν, ὅτε φαμὲν μὴ εἶναι ἀνθρωπόμορφον τὸ θεῖον, καὶ ὅτε πιστεύομεν, ὅτι ὁ θεὸς ἐποίησε [3]) τὸν ἄνθρωπον ἰδίαν εἰκόνα, καὶ ἐν εἰκόνι θεοῦ ἐποίησεν αὐτόν· λεκτέον, ὡς καὶ ἐν τοῖς ἀνωτέρω εἴρηται, ὅτι τό· »κατ' [4]) εἰκόνα θεοῦ·« ἐν ψυχῇ λογικῇ, τῇ ποιᾷ κατ' ἀρετὴν, σώζεσθαί φαμεν. Καὶ ἔνθα μέν τοι ὁ Κέλσος, μὴ ἰδὼν διαφορὰν εἰκόνος θεοῦ, καὶ τοῦ »κατ' εἰκόνα θεοῦ,« φησὶν ἡμᾶς λέγειν, ὅτι »ὁ θεὸς ἐποίησε τὸν ἄνθρωπον ἰδίαν εἰκόνα καὶ εἶδος ὅμοιον ἑαυτῷ.« Εἴρηται δὲ ἐν τοῖς ἀνωτέρω καὶ πρὸς ταῦτα.

67. Εἶθ' ἑξῆς φησι περὶ Χριστιανῶν, ὅτι »συνθήσονται μὲν εἶναι ταῦτ' ἐπὶ τιμῇ τινων, ἢ ὁμοίων, ἢ ἀνομοίων τὸ εἶδος· οὔτε δὲ θεοὺς εἶναι, οἷς ταῦτ' ἀνάκειται, ἀλλὰ δαίμονας· οὔτε χρῆναι θεραπεύειν δαίμονας, ὅστις σέβει θεόν.« Καὶ εἰ ἠπίστατό γε τὸν περὶ δαιμόνων λόγον, καὶ ὧν ἕκαστος αὐτῶν ἐνεργεῖ, εἴτε καλούμενος ὑπὸ τῶν περὶ ταῦτα δεινῶν, εἴτε καὶ ἑκου-

---

[1]) Boherellus: »Lege: εἰκόνας, ex libr. huj. num. 62.«

[2]) Hoeschel. et Spencer. ἀοράτου θεοῦ καὶ ἀσωμάτου μὴ διαγράφοντες θεοῦ. At Codd. Reg. et Basil. ut in nostro textu rectius. R. — Jam Boherellus: »Vox θεοῦ priori loco videtur redundare.«

[3]) Cfr. Gen. I, 27.

[4]) Gen. I, 27. — In seqq. edd. Spenc. et Ruaei: τῇ ποιᾷ.

σίως ἐπιδιδοὺς ἑαυτὸν ᾗ βούλεται καὶ δύναται ἐνεργείᾳ· καὶ διειλήφει τὸν περὶ δαιμόνων λόγον, πολὺν ὄντα καὶ δύσληπτον τῇ ἀνθρωπίνῃ φύσει· οὐκ ἂν ἐνεκάλεσεν ἡμῖν φάσκουσιν, ὅτι οὐ χρὴ θεραπεύειν δαίμονας, ὅστις σέβει τὸν ἐπὶ πᾶσι θεόν. Καὶ τοσοῦτόν γε ἀποδέομεν τοῦ θεραπεύειν δαίμονας, ὥστε καὶ ἀπελαύνειν αὐτοὺς εὐχαῖς, καὶ τοῖς ἀπὸ τῶν ἱερῶν γραμμάτων μαθήμασιν, ἀπὸ [1]) τῶν ἀνθρωπίνων ψυχῶν, καὶ ἀπὸ τῶν τόπων, ἐν οἷς αὐτοὺς [2]) ἱδρύκασιν· ἐσθ' ὅτε δὲ καὶ ἀπὸ τῶν ζώων. Πολλάκις γὰρ ἐπὶ [3]) τῇ λύμῃ καὶ τῶν τοιούτων ἐνεργοῦσί τινα οἱ δαίμονες.

68. Διὰ δὲ τὰ ἀνωτέρω πολλὰ περὶ τοῦ Ἰησοῦ ἡμῖν εἰρημένα, οὐ χρὴ νῦν παλιλλογεῖν πρὸς τό· »Ὅτι μὲν οὖν αὐτοὶ διελέγχονται σαφῶς οὐ θεόν, ἀλλ' οὐδὲ δαίμονα, [4]) ἀλλὰ νεκρὸν σέβοντες.« Τοῦτο μὲν αὐτίκα διὰ τοῦτο παραλιπόντες, ἴδωμεν τὰς ἑξῆς τοῦ Κέλσου λέξεις, ἐν αἷς φησι· »Πρότερον δὲ ἐρήσομαι, διὰ τί δαίμονας οὐ θεραπευτέον; Οὐ πάντα μέν τοι κατὰ γνώμην διοικεῖται τοῦ θεοῦ, καὶ πᾶσα ἐξ ἐκείνου πρόνοια; Καὶ ὅ, τί περ ἂν ἐν τοῖς ὅλοις εἴτε θεοῦ ἔργον, εἴτ' ἀγγέλων, εἴτ' ἄλλων δαιμόνων, (377) εἴτε ἡρώων, πάντα ταῦτα ἔχει νόμον ἐκ τοῦ μεγίστου θεοῦ; Τέτακται δὲ ἐφ' ἑκάστῳ δύναμιν λαχὼν, ὅστις ἠξίωται; Τοῦτον οὖν, τὸν ἐκεῖθεν ἐξουσίας τετυχηκότα, οὐ θεραπεύει δικαίως ὁ σέβων τὸν θεόν· οὔτε γὰρ οἷόν τε, φησὶ, [5]) δουλεύειν τὸν αὐτὸν πλείοσι κυρίοις.« Ὅρα δὴ καὶ ἐν τούτοις ὅσα συναρπάζει, δεόμενα οὐκ εὐκαταφρονήτου

---

[1]) Vide lib. I. contra Cels. num. 2.

[2]) Edd. Spenc. in textu: *αὐτούς*, ad oram vero: *αὐτάς*. Jam Boherell. vero: »Lego: *αὐτούς*.«

[3]) Edd. Spenc. ad marg. *ἐν τῇ*.

[4]) Codd. Reg. et Basil. *δαίμονα*. Hoeschel. et Spenc. *δαίμονας*. R.

[5]) Cod. Jolian. (itemq. Boherell.) *φασί*. Hoeschel. et Spenc, ut in nostro textu: *φησί*. R.

ἐξετάσεως, ἀλλὰ καὶ ἐπιστήμης βαθυτέρων καὶ ἀπορρητοτέρων περὶ τῆς τῶν ὅλων πραγμάτων διοικήσεως. Τὸ γάρ· »πάντα κατὰ γνώμην διοικεῖσθαι τοῦ θεοῦ·« πῶς λέγεται, ἐξεταστέον· καὶ πότερον τὸ διοικεῖσθαι, φθάνει καὶ ἐπὶ τὰ ἁμαρτανόμενα, ἢ μή. Εἰ μὲν γὰρ φθάνει τὸ διοικεῖσθαι καὶ ἐπὶ τὰ ἁμαρτανόμενα, οὐ μόνον ἐν ἀνθρώποις, ἀλλὰ καὶ δαίμοσι, καὶ[1]) εἴ τι ἄλλο τῶν ἔξω σωμάτων πέφυκεν ἁμαρτάνειν· ὁράτω τὴν ἀτοπίαν ὁ τοῦτο λέγων, τοῦ πάντα κατὰ γνώμην διοικεῖσθαι τοῦ θεοῦ· ἀκολουθεῖ γὰρ τῷ λόγῳ, καὶ τὰ ἁμαρτανόμενα, καὶ πάντα τὰ ἀπὸ κακίας, κατὰ γνώμην διοικεῖσθαι τοῦ θεοῦ. Ὅπερ οὐ ταὐτόν ἐστι τῷ· οὐ κωλύοντος τοῦ θεοῦ γίνεται. Εἰ[2]) δὲ κυρίως τις ἀκούοι τοῦ διοικεῖσθαι, καὶ διοικεῖσθαι μὲν λέγοι τὰ ἀπὸ κακίας διοικούμενα· δηλονότι πάντα »κατὰ γνώμην διοικεῖται τοῦ θεοῦ,« καὶ οὐ παρανομεῖ εἰς τὴν διοίκησιν τοῦ θεοῦ πᾶς ἁμαρτάνων. Τὸ δ' ὅμοιον καὶ περὶ προνοίας διασταλτέον, καὶ λεκτέον, ὅτι τό· »Πᾶσα ἐξ ἐκείνου πρόνοια·« σημαίνει μέν τι ἀληθὲς, ὅτε ἡ πρόνοια σπουδαῖόν ἐστιν. Εἰ δ' ἁπαξαπλῶς πάντα τὰ γινόμενα κατὰ[3]) πρόνοιαν εἶναι φήσομεν, κἂν κακῶς τι γίνηται, ψεῦδος ἔσται τό· »Πᾶσα ἐξ ἐκείνου πρόνοια·« εἰ μὴ ἄρα καὶ τὰ κατ' ἐπακολούθησιν τῶν ἐκ προνοίας θεοῦ, λέγοι τις εἶναι ἐκ προνοίας θεοῦ. Ἀποφαίνεται δὲ »καὶ ὅ, τί περ ἂν ᾖ ἐν τοῖς ὅλοις, εἴτε

---

[1]) Hoeschel. (?) et Spencer. καὶ εἴτε, errore typographico. R. — Jam Boherellus: »Lege: καὶ εἴ τι, cum Hoeschelio.«

[2]) Edd. Spenc. et Ruaei in textu: Εἰ δὲ καὶ κυρίως τις ἀκοῦοι τοῦ διοικεῖσθαι, διοικεῖσθαι μὲν λέγει κτλ., ed. vero Ruaei in notis: »Lego: Εἰ δὲ κυρίως τις ἀκοῦοι τοῦ διοικεῖσθαι, καὶ διοικεῖσθαι μὲν λέγοι« κτλ.

[3]) Vox: κατά, deest in antea editis (v. c. edd. Spenc.), sed restituitur e Cod. Joliano. R.

θεοῦ ἔργον, εἴτ' ἀγγέλων, εἴτε ἄλλων δαιμόνων, εἴτε ἡρώων, πάντα ταῦτα ἔχει νόμον ἐκ τοῦ μεγίστου θεοῦ· « καὶ οὐκ ἀληθῆ γε λόγον ἀποφαίνεται. Οὐδὲ γὰρ τὰ παρανομοῦντα ἑπόμενα νόμῳ τῷ ἀπὸ μεγίστου θεοῦ παρανομεῖ. Παρανομεῖν δὲ ὁ λόγος [1]) δείκνυσιν οὐ μόνον ἀνθρώπους φαύλους, ἀλλὰ καὶ τοὺς φαύλους δαίμονας, καὶ τοὺς φαύλους ἀγγέλους.

69. Φαύλους δὲ δαίμονας οὐ μόνοι λέγομεν ἡμεῖς, ἀλλὰ καὶ σχεδὸν πάντες, ὅσοι δαίμονας τιθέασιν εἶναι. Οὐ πάντα οὖν ἔχει νόμον ἐκ τοῦ μεγίστου θεοῦ. Ὅσα γὰρ παρ' ἰδίαν ἀπροσεξίαν, κακίαν, [2]) ἢ πονηρίαν, ἢ ἄγνοιαν τοῦ καλοῦ, ἀποπέπτωκεν τοῦ θείου νόμου, οὐκ ἔχει τὸν νόμον τοῦ θεοῦ, ἀλλ', ἵνα ὀνομάσω καινῷ ὀνόματι, καὶ τῷ κατὰ τὴν γραφὴν, τὸν νόμον [3]) ἔχει τῆς ἁμαρτίας. Κατὰ μὲν οὖν τοὺς πολλοὺς τῶν τιθέντων εἶναι δαίμονας, καὶ οἱ φαῦλοι δαίμονες οὐκ ἔχουσι τὸν ἀπὸ θεοῦ νόμον, ἀλλὰ παρανομοῦσι· κατὰ δὲ ἡμᾶς, πάντες δαίμονες, ἀποπεσόντες τῆς ἐπὶ τὸ ἀγαθὸν ὁδοῦ, πρότερον οὐκ ὄντες δαίμονες· καὶ ἔστιν εἶδος τῶν (378) ἐκπεσόντων θεοῦ τὸ τῶν δαιμόνων. Διόπερ οὐ χρὴ θεραπεύειν δαίμονας, ὅστις σέβει θεόν. Δηλοῦται δὲ τὰ περὶ τοὺς δαίμονας καὶ ἐκ τῶν καλούντων αὐτοὺς [4]) ἐπὶ τοῖς ὀνομαζομένοις φίλτροις, ἢ μισήτροις, ἢ ἐπὶ κωλύσεσι πράξεων, ἢ ἄλλων τοιούτων μυρίων· ἅπερ ποιοῦσιν οἱ δι' ἐπῳδῶν καὶ μαγγανειῶν μεμαθηκότες καλεῖν καὶ ἐπάγεσθαι δαίμονας ἐφ' ἃ βούλονται. Διό-

---

[1]) Cfr. II Petr. II, 4.

[2]) Codd. Reg. et Basil. κακίᾳ ἢ πονηρίᾳ, ἢ δι' ἄγνοιαν τοῦ καλοῦ, ἀποπέπτωκεν τοῦ θείου νόμου. Libri autem editi (v. c. edd. Spenc.) κακίαν, ἢ πονηρίαν, ἢ ἄγνοιαν, τῶν καλῶν ἀποπέπτωκεν τοῦ θείου νόμου. R.

[3]) Cfr. Rom. VIII, 2.

[4]) Codd. Reg. et Basil. αὐτούς. Libri editi (v. c. edd. Spenc.) δαίμονας. R.

περ ἡ πάντων δαιμόνων θεραπεία ἀλλοτρία ἡμῶν ἐστι, τῶν σεβόντων τὸν ἐπὶ πᾶσι θεόν. Καὶ θεραπεία δαιμόνων ἐστὶν ἡ θεραπεία τῶν νομιζομένων [1]) θεῶν· »πάντες[2]) γὰρ οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια.« Δῆλον δὲ καὶ τοῦτο ἐκ τοῦ εἰς τὰ δοκοῦντα ἐνεργέστερα τῶν νομιζομένων ἱερῶν κατακλίσεις[3]) περιέργους γεγονέναι, καὶ κατὰ τὰς ἀρχὰς τῆς ἱδρύσεως τῶν τοιῶνδε ξοάνων καὶ νεῶν· ἅστινας κατακλίσεις[4]) οἱ τῇ τῶν δαιμόνων διὰ μαγγανειῶν θεραπείᾳ σχολάζοντες πεποίηνται. Διὸ δέδοκται ἡμῖν φεύγειν ὡς ὄλεθρον τὴν τῶν δαιμόνων θεραπείαν· δαιμόνων δὲ θεραπείαν εἶναί φαμεν πᾶσαν τὴν νομιζομένην παρ' Ἕλλησι παρὰ βωμοῖς καὶ ἀγάλμασι καὶ ναοῖς θεῶν θρησκείαν.

70. Εἶπε δὲ καὶ[5]) τό· »Τέτακται δὲ ἐφ' ἑκάστῳ δύναμιν λαχὼν τοῦ μεγίστου θεοῦ, ὅστις ἠξίωται οὕτινοσοῦν ἔργου;« [6]) Λείται δὲ πάνυ βαθυτέρας ἐπιστήμης, καὶ δυναμένης παραστῆσαι, πότερόν ποτε, ὡς οἱ δήμιοι ἐν ταῖς πόλεσι, καὶ οἱ τεταγμένοι ἐπὶ τῶν σκυθρωπῶν μὲν, ἀναγκαίων δὲ ἐν ταῖς πολιτείαις πραγμάτων, οὕτως εἰσὶ τεταγμένοι μοχθηροὶ δαίμονες ἐπί τινων ὑπὸ τοῦ διοικοῦντος τὰ ὅλα λόγου θεοῦ· ἢ, ὥσπερ οἱ ἐν ταῖς ἐρημίαις ληστεύοντες, καὶ ἕνα τινὰ προ-

---

[1]) Codd. Vatican. et Basil. *νομιζομένων*. Libri editi (v. c. edd. Spenc.) *ὀνομαζομένων*. R.

[2]) Cfr. Psalm. XCVI, 5. (XCV.)

[3]) Boherellus, quocum Ruaeus in notis facit, non male: »Lego: *κατακηλήσεις*, vel: *κατακλήσεις*.« — Cfr. libri huj. num. 64.

[4]) Boherellus, quocum Ruaeus in notis facit, non male: »Lego: *κατακηλήσεις*, vel: *κατακλήσεις*.« — Cfr. libri huj. num. 64.

[5]) Edd. Spenc., uncis praepositioni *εἰς* appositis: *καὶ εἰς τό*.

[6]) Edd. Spenc. *ἔργου*. *Λείται δέ κτλ.*

στησάμενοι ἄρχειν αὐτῶν· οὕτως οἱ δαίμονες, οἱονεὶ κατὰ [1]) τόπους τῆς γῆς συστήματα γενόμενοι, ἄρχοντά τινα ἑαυτοῖς πεποιήκασι, τὸν ἡγησόμενον αὐτῶν εἰς τὰς πράξεις, ἃς εἵλοντο ὑπὲρ τοῦ κλέπτειν [2]) καὶ λησταύειν ἀνθρώπων ψυχάς. Χρεία δὲ τῷ μέλλοντι εἰς ταῦτα λέγειν καλῶς, ἵνα περὶ Χριστιανῶν ἀπολογήσηται, ἐκτρεπομένων [3]) ἄλλο τι σέβειν παρὰ τὸν ἐπὶ πᾶσι θεὸν, καὶ τὸν πρωτότοκον πάσης κτίσεως λόγον αὐτοῦ καὶ [4]) θεὸν, διηγήσασθαι καὶ τό· »πάντες, [5]) ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λησταὶ, καὶ οὐκ ἤκουσεν αὐτῶν τὰ πρόβατα·« καὶ τό· »ὁ [6]) κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ·« καὶ εἴ τι ἄλλο τούτοις εἴρηται παραπλήσιον ἐν τοῖς ἱεροῖς γράμμασιν· ὥσπερ καὶ τό· »ἰδού, [7]) δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει·« καὶ τό· »ἐπ' [8]) ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.« Ἀλλ' οὐδαμῶς ἤδει ταῦτα ὁ Κέλσος. Εἰ γὰρ ἤδει, οὐκ ἂν εἶπε· »καὶ ὅ, τί περ ἂν ᾖ ἐν τοῖς ὅλοις εἴτε θεοῦ ἔργον, εἴτ' ἀγγέλων, εἴτε [9]) δαιμόνων, εἴτε ἡρώων· (379) ταῦτ' ἔχει νόμον ἐκ τοῦ μεγίστου θεοῦ; Τέτακται

---

[1]) Vide Huetium Origenianor. lib. II. quaest. V. de angelis.

[2]) Mss. *κλέπτειν*. Hoeschel. *βλέπειν*. Spencer. (in textu) *βλάπτειν*. R. — Spenc. ad marg. *κλέπτειν*, *καί· βλέπειν*.

[3]) Mss. *ἐκτρεπομένων*. Libri antea editi (v. c. edd. Spenc.) *ἐντρεπομένων*. R.

[4]) Verba: *καὶ θεόν*, in antea editis (v. c. edd. Spenc.) omissa restituuntur e Mss. Codd. R.

[5]) Cfr. ev. Joann. X, 8.

[6]) Ev. Joann. X, 10. [7]) Cfr. Luc. X, 19.

[8]) Psalm. XCI, 13. (XC.)

[9]) Hoeschel. in textu, Spenc. ad marg. *εἴτε δαιμόνων*. Spenc. in textu: *εἴτ' ἄλλων δαιμόνων*.

δὲ ἐφ' ἑκάστῳ δύναμιν λαχὼν, ὅστις ἠξίωται; Τοῦτον οὖν, τὸν ἐκεῖθεν ἐξουσίας τετυχηκότα, οὐ θεραπεύσει δικαίως ὁ [1]) σέβων τὸν θεόν.« Τούτοις δ' ἐπιφέρει τό· »Οὐ γὰρ οἷόν τε δουλεύειν τὸν αὐτὸν πλείοσι κυρίοις.« Περὶ οὗ ἐν τῷ ἕξῆς βιβλίῳ διαληψόμεθα, ἅτε αὐτάρκη περιγραφὴν εἰληφότος τοῦ ἑβδόμου Τόμου πρὸς τὸ σύγγραμμα Κέλσου ἡμῖν γεγραμμένου.

---

[1]) Hoeschel. in textu, Spencer. ad marg. ὅστις σέβει τὸν θεόν.

ΩΡΙΓΕΝΟΥΣ

ΚΑΤΑ ΚΕΛΣΟΥ

Τόμος ὄγδοος.

---

1. Ἤδη (380) ἔφθασα ἐπὶ τὸ συντελέσαι ἑπτὰ βιβλία, θέλω δὲ ἄρξασθαι καὶ ὀγδόου. Θεὸς δὲ καὶ ὁ μονογενὴς αὐτοῦ λόγος παρέσται[1]) ἡμῖν, ἵνα γενναίως μὲν τὰ Κέλσου ψεύδη διελεγχθῇ, μάτην ἐπιγεγραμμένα »ἀληθὴς λόγος·« δυνατῶς δὲ καὶ, τὸ ὅσον ἐπὶ τοῖς ὑπαγορευομένοις, τὰ Χριστιανισμοῦ ἀποδειχθῇ· εὐχομένοις τό· »ὑπὲρ[2]) Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ θεοῦ παρακαλοῦντος[3]) δι' ἡμῶν·« εἰπεῖν τῇ τοῦ Παύλου διαθέσει, καὶ πρεσβεῦσαι ὑπὲρ τοῦ[4]) Χριστοῦ πρὸς τοὺς ἀνθρώπους, ὡς ὁ τοῦ θεοῦ λόγος ἐπὶ τὴν πρὸς ἑαυτὸν φιλίαν παρακαλεῖ· βουλόμενος οἰκειῶσαι δικαιοσύνῃ, καὶ ἀληθείᾳ, καὶ ταῖς λοιπαῖς ἀρεταῖς, τοὺς πρὸ τῆς παραδοχῆς τῶν Ἰησοῦ τοῦ Χριστοῦ δογμάτων ἐν σκότῳ

---

[1]) Mallent Guietus et Boherellus: *παρέστω*, nisi forte sit Futurum pro Imperativo, more Hebraeorum. R.

[2]) Cfr. II Cor. V, 20.

[3]) Hoeschel. et Spenc. *παρακαλοῦντος ἡμᾶς δι' ἡμῶν*, sed a Codd. Reg. et Basil. recte abest *ἡμᾶς*. R. — Jam Boherellus: »Duae voces: *δι' ἡμῶν*, sunt e Paulo. Itaque praecedens *ἡμᾶς* vel delendum est, vel collocandum post *εἰπεῖν*, ut constructio sit: *εὐχομένοις εἰπεῖν ἡμᾶς*.«

[4]) Deest *τοῦ* in edd. Spenc.

τῷ περὶ θεοῦ, καὶ ἀγνοίᾳ τῇ περὶ τοῦ κτίσαντος ἐνδιατρίψαντας. Καὶ πάλιν δὲ ἐρῶ, ὅτι ὁ θεὸς δῴη[1]) ἡμῖν τὸν γενναῖον καὶ ἀληθῆ λόγον, τὸν κύριον[2]) τὸν κραταιὸν καὶ δυνατὸν ἐν πολέμῳ τῷ κατὰ τῆς κακίας. Ἤδη δὲ καὶ ἐπὶ τὴν ἑξῆς λέξιν Κέλσου καὶ τὰ πρὸς αὐτὴν ὁδευτέον ἐστὶν ἡμῖν.

2. Ἐπηπόρησε δὲ ἐν τοῖς πρὸ τούτων πρὸς ἡμᾶς, διὰ τί δαίμονας οὐ θεραπεύομεν· καὶ πρὸς ἃ εἶπε περὶ δαιμόνων, ἀπηντήσαμεν κατὰ τὸ φαινόμενον ἡμῖν βούλημα τοῦ θείου λόγου. Εἶθ' ἑξῆς ἐκείνοις ἡμᾶς εἰσάγει λέγοντας πρὸς τὴν ἐπαπόρησιν αὐτοῦ, θέλοντος ἡμᾶς καὶ τοὺς δαίμονας θεραπεύειν, ὅτι[3]) οὐκ οἷόν τε δουλεύειν τὸν αὐτὸν πλείοσι κυρίοις. »Τοῦτο δ', ὡς οἴεται στάσεως εἶναι φωνὴν, τῶν, ὡς αὐτὸς ὠνόμασεν, ἀποτειχιζόντων[4]) ἑαυτοὺς καὶ ἀποῤῥηγνύντων ἀπὸ τῶν λοιπῶν ἀνθρώπων.« Νομίζει δὲ »τοὺς τοῦτο λέγοντας, τὸ ὅσον ἐφ' ἑαυτοῖς, ἀπομάτιεσθαι τὸ σφέτερον πάθος εἰς τὸν θεόν. Διὸ καὶ ἐπὶ μὲν ἀνθρώπων χώραν ἔχειν οἴεται, τὸν δουλεύοντά τινι μὴ[5]) ἂν εὐλόγως καὶ ἄλλῳ δουλεύειν ἀνθρώπῳ· ὡς βλαπτομένου τοῦ ἑτέρου ἀπὸ τῆς διαφόρου δουλείας· μηδὲ τὸν φθάσαντα συνομωμοκέναι τινὶ, συνομνύειν καὶ ἑτέρῳ· ὡς βλάπτοντα λόγον ἔχειν τὸ[6]) δουλεύειν ἅμα διαφόροις ἤρωσι καὶ τοῖς τοιούτοις δαίμοσιν. Ἐπὶ δὲ θεοῦ, πρὸς ὃν οὔτε βλάβη

---

[1]) Edd. Spenc. in textu: δοίη, ad marg. vero: δῴη.

[2]) Cfr. Psalm. XXIV, 8. (XXIII.)

[3]) Edd. Spenc. et Ruaei, ut saepius: ὅτι οὐκ οἷόν τε.

[4]) Ruaeus non absque causa: »Forte legendum: ἀποσχιζόντων. Vide infra num. 5.«

[5]) Hoeschel. et Spencer. male: μὴ ἀνευλόγως, bene autem Cod. Anglican. secundus: μὴ ἂν εὐλόγως. R. — Jam Boherellus: »Lego: μὴ ἂν εὐλόγως.«

[6]) Hoeschel. et Spencer. τὸ μὴ δουλεύειν, at recte Cod. Jolianus omisit particulam μή. R. — Jam Boherellus: »Negantem particulam delendam puto.«

τις οὔτε λύπη φθάνῃ,[1]) ἄλογον νομίζει τὸ φυλάττεσθαι ὁμοίως τοῖς περὶ ἀνθρώπων, καὶ ἡρώων, καὶ τοιῶνδε δαιμόνων (381) θεραπεύειν θεοὺς πλείονας.« Φησὶ δὲ καὶ »τὸν θεραπεύοντα θεοὺς πλείονας, τῷ ἕν τι τῶν τοῦ μεγάλου θεραπεύειν, φίλον καὶ ἐν τούτῳ ἐκείνῳ ποιεῖν·« καὶ προστίθησιν, ὅτι »οὐδ' ἔξεστι τιμᾶσθαί τινι ᾧ μὴ ἐξ ἐκείνου τοῦτο δέδοται. Διόπερ τιμῶν τις καὶ σέβων, φησὶ, τοὺς ἐκείνου πάντας, οὐ λυπεῖ τὸν θεὸν, οὗ πάντες εἰσίν.«

3. Ἴδωμεν δὴ πρὸ τῶν ἑξῆς, εἰ μὴ εὐλόγως ἀποδεχόμεθα τήν· »Οὐδεὶς[2]) δύναται δυσὶ κυρίοις δουλεύειν·« φωνήν· ᾗ ἐπιφέρεται τό· »ἢ[3]) γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει.« Καὶ ἑξῆς αὐτῷ τό· »Οὐ[4]) δύνασθε θεῷ δουλεύειν καὶ μαμμωνᾷ.« Καλεῖ δ' ἡμᾶς ἡ ἀπολογία εἰς βαθύτερόν τινα καὶ ἀπόῤῥητον περὶ θεῶν καὶ κυρίων λόγον. Ἐπίσταται γὰρ ἡ θεία γραφὴ[5]) »τὸν μέγαν εἶναι κύριον παρὰ πάντας τοὺς θεούς·« ἐν οἷς θεοὺς οὐ τοὺς προσκυνουμένους ἐν τοῖς ἔθνεσιν ἐξακούομεν, ἅτε μαθόντες, ὅτι »πάντες[6]) οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια·« ἀλλὰ θεοὺς, ὧν οἶδέ τινα συναγωγὴν[7]) ὁ προφητικὸς λόγος, καὶ τὸν ἐπὶ πᾶσι θεὸν τούτους διακρίνοντα, καὶ διατασσόμενον ἑκάστῳ τὸ οἰκεῖον αὐτῷ ἔργον. »Ὁ[8]) θεὸς γὰρ ἔστιν ἐν συνα-

---

[1]) Edd. Spenc. et Ruaei in textu: φανῇ. Boherellus vero et Ruaeus in notis, ille: »Lego: φθάνῃ·« hic: »Scribendum recte videtur Guieto: φθάνῃ.«

[2]) Matth. VI, 24.

[3]) Matth. VI, 24.

[4]) Matth. VI, 24. — Edd. Spenc. et Ruaei in textu: μαμμωνᾷ, edd. vero Spenc. ad marg. μαμῶνᾳ.

[5]) Cfr. Psalm. XCVII, 9. (XCVI.)

[6]) Psalm. XCVI, 5. (XCV.)

[7]) Cfr. Psalm. LXXXII, 1. (LXXXI.)

[8]) Psalm. LXXXII, 1. (LXXXI.)

γωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ.« Καὶ γάρ ἐστι »θεὸς[1]) θεῶν κύριος,« ὃς διὰ τοῦ υἱοῦ »ἐκάλεσε τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου ἕως δυσμῶν.« Καὶ προστασσόμεθα ἐξομολογεῖσθαι[2]) »τῷ θεῷ τῶν θεῶν·« μαθόντες καὶ τό· »ὁ[3]) θεὸς οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων.« Ἅπερ δὴ λέγεται οὐ μόνον διὰ τῶν ἐκκειμένων, ἀλλὰ καὶ δι' ἄλλων μυρίων.

4. Τοιαῦτα δὲ καὶ περὶ κυρίου[4]) κυρίων διδάσκουσιν ἡμᾶς ἐξετάζειν καὶ φρονεῖν οἱ θεῖοι λόγοι· ὅπου μὲν λέγοντες· »ἐξομολογεῖσθε[5]) τῷ θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· ἐξομολογεῖσθε τῷ κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·« ὅπου δέ, ὅτι ἐστὶν ὁ θεὸς »βασιλεὺς[6]) τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων.« Οἵδε δὲ ὁ λόγος θεοῦ τοὺς μέν τινας λεγομένους, τοὺς δὲ καὶ ὄντας, εἴτε λεγομένους, εἴτε μή· τὸ δ' αὐτὸ διδάσκων καὶ περὶ κυρίων τῶν ὄντων καὶ μή, λέγει ὁ Παῦλος· »Καὶ[7]) γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, εἴτ' ἐν οὐρανῷ, εἴτ' ἐπὶ γῆς· ὥσπερ εἰσὶ θεοὶ πολλοί, καὶ κύριοι πολλοί.« Εἶτ' ἐπεὶ »ὁ[8]) τῶν θεῶν θεὸς καλεῖ ἀπ' ἀνατολῶν καὶ δυσμῶν« ἐπὶ τὴν ἑαυτοῦ μερίδα διὰ τοῦ Ἰησοῦ οὓς βούλεται· κύριος δὲ ὢν ὁ Χριστὸς τοῦ θεοῦ δείκνυσιν δι' ὧν ἐπέβη τοῖς πάντων ὁρίοις, καὶ πρὸς ἑαυτὸν ἀπὸ πάντων ὁρίων καλεῖ, ὅτι ἐστὶ πάντων κυριευόντων διαφέρων· διὰ τοῦτο ταῦτα ἐπισταμένος ὁ Παῦλός φησι μεθ' ἃ παρεθέμην· »Ἀλλ'[9]) ἡμῖν εἷς θεὸς ὁ πατὴρ,

---

[1]) Cfr. Psalm. L, 1. (XLIX.)
[2]) Psalm. CXXXVI, 2. (CXXXV.)
[3]) Cfr. Matth. XXII, 32.
[4]) Edd. Spenc., uncis voc. *καί* appositis: *κυρίου καὶ κυρίων.*
[5]) Psalm. CXXXVI, 2. 3. (CXXXV.)
[6]) Cfr. I Tim. VI, 15 [7]) Cfr. I Cor. VIII, 5.
[8]) Cfr. Psalm. L, 1. (XLIX.)
[9]) Cfr. I Cor. VIII, 6.

ἐξ [1]) οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστος, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ.« Θεωρῶν τε θαυμάσιόν τινα καὶ μυστηριώδη λόγον κατὰ τὸν τόπον, ἐπιφέρει αὐτοῖς· »ἀλλ' [2]) (382) οὐκ ἐν πᾶσιν ἡ γνῶσις.« Ἐπὰν δὲ λέγῃ· »Ἀλλ' [3]) ἡμῖν εἷς θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα·« τὸ »ἡμῖν« λέγει ἐφ' ἑαυτοῦ, καὶ πάντων τῶν ἀναβεβηκότων πρὸς τὸν ἐπὶ πᾶσι »θεὸν [4]) τῶν θεῶν,« καὶ πρὸς τὸν ἐπὶ πᾶσι »κύριον [5]) τῶν κυρίων.« Ἀναβέβηκε δὲ πρὸς τὸν ἐπὶ πᾶσι θεὸν ὁ ἀσχίστως καὶ ἀδιαιρέτως καὶ ἀμερίστως αὐτὸν σέβων διὰ τοῦ μόνου προσάγοντος ἐκείνῳ υἱοῦ, τοῦ θεοῦ λόγου καὶ σοφίας ἐν τῷ Ἰησοῦ θεωρουμένου, τοὺς παντὶ τρόπῳ πειρωμένους ἑαυτοὺς οἰκειῶσαι δι' ἐξαιρέτων λόγων, καὶ πράξεων, καὶ διανοημάτων, [6]) τῷ τοῦ παντὸς δημιουργῷ θεῷ. Παρὰ [7]) ταῦτα δ' οἶμαι, καὶ τὰ τούτοις παραπλήσια, τὸν »μεταschηματιζόμενον [8]) εἰς ἄγγελον φωτὸς« ἄρχοντα τοῦ αἰῶνος τούτου πεποιηκέναι τὸ· »Τῷ [9])

---

[1]) Hoeschel. et Spencer., uncis verbis: *καὶ ἡμεῖς εἰς αὐτόν*, appositis: *ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτὸν, καὶ εἷς κύριος κτλ.* At in omnibus Mss. desideratur: *καὶ ἡμεῖς εἰς αὐτόν*, quod idcirco in prioribus editionibus unci includunt. R.

[2]) I Cor. VIII, 7. [3]) I Cor. VIII, 6.

[4]) Cfr. Deut. X, 17. coll. Psalm. CXXXVI, 2.

[5]) Cfr. Deut. X, 17. coll. Psalm. CXXXVI, 3.

[6]) Hoeschel. et Spencer. *διανοημάτων, καὶ νοημάτων*, sed *τό· καὶ νοημάτων*, recte abest a Codd. Reg. et Basil., utpote superfluum. R.

[7]) Omnes Mss. et Hoeschel. (itemq. Spencer. ad marg.) *Παρὰ ταῦτα δ' οἶμαι.* Gelenius interpres vertit, quasi legisset: *Κατὰ ταῦτα δ' οἶμαι*, quod Spencer. (in textu) arripuit. R.

[8]) Cfr. II. Cor. XI, 14.

[9]) Plato in Phaedro: *Ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεὺς, ἐλαύνων πτηνὸν ἅρμα, πρῶτος πορεύεται,*

δὲ ἕπεται στρατιὰ θεῶν τε καὶ δαιμόνων, κατὰ ἕνδεκα μοίρας τεταγμένη· « ἐν οἷς περὶ ἑαυτοῦ καὶ τῶν φιλοσοφησάντων λέγει τό· »Μετὰ [1]) μὲν Διὸς ἡμεῖς, ἄλλοι δὲ μετὰ ἄλλων δαιμόνων.«

5. *Πολλῶν τοίνυν λεγομένων ἢ ὄντων θεῶν, ὁμοίως δὲ καὶ κυρίων· ἡμεῖς πάντα πράττομεν, ἵν' οὐ μόνα τὰ προσκυνούμενα ὡς θεοὺς παρὰ τοῖς ἐπὶ γῆς ἔθνεσιν ὑπεραναβῶμεν, ἀλλὰ γὰρ καὶ οὕς φασιν αἱ γραφαὶ θεούς· περὶ ὧν οὐδὲν ἴσασιν οἱ ξένοι [2]) τῶν διὰ Μωϋσέως καὶ τοῦ Σωτῆρος Ἰησοῦ ἡμῶν διαθηκῶν τοῦ Θεοῦ, καὶ οἱ ἀλλότριοι τῶν διὰ τούτων δηλουμένων ἐπαγγελιῶν αὐτοῦ. Ὑπεραναβαίνει δὲ τὴν παρὰ πᾶσι δαιμονίοις δουλείαν ὁ μηδὲν ἔργον δαιμονίοις φίλον ποιῶν· καὶ ὑπεραναβαίνει τὴν μερίδα τῶν παρὰ Παύλῳ λεγομένων εἶναι θεῶν, ὁ σκοπῶν εἴτε ὡς ἐκεῖνοι, εἴθ' ὁπωσποτὲ ἔχει τὰ πράγματα, οὐ »τὰ [3]) βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα·« καὶ ὁρῶν τις τίνα τρόπον καὶ »ἡ [4]) τῆς κτίσεως ἀποκαραδοκία τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι,« εὐφημῶν τὴν κτίσιν, καὶ βλέπων*

διακοσμῶν πάντα καὶ ἐπιμελούμενος· τῷ δ' ἕπεται στρατιὰ θεῶν τε καὶ δαιμόνων, κατὰ ἕνδεκα μέρη κεκοσμημένη. Μένει γὰρ Ἑστία ἐν θεῶν οἴκῳ μόνη· τῶν δὲ ἄλλων ὅσοι ἐν τῷ τῶν δώδεκα ἀριθμῷ τεταγμένοι θεοὶ ἄρχοντες, ἡγοῦνται κατὰ τάξιν, ἣν ἕκαστος ἐτάχθη. — Cfr. ed. Bekkeri Part. I. Vol. I. pag. 41. (al. 246. seq.)

[1]) Plato in Phaedro: *Κάλλος δὲ τότε τ' ἦν ἰδεῖν λαμπρὸν, ὅτε σὺν εὐδαίμονι χορῷ μακαρίαν ὄψιν τε καὶ θέαν, ἑπόμενοι μετὰ μὲν Διὸς ἡμεῖς, ἄλλοι δὲ μετ' ἄλλου θεῶν, εἶδόν τε καὶ ἐτελοῦντο τῶν τελετῶν ἣν θέμις λέγειν μακαριωτάτην.* — Cfr. ed. Bekkeri Part. I. Vol. I. pag. 47. (al. 250.)

[2]) Cfr. Ephes. II, 20. [3]) Cfr. II Cor. IV, 18.

[4]) Cfr. Rom. VIII, 19. 20. 21.

τίνα τρόπον »ἐλευθερωθήσεται [1]) πᾶσα ἀπὸ τῆς δουλείας τῆς φθορᾶς,« καὶ καταντήσεται »εἰς [2]) τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ,« οὐ περισπᾶται πρὸς [3]) τὸ τῷ θεῷ καὶ ἄλλῳ τινὶ δουλεύειν μετ' αὐτοῦ, οὐδὲ πρὸς τὸ δυσὶ κυρίοις δουλεύειν. Οὐ στάσεως οὖν φωνὴ ἐπὶ τοῖς νοήσασι τὰ τοιαῦτα, καὶ μὴ θέλουσι δουλεύειν πλείοσι κυρίοις· διὰ τοῦτο ἀρκουμένοις κυρίῳ Ἰησοῦ Χριστῷ, παιδεύοντι ὑφ' ἑαυτῷ τοὺς δουλεύοντας αὐτῷ, ἵν' αὐτοὺς πεπαιδευμένους παραδῷ, γενομένους βασιλείαν ἁγίαν θεοῦ, τῷ θεῷ καὶ πατρί. Ἀλλὰ καὶ ἀποσχίζουσι [4]) καὶ ἀποῤῥηγνύουσιν ἑαυτοὺς ἀπὸ τῶν ἀλλοτρίων [5]) τῆς πολιτείας τοῦ θεοῦ, καὶ ξένων τῶν διαθηκῶν αὐτοῦ· ἵνα τὸ ἐν οὐρανοῖς πολίτευμα [6]) πολιτεύσωνται, προσερχόμενοι [7]) »θεῷ ζῶντι, καὶ πόλει θεοῦ, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ [8]) μυριάσιν ἀγγέλων, πανηγύρει, καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν [9]) οὐρανοῖς.«

6. Ἀλλ' οὐδ' ὡς βλαπτομένου (383) τοῦ θεοῦ, (ὡς δοκεῖ βλάπτεσθαι ἄνθρωπος ὑπὸ τοῦ καὶ ἄλλῳ παρ' [10])

---

[1]) Cfr. Rom. VIII, 21. [2]) Cfr. Rom. VIII, 21.

[3]) Spencer. πρὸς τῷ θεῷ. Jam Boherell. vero: »Lege: πρὸς τὸ θεῷ.«

[4]) Ruaeus, Boherello duce, in notis: »Supra, hujus libri num. 2. legitur: ἀποτειχιζόντων ἑαυτοὺς καὶ ἀποῤῥηγνύντων. Vel ergo hoc loco legendum: ἀποτειχίζουσι, vel altero loco mutandum ἀποτειχιζόντων in: ἀποσχιζόντων.«

[5]) Cfr. Ephes. II, 12. [6]) Cfr. Philipp. III, 20.

[7]) Cfr. Hebr. XII, 22. 23.

[8]) Spencerus: καὶ μυριάσιν ἀγγέλων πανηγύρει. Ad quae Boherellus: »Libri VII. contra Cels. num. 29. legitur: μυριάδων, quod et hic sequendum est, si retinere velis distinctionem.«

[9]) Codd. Reg. et Basil. ἐν οὐρανοῖς. Libri editi (v. c. edd. Spenc.) ἐν οὐρανῷ. R.

[10]) Codd. Reg. Basil. et Anglicanus secundus: παρ' αὐτόν. Libri editi in textu: παρ' αὐτῷ. R. — Spencer. in textu: σὺν αὐτῷ, ad marg. vero: παρ' αὐτόν.

αὐτὸν δουλεύοντος,) ἐκκλίνομεν τὸ δουλεύειν ἄλλῳ τινὶ, ἢ τῷ θεῷ διὰ τοῦ λόγου αὐτοῦ καὶ τῆς ἀληθείας αὐτοῦ· ἀλλ' ἵνα ἡμεῖς μὴ βλαβῶμεν, ἑαυτοὺς χωρίζοντες τῆς τοῦ ἐπὶ πᾶσι θεοῦ μερίδος, ὡς οἰκείως αὐτοῦ τῇ μακαριότητι ζῶντας πνεύματι ἐξαιρέτῳ υἱοθεσίας· ὁ [1]) θεὸς ἐν υἱοῖς τοῦ ἐν οὐρανοῖς πατρὸς, οὐ λεξείδια, ἀλλὰ πράγματα μεγαλοφώνως κατὰ τὸ κρυπτὸν φθεγγομένοις [2]) τό· »Ἀββᾶ, [3]) ὁ πατήρ.« Λακεδαιμονίων μὲν οὖν οἱ πρέσβεις τὸν Περσῶν [4]) βασιλέα, καί τοι προσαναγκαζόντων σφόδρα τῶν δορυφόρων, οὐ προσεκύνησαν, φοβούμενοι τὸν ἕνα κύριον αὐτῶν τὸν Λυκούργου νόμον· οἱ δὲ τὴν πολλῷ μείζονα καὶ θειοτέραν πρεσβείαν ὑπὲρ Χριστοῦ πρεσβεύοντες, [5]) οὔτε τὸν Περσῶν ἄρχοντα, οὔτε [6]) τὸν Ἑλλήνων, οὔτε τὸν Αἰγυπτίων, οὔτε τὸν οὐτινοσοῦν ἔθνους προσκυνήσαιεν ἄν, κἂν οἱ δορυφόροι τῶν ἀρχόντων δαίμονες καὶ τοῦ διαβόλου ἄγγελοι προσαναγκάζειν αὐτοὺς ἐθέλωσι τοῦτο ποιεῖν, καὶ πείθωσι μακρὰ [7]) χαίρειν λέγειν τῷ παντὸς νόμου τῶν

[1]) Edd. Spenc. et Ruaei ut nos in textu. Jam Boherellus vero: »Legendum existimo: ὁ τιθεῖ. (?) Scribe autem virgulam post πράγματα.« Ruaeus in notis: »Corruptus est hic locus, et aliquid deesse videtur. Vel ergo legendum: τῷ ἐν υἱοῖς τοῦ ἐν οὐρανοῖς πατρὸς οὐ λεξιδίῳ, ἀλλὰ πράγματι μεγαλοφώνως κατὰ τὸ κρυπτὸν φθεγγομένῳ. Vel forte sic: ὃ τίθησιν ἐν υἱοῖς τοῦ ἐν οὐρανοῖς πατρὸς οὐ λεξιδίῳ, ἀλλὰ πράγματι μεγαλοφώνως κατὰ τὸ κρυπτὸν φθεγγομένοις.« — Equidem Ruaei lectionem secundo loco positam probaverim.

[2]) Edd. Spenc. ad marg. φθεγγόμενοι.

[3]) Rom. VIII, 15. [4]) Cfr. Herodot. lib. VII.

[5]) Cfr. II Cor V, 20.

[6]) Edd. Spenc. et Ruaei in textu: οὔτε τῶν Ἑλλήνων, οὔτε τῶν Αἰγυπτίων. Jam Boherell. vero, quem Ruaeus in notis sequitur: »Lege: οὔτε τὸν Ἑλλήνων, οὔτε τὸν Αἰγυπτίων.«

[7]) Codd. Reg. et Basil. μακρὰ χαίρειν. Ita quoque

ἐπὶ γῆς κρείττονι. Κύριος [1]) γὰρ τῶν ὑπὲρ [2]) Χριστοῦ πρεσβευόντων ὁ Χριστός ἐστιν, ὑπὲρ οὗ πρεσβεύουσιν, ὁ ἐν [3]) ἀρχῇ λόγος ὤν, καὶ πρὸς τὸν θεὸν ὤν, καὶ θεὸς ὤν.

7. Εἶτ' ἐπεὶ ἔδοξε τῶν φαινομένων αὐτῷ βαθύτερόν τινα κινεῖν λόγον ὁ Κέλσος περὶ ἡρώων καί τινων δαιμόνων, λέγων μετὰ τὸν περὶ τῆς πρὸς ἀνθρώπους δουλείας λόγον· »ὡς βλαπτομένου τοῦ προτέρου, ᾧ τις δουλεύειν βούλεται, ἐὰν δουλεύειν θέλῃ καὶ δευτέρῳ·« ὅτι »εἴη δ' ἂν τὸ αὐτὸ καὶ περὶ ἡρώων τε καὶ τῶν τοιούτων δαιμόνων·« πευστέον αὐτοῦ, τί νοεῖ τοὺς ἥρωας; καὶ ποδαποὺς εἶναι λέγει τοὺς τοιούτους δαίμονας; ὥστε τὸν δουλεύοντα τῷδε τῷ ἥρωϊ, καὶ μὴ ἑτέρῳ δουλεύειν δεῖν, καὶ τῷ τοιῷδε δαίμονι, μὴ καὶ ἄλλῳ δουλεύειν· ὡς βλαπτομένου ἀνάλογον τοῖς βλαπτόμενοις ἀνθρώποις τοῦ προτέρου δαίμονος, οἷς [4]) τις ἐλάτρευσε πρὸ τῶν δευτέρων. Ἀλλὰ [5]) καὶ τίνα βλάβην οἴεται εἶναι ἡρώων, ἢ τῶν τοιῶνδε δαιμόνων, παραστησάτω. Ἀναγκασθήσεται γὰρ ἤτοι εἰς πέλαγος φλυαρίας ἐμπεσὼν ἀναλαβεῖν τὸν λόγον, καὶ ἀθετῆσαι τὰ εἰρημένα· ἢ μὴ φλυαρεῖν θέλων ὁμολογεῖν, ὅτι οὔτε

---

libri editi (v. c. edd. Spenc.) Origenis infra num. 36. μακρὰ χαίρειν εἰπόντες. Similiter dicitur πολλὰ χαίρειν Aristophan. Acharn. vers. 199. χαίρειν κελεύω πολλὰ τοὺς ἀχαρνέας. Male ergo hic Hoeschel. et Spencer. habent: μακρὰν χαίρειν. R.

[1]) Codd. Reg. et Basil. Θεὸς γὰρ τῶν ὑπὲρ Χριστοῦ κτλ. R. [2]) Cfr. II Cor. V, 20.

[3]) Cfr. ev. Joann. I, 1.

[4]) Spencer. in notis: »Forsan legendum: εἴ τις« κτλ. Ad quae jam Boherellus: »Male Spencer. mutat οἷς τις in: εἴ τις.«

[5]) Libri antea editi (v. c. edd. Spenc.) Ἀλλ' εἰ καί τινα. Codd. Reg. Basil. Vatican. et Anglican. primus (itemq. Spenc. ad marg.) Ἀλλὰ καὶ τίνα. R.

ἥρωας, οὔτε δαιμόνων φύσιν ἐπίσταται. Εἰς δὲ τὸν περὶ ἀνθρώπων λόγον, βλαπτομένων τῶν προτέρων, ἐὰν δουλεύῃ τις δευτέρῳ, λεκτέον· ποίαν βλάβην φησὶ γίνεσθαι τῷ προτέρῳ ἀνθρώπῳ, εἰ ὁ δουλεύων αὐτῷ δουλεύειν ἐθέλει καὶ ἑτέρῳ;

8. Εἰ μὲν γὰρ ὡς ἰδιώτης λέγοι [1]) καὶ ἀφιλόσοφον [2]) βλάβην τὴν περὶ χρημάτων τῶν ἐκτὸς ἡμῖν [3]) σημαινομένων· ἐλεγχθείη ἂν μηδ' ἐπιστήσας τῷ ὑπὸ Σωκράτους καλῶς εἰρημένῳ ἐν τῷ· »Ἐμὲ [4]) δὲ Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δὲ οὔ· οὐ γὰρ θεμιτὸν, τὸ κρεῖττον ὑπὸ (384) τοῦ χείρονος βλάπτεσθαι.« Εἰ δὲ βλάβην, τὴν κίνησιν ἢ σχέσιν λέγοι κατὰ κακίαν, δῆλον ὅτι, οὐδεμιᾶς γινομένης βλάβης περὶ τοὺς σοφοὺς, δουλεύει τις ἐν διεστηκόσι τόποις οὖσι δύο σοφοῖς. Εἰ δ' οὐδὲ τοῦτο εὔλογον· μάτην αὐτῷ παρείληπται τὸ παράδειγμα κατηγοροῦν τοῦ· [5]) »Οὐδεὶς [6]) δύναται δυσὶ κυρίοις δουλεύειν·« καὶ μᾶλλον ὁ περὶ [7]) τῆς εἰς τὸν Θεὸν τῶν ὅλων δουλείας μόνον [8]) διὰ τοῦ προσάγοντος τῷ Θεῷ υἱοῦ αὐτοῦ κρα-

[1]) Libri editi (v. c. edd. Spenc.) in marg. *λέγει*. R.

[2]) Boherellus: »Malim *ἀφιλοσόφως*, quod et Hoeschel. affert, e Gelenii interpretatione.«

[3]) Boherellus: »Malim: *ἡμῶν σημαίνων*, vel: *σημαινομένην*.«

[4]) Cfr. Platon. Apolog. Socr., ubi haec leguntur: *Ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλιτος, οὔτε Ἄνυτος· οὐδὲ γὰρ ἂν δύναιτο. Οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι.* — Cfr. ed. Bekkeri Part. I. Vol. II. pag. 117. (al. 30.)

[5]) Hoeschel. in textu, Spenc. ad marg. *τό*.

[6]) Matth. VI, 24.

[7]) Ita recte omnes Mss., sicque Hoeschelius, qui cum incidisset in Cod. Mscr., in quo *εἰς* desiderabatur, putavit legendum: *τῷ θεῷ τῶν ὅλων*, quod Spencerus suo more statim in textum transtulit. R. — Spenc. ad marg. *τὸν θεὸν τῶν ὅλων*.

[8]) Spenc. in textu: *μόνης*, ad marg. vero: *μόνον*.

τήσει λόγος. Ἀλλὰ καὶ οὐχ ὡς δεόμενον τὸν θεὸν θεραπεύσομεν, οὐδ' ὡς λυπούμενον, ἂν μὴ θεραπεύωμεν αὐτόν· ἀλλ' ὡς αὐτοὶ ἀπὸ τῆς πρὸς τὸν θεὸν θεραπείας ὠφελούμενοι, καὶ ἄλυποι καὶ ἀπαθεῖς γιγνόμενοι ἐκ τοῦ δουλεύειν τῷ ἐπὶ πᾶσι θεῷ διὰ τοῦ μονογενοῦς αὐτοῦ λόγου καὶ σοφίας.

9. Ὅρα δὲ πῶς ἀβασάνιστόν ἐστι τό· »Εἰ γάρ τι καὶ ἄλλο τῶν ἐν τοῖς ὅλοις θεραπεύσεις·« ἐν ᾧ ἐμφαίνεται τὴν τοῦ θεοῦ θεραπείαν χωρὶς πάσης βλάβης ἡμῶν ἡμᾶς προσάγειν ἁπαξαπλῶς τινι τῶν τοῦ θεοῦ. Ἀλλ' ὥσπερεὶ αἰσθηθεὶς ἑαυτοῦ οὐχ ὑγιῶς εἰπόντος· »Εἰ γάρ τι καὶ ἄλλο τῶν ἐν τοῖς ὅλοις θεραπεύσεις·« [1]) εἶτ' ἐπαναλαμβάνει καὶ [2]) διόρθωσιν προσάγει τῷ λεγομένῳ· »Ἐν [3]) τούτῳ οὐδ' ἔξεστι τιμᾶσθαι οὐδενί, ὅτῳ μὴ ἐξ ἐκείνου τοῦτο δέδοται.« Καὶ πυθώμεθα τοῦ Κέλσου περὶ τῶν τιμωμένων ὡς θεῶν, ἢ δαιμόνων, ἢ καὶ ἡρώων· ὅτι πόθεν, ὦ οὗτος, ἀποδεικνύναι ἔχεις, ὅτι ἀπὸ τοῦ θεοῦ τούτοις δέδοται τὸ τιμᾶσθαι, καὶ οὐχὶ ἀπὸ ἀγνοίας καὶ [4]) ἀμαθίας ἀνθρωπίνης πλανωμένων καὶ ἀποπιπτόντων τοῦ κυρίως τιμωμένου; Τιμᾶται γοῦν, ὡς πρὸ βραχέος ἔλεγες, ὦ Κέλσε, τὰ Ἀδριανοῦ παιδικά· καὶ οὐ δή που ἐρεῖς, ὅτι ἀπὸ τοῦ θεοῦ τῶν ὅλων δέδοται τὸ τιμᾶσθαι ὡς θεῷ τῷ Ἀντινόῳ. [5]) Τὸ

---

[1]) Cod. Jolianus recte: *θεραπεύσεις*. Libri editi (v. c. edd. Spenc.) *θεραπεύεις*. R. — Jam Boherellus: »Malim: *θεραπεύσεις*, ut paulo supra.«

[2]) Mss. et Hoeschel. in textu (Spencer. ad marg.) *καὶ διόρθωσιν προσάγει*. Spencer. (in textu): *καὶ διόρθωσιν, προσάγων*. R. — Boherellus: »Lege: *κατὰ διόρθωσιν*, delendo virgulam ante *προσάγων*.«

[3]) Boherellus: »Lege: *ὅτι οὐδ' ἔξεστι κτλ.*, e pag. (edd. Spenc.) 381. lin. 4. *Τό· ἐν τούτῳ* male huc translatum est ex ejusd. pag. lin. 3.« — Cfr. libri huj. num. 2. in fine.

[4]) Boherellus: »Lege: *καὶ ἀμαθίας ἀνθρώπων πλανωμένων*.«

[5]) Vide lib. III. contra Cels. num. 35.

δ' αὐτὸ καὶ περὶ τῶν ἄλλων ἐροῦμεν, ἀπαιτοῦντες ἀπόδειξιν περὶ τοῦ δεδόσθαι αὐτοῖς ἀπὸ τοῦ ἐπὶ πᾶσι θεοῦ τὸ τιμᾶσθαι. Ἐὰν δ' ἡμῖν ἀνθυποφέρῃ τὸ παραπλήσιον περὶ τοῦ Ἰησοῦ· ἀποδείξομεν, ὅτι ἀπὸ θεοῦ δέδοται αὐτῷ τὸ τιμᾶσθαι· »ἵνα[1]) πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα.« Αἱ γὰρ πρὸ τῆς γενέσεως αὐτοῦ προφητεῖαι συστάσεις ἦσαν τῆς τιμῆς αὐτοῦ. Ἀλλὰ καὶ τὰ ὑπ' αὐτοῦ γενόμενα παράδοξα, οὐ μαγγανείᾳ, ὡς οἴεται Κέλσος, ἀλλὰ θειότητι προειρημένῃ ὑπὸ τῶν προφητῶν, τὴν ἀπὸ θεοῦ εἶχε μαρτυρίαν· ἵν' ὁ τιμῶν τὸν υἱὸν ὄντα λόγον, μηδὲν ἄλογον πράττων, ὠφελῆται ἐκ τοῦ τιμᾶν αὐτόν· καὶ τιμῶν αὐτὸν ὄντα ἀλήθειαν κρείττων γίνηται ἀπὸ τοῦ τιμᾶν ἀλήθειαν· οὕτω δὲ καὶ ἀπὸ τοῦ τιμᾶν σοφίαν καὶ δικαιοσύνην, καὶ πάντα ἅπερ φασὶν εἶναι οἱ θεῖοι λόγοι τὸν υἱὸν τοῦ θεοῦ.

10. Ὅτι δὲ ἡ πρὸς[2]) τὸν υἱὸν τοῦ θεοῦ τιμὴ ἐν βίῳ ὑγιεῖ γίνεται, οὕτω δὲ καὶ ἡ πρὸς τὸν θεὸν καὶ πατέρα, ὅρα εἰ μὴ διδασκόμεθα ἔκ τε (385) τοῦ· »ὃς[3]) ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις·« καὶ ἐκ τοῦ· »πύσῃ[4]) δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας;« Εἰ γὰρ διὰ τῆς παραβάσεως τοῦ νόμου ἀτιμάζει τὸν θεὸν ὁ παραβαίνων τὸν νόμον, καὶ καταπατεῖ τὸν υἱὸν τοῦ θεοῦ ὁ καταπατῶν τὸν λόγον· δῆλον ὅτι τιμᾷ μὲν τὸν θεὸν ὁ τηρῶν τὸν νόμον· σέβει δὲ τὸν θεὸν ὁ κεκοσμημένος τῷ λόγῳ τοῦ θεοῦ, καὶ τοῖς ἔργοις αὐτοῦ. Εἰ δὲ ᾔδει Κέλσος, τίνες μέν εἰσι τοῦ θεοῦ, καὶ ὅτι οἱ μόνοι

---

[1]) Ev. Joann. V, 23.

[2]) Omnes Mss. *πρὸς τὸν θεὸν τιμή*, sicque Hoeschel. in textu habet, sed ad oram: *πρὸς τὸν υἱὸν τοῦ θεοῦ τιμή*, quod Spencer. textui suo inseruit. R.

[3]) Rom. II, 23. [4]) Cfr. Hebr. X, 29.

σοφοὶ, τίνες δὲ οἱ ἀλλότριοι, καὶ ὅτι πάντες οἱ φαῦλοι οἱ μηδαμῶς νεύοντες πρὸς ἀρετῆς ἀνάληψιν, εἶδεν [1]) ἄν πως δῆ τό· »Τιμῶν οὖν τις καὶ σέβων τοὺς ἐκείνου [2]) πάντας, τί λυπεῖ τὸν θεὸν, οὗ πάντες εἰσίν;«

11. Ἐξῆς δὲ τούτοις φησί· »Καὶ μὴν ὅ γε φάσκων ἕνα εἰρῆσθαι κύριον, περὶ θεοῦ λέγων, ἀσεβεῖ, διαιρῶν τὴν τοῦ θεοῦ βασιλείαν, καὶ στασιάζων· ὡς οὔσης αἱρέσεως, καὶ ὄντος τινὸς ἑτέρου ἀντιστασιώτου αὐτῷ.« Χώραν δ' εἶχεν αὐτῷ ταῦτα, εἰ γραμμικαῖς ἀποδείξεσι παρίστη, τοὺς ὑπὸ τῶν ἐθνῶν προσκυνουμένους ὡς θεοὺς θεοὺς εἶναι· καὶ τοὺς περὶ τὰ ἀγάλματα καὶ τοὺς νεὼς καὶ τοὺς βωμοὺς νομιζομένους τυγχάνειν παρίστη μὴ ὄντας φαύλους τινὰς δαίμονας. Ἀλλὰ καὶ τὴν τοῦ θεοῦ βασιλείαν παρ' ἡμῖν συνεχῶς λεγομένην καὶ γεγραμμένην ἡμεῖς μὲν καὶ νοεῖν εὐχόμεθα, καὶ τοιοῦτοι γίγνεσθαι, ἵν' ὑπὸ θεοῦ μόνου βασιλευώμεθα, καὶ γένηται καὶ ἡμῶν ἡ βασιλεία τοῦ θεοῦ. Ἐκεῖνος δὲ, πολλοὺς ἡμᾶς διδάσκων σέβειν θεοὺς, θεῶν μᾶλλον ὤφειλεν, εἰ τὰ ἀκόλουθα ἑαυτῷ σκοπεῖ, λέγειν βασιλείαν, ἥπερ θεοῦ. Οὔτ' οὖν αἱρέσεις παρὰ θεῷ, οὔτ' ἐστί τις θεὸς ἀντιστασιώτης αὐτῷ· κἂν, οἷον γίγαντές τινες, ἢ Τιτᾶνες, διὰ τὴν ἰδίαν φαυλότητα θεομαχεῖν θέλωσι μετὰ Κέλσου καὶ τῶν ἀραμένων πόλεμον πρὸς τὸν διὰ μυρίων παραστήσαντα [3]) τὰ περὶ τοῦ Ἰησοῦ, καὶ πρὸς αὐτὸν τὸν ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν παντὶ τῷ κόσμῳ ἀθρόως ἑαυτὸν ὄντα λόγον, ὡς ἕκαστος χωρεῖ, ἐπιδεδωκότα.

12. Δόξαι δ' ἄν τις ἐξῆς τούτοις πιθανόν τι καθ'

---

[1]) Edd. Spenc. et Ruaei ut nos in textu, ed. vero Ruaei in notis: »Hoeschel. in textu (Spenc. ad marg.) εἶδεν ἄν πῶς δεῖ τό. Cod. Jolian. in marg. habet: εἶδεν ἂν πῶς δεῖ λέγειν τό.«

[2]) Cod. Reg. optime: ἐκείνου. Libri editi (v. c. edd. Spenc.) ἐκείνους. R. — Jam Boherellus: »Lege: ἐκείνου. Vide libri huj. num. 2. in fine.«

[3]) Gelenius legisse videtur: συστήσαντα. R.

ἡμῶν λέγειν ἐν τῷ· »Εἰ μὲν δὴ μηδένα ἄλλον ἐθεράπευον οὗτοι πλὴν ἕνα θεὸν, ἦν ἄν τις αὐτοῖς ἴσως πρὸς τοὺς ἄλλους ἀτενὴς [1]) λόγος· νυνὶ δὲ τὸν ἔναγχος φανέντα τοῦτον ὑπερθρησκεύουσι, καὶ ὅμως οὐδὲν πλημμελεῖν νομίζουσι περὶ τὸν θεὸν, εἰ καὶ ὑπηρέτης αὐτοῦ θεραπευθήσεται.« Λεκτέον δὲ καὶ πρὸς τοῦτο, ὅτι, εἴπερ νενοήκει ὁ Κέλσος τό· »ἐγὼ [2]) καὶ ὁ πατὴρ ἕν ἐσμεν·« καὶ τὸ ἐν εὐχῇ εἰρημένον ὑπὸ τοῦ υἱοῦ τοῦ θεοῦ ἐν τῷ· »ὡς [3]) ἐγὼ καὶ σὺ ἕν ἐσμεν·« οὐκ ἂν ᾤετο ἡμᾶς καὶ ἄλλον θεραπεύειν παρὰ τὸν ἐπὶ πᾶσι θεόν. »Ὁ [4]) γὰρ πατὴρ, φησὶν, ἐν ἐμοὶ, κἀγὼ (386) ἐν τῷ πατρί.« Εἰ [5]) δέ τις ἐκ τούτων περισπασθήσεται, μή πη αὐτομολοῦμεν πρὸς τοὺς ἀναιροῦντας δύο εἶναι ὑποστάσεις, πατέρα καὶ υἱόν· ἐπιστησάτω τῷ· »ἦν [6]) δὲ πάντων τῶν πιστευσάντων ἡ καρδία καὶ ἡ ψυχὴ μία·« ἵνα θεωρήσῃ τό· »ἐγὼ [7]) καὶ ὁ πατὴρ ἕν ἐσμεν.« Ἕνα οὖν θεὸν, ὡς ἀποδεδώκαμεν, τὸν πατέρα καὶ τὸν υἱὸν θεραπεύομεν· καὶ μένει ἡμῖν ὁ πρὸς τοὺς ἄλλους ἀτενὴς λόγος· καὶ οὐ τὸν ἔναγχός γε φανέντα, ὡς πρότερον οὐκ ὄντα, ὑπερθρησκεύομεν. Αὐτῷ γὰρ πειθόμεθα τῷ εἰπόντι· »πρὶν [8]) Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι·« καὶ λέγοντι· »ἐγώ [9]) εἰμι ἡ ἀλήθεια·« καὶ οὐχ οὕτω τις ἡμῶν ἐστιν ἀνδράποδον, ὡς οἴεσθαι, ὅτι ἡ τῆς ἀληθείας οὐσία πρὸ τῶν χρόνων τῆς τοῦ Χριστοῦ ἐπιφανείας οὐκ ἦν. Θρησκεύομεν οὖν τὸν πατέρα τῆς ἀληθείας, καὶ τὸν υἱὸν [10]) τὴν ἀλήθειαν, ὄντα δύο τῇ

---

[1]) Hoeschel. in textu (Spenc. ad marg.) male: ἀγενὴς λόγος. R. [2]) Ev. Joann. X, 30.

[3]) Cfr. ev. Joann. XVII, 22.

[4]) Cfr. ev. Joann. XIV, 11. coll. XVII, 21.

[5]) Vide Origenianor. lib. II. quaest. II.

[6]) Cfr. Act. IV, 32. [7]) Ev. Joann. X, 30.

[8]) Ev. Joann. VIII, 58.

[9]) Cfr. ev. Joann. XIV, 6.

[10]) Hoeschel. in textu (Spenc. ad marg.), et Codd.

ὑποστάσει πράγματα, ἓν δὲ τῇ ὁμονοίᾳ, καὶ τῇ συμφωνίᾳ, καὶ τῇ ταυτότητι τοῦ βουλήματος· ὡς τὸν ἑωρακότα τὸν υἱὸν ὄντα ἀπαύγασμα [1]) τῆς δόξης, καὶ χαρακτῆρα τῆς ὑποστάσεως τοῦ θεοῦ, ἑωρακέναι ἐν αὐτῷ, ὄντι εἰκόνι [2]) τοῦ θεοῦ, τὸν θεόν.

13. Εἶτ' οἴεται »ἐκ τοῦ θρησκεύειν ἡμᾶς μετὰ τοῦ θεοῦ τὸν υἱὸν αὐτοῦ, ἀκολουθεῖν ἡμῖν [3]) τὸ καὶ καθ' ἡμᾶς οὐ μόνον τὸν θεὸν, ἀλλὰ καὶ τοὺς ὑπηρέτας αὐτοῦ θεραπεύεσθαι.« Εἰ μὲν οὖν ἐνόει τοὺς ἀληθῶς ὑπηρέτας τοῦ θεοῦ μετὰ τὸν μονογενῆ τοῦ θεοῦ, τὸν Γαβριὴλ, καὶ τὸν Μιχαὴλ, καὶ τοὺς λοιποὺς ἀγγέλους, [4]) καὶ ἀρχαγγέλους, καὶ τούτους ἔλεγε δεῖν θεραπεύεσθαι· ἴσως ἂν τὸ περὶ τοῦ θεραπεύειν αὐτοῦ σημαινόμενον ἐκκαθήρανιες, [5])

Mss. Regius, Basileensis, Vaticanus et Anglican. primus: *υἱὸν τῆς ἀληθείας*. R.

[1]) Cfr. Hebr. I, 3. [2]) Cfr. II Cor. IV, 4.

[3]) In edd. Spenc. uncis inclusum legitur: *ἡμῖν*.

[4]) Edd. Spenc. et Ruaei in textu: *ἀγγέλους, ἀρχαγγέλους*, ed. vero Ruaei in notis: »Legendum videtur: *ἀγγέλους καὶ ἀρχαγγέλους*.«

[5]) Guieto videtur forte scribendum: *ἐκκαθήραντες καὶ τὸ τῆς τοῦ θεραπεύοντος πράξεως*. R. — Grotius in explicatione Decalogi: »Non potest idem dici de angelis, qui et intelligere preces possunt, et beneficia ex animi quadam libertate praestare. Hos ergo qui honore prosequitur aliquo, qui etiam aliquid eorum beneficio se sperat posse consequi, non peccat in hanc legem; sed is demum, qui iis ea tribuit, quae summo Deo sunt propria. Nam vox Dei in hoc praecepto in summitatis sensu sumenda est. Exempla rem illustrabunt. Non peccarunt, qui angelos, quoties ipsis conspicui apparuere, venerati sunt procumbendo: ut Josuae V, 14., quippe cum et prophetis idem honos exhibitus sit sine peccato, ut ei, qui putabatur Samuel. I Sam. XXVIII, 15., Eliae II Regg. I, 13. Daniel. XI, 46., qui munus et libamina vetat, reverentiae signum non vetat, ut ibi notatum a Josepho Jachiade. Nam quod in Apocalypsi angelus eum honorem a se amovet, non inde venit, quod in eo esset quid illiciti, sed Apostolum sibi aequat angelus, quod ambo Christi jam angelorum capitis ministri essent, (vide locum

καὶ τῶν τοῦ θεραπεύοντος πράξεων, εἴπομεν ἂν εἰς τὸν τόπον, ὡς περὶ τηλικούτων διαλεγόμενοι, ἅπερ ἐχωροῦμεν περὶ αὐτῶν νοῆσαι· νυνὶ δὲ ὑπηρέτας νομίζων τοὺς προσκυνουμένους ὑπὸ τῶν ἐθνῶν δαίμονας, οὐχ ὑπάγει ἡμᾶς ἀκολουθίᾳ τῇ περὶ τοῦ θεραπεύειν τοὺς τοιούτους, οὓς ὑπηρέτας τοῦ πονηροῦ ὁ λόγος ἀποδείκνυσι, καὶ ἄρχοντος τοῦ αἰῶνος τούτου, ἀφιστάντος ἀπὸ τοῦ θεοῦ οὓς ἂν δύνηται. Ὡς οὐχ ὑπηρέτας οὖν, οὓς οἱ λοιποὶ ἄνθρωποι σέβουσι, πάντας[1]) σέβειν καὶ θεραπεύειν ἐκκλίνομεν· οὐκ ἂν γὰρ ὑπηρέτας αὐτοὺς διδαχθέντες εἶναι τοῦ ἐπὶ πᾶσι θεοῦ, ἐλέγομεν εἶναι δαιμόνια. Διὸ[2]) τὸν ἕνα θεὸν, καὶ τὸν ἕνα υἱὸν αὐτοῦ καὶ λόγον καὶ εἰκόνα, ταῖς κατὰ τὸ δυνατὸν ἡμῖν ἱκεσίαις καὶ ἀξιώσεσι σέβομεν, προσάγοντες τῷ θεῷ τῶν ὅλων τὰς εὐχὰς διὰ τοῦ μονογενοῦς αὐτοῦ· ᾧ πρῶτον προσφέρομεν αὐτὰς, ἀξιοῦντες αὐτὸν, ἱλασμὸν[3]) ὄντα περὶ[4]) τῶν ἁμαρτιῶν ἡμῶν, προσαγαγεῖν ὡς ἀρχιερέα[5]) τὰς[6]) εὐχὰς, καὶ τὰς θυσίας, καὶ τὰς ἐντεύξεις

Coloss. I, 16. 18.), et Apostolica legatio ad hominum salutem comparata nulla parte angelica esset inferior. Non solent autem collegae inter se ista submissionis signa usurpare. Origenes lib. VIII. adversus Cels. concedit θεραπεύεσθαι, veneratione honorari posse angelos; si modo repurgetur ejus vocis significatio. Neque peccaturum putem, si quis angeli sibi apparentis commendationem apud Deum imploret; quo Maimonides trahit ea, quae apud Jobum leguntur XXXIII, 23., quicum consentit, quod Philo saepe ἀγγέλους μεσίτας, angelos mediatores vocat.« Vide lib. II. Origenianor. quaest. V. num. XXXVI.

[1]) Guieto scribendum videtur: πάντως. R.

[2]) Mss. Διό. Libri antea editi (v. c. edd. Spenc.) Ἀλλά. R.

[3]) Cfr. I Joann. II, 2. coll. IV, 10.

[4]) In edd. Spenc. uncis inclusum legitur περί.

[5]) Cfr. Hebr. IV, 14. 15.

[6]) Mss τὰς εὐχάς. Libri editi (v. c. edd. Spenc.) καὶ εὐχὰς. R. — Jam Boherellus: »Lege: τὰς εὐχάς.«

ἡμῶν τῷ ἐπὶ πᾶσι θεῷ. Περὶ τὸν θεὸν οὖν ἡ πίστις ἡμῶν, διὰ τοῦ ταύτην βεβαιοῦντος ἐν ἡμῖν υἱοῦ αὐτοῦ· καὶ οὐδεμίαν ἡμῶν ἔχει δεῖξαι στάσιν περὶ τὸν υἱὸν τοῦ θεοῦ ὁ Κέλσος. Καὶ σέβομέν γε (387) τὸν πατέρα, θαυμάζοντες αὐτοῦ τὸν υἱὸν λόγον,[1] καὶ σοφίαν,[2] καὶ ἀλήθειαν,[3] καὶ δικαιοσύνην,[4] καὶ πάντα, ἅπερ εἶναι μεμαθήκαμεν τὸν υἱὸν τοῦ θεοῦ, οὕτω[5] δὴ καὶ τὸν γεννηθέντα ἀπὸ τοῦ τοιούτου πατρός. Καὶ ταῦτα μὲν ταύτῃ.

14. Ἐπεὶ δέ φησι πάλιν ὁ Κέλσος, ὅτι »εἰ διδάξαις αὐτοὺς, ὅτι οὐκ ἔστιν οὗτος ἐκείνου παῖς, ἀλλ' ἐκεῖνός γε πάντων πατὴρ, ὃν μόνον ὡς ἀληθῶς δεῖ σέβειν· οὐκ ἂν ἔτι θέλοιεν, εἰ μὴ καὶ τοῦτον, ὅσπερ ἐστὶν αὐτοῖς τῆς στάσεως ἀρχηγέτης. Καὶ ὠνόμασάν γε τοῦτον θεοῦ υἱόν· οὐχ ὅτι τὸν θεὸν σφόδρα σέβουσιν, ἀλλ' ὅτι τοῦτον σφόδρα αὔξουσιν·« ἡμεῖς μὲν οὖν μαθόντες, τίς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, καὶ ὅτι »ἀπαύγασμά[6] ἐστι τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ,« καὶ »ἀτμὶς[7] μὲν τῆς τοῦ θεοῦ δυνάμεως, ἀπόῤῥοια δὲ τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινὴς,« ἔτι δὲ »ἀπαύγασμα[8] φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ θεοῦ[9] ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ·«

---

[1]) Cfr. ev. Joann. I, 1.

[2]) Cfr. I Cor. I, 24. coll. 30.

[3]) Cfr. ev. Joaan. XIV, 6.

[4]) Cfr. I Cor. I, 30.

[5]) Guieto et Boherello legendum videtur: ἅτε δή. Noster vero R. P. Prudentius Maran locum integrum sic legit: ἅπερ εἶναι μεμαθήκαμεν τὸν θεὸν αὐτὸν, οὕτω δὴ καὶ τὸν γεννηθέντα ἀπὸ τοῦ τοιούτου πατρός. Sed vide Origenianor. lib. II. quaest. II. R.

[6]) Cfr. Hebr. I, 3. [7]) Cfr. Sap. Sal. VII, 25.

[8]) Sap. Sal. VII, 26.

[9]) Mss. θεοῦ ἐνεργείας. Libri editi (v. c. edd. Spenc., uncis voc. δυνάμεως appositis) θεοῦ δυνάμεως ἐνεργείας.

ἴσμεν, ὅτι οὗτος υἱὸς[1]) ἐξ ἐκείνου, καὶ ἐκεῖνος τούτου πατήρ. Καὶ οὐδὲν ἀπρεπές ἐστιν ἐν τῷ λόγῳ, οὐδὲ ἀνάρμοστον θεῷ, τοιοῦτον υἱὸν μονογενῆ ὑφιστάντι. Καὶ οὐκ ἂν μεταπείσηταί τις ἡμᾶς, ὅτι οὐχ υἱὸς ὁ τοιοῦτος τοῦ ἀγεννήτου θεοῦ ἐστι καὶ πατρός. Εἰ δέ τινων παρήκουσε Κέλσος μὴ[2]) ὁμολογούντων τὸν υἱὸν τοῦ θεοῦ υἱὸν εἶναι τοῦ δημιουργήσαντος τόδε τὸ πᾶν· αὐτὸς ἂν εἰδείη, καὶ οἱ συγκαταιθέμενοι τοιούτῳ λόγῳ. Οὐ στάσεως οὖν ἀρχηγέτης ὁ Ἰησοῦς, ἀλλὰ πάσης εἰρήνης, ὁ εἰπὼν τοῖς μαθηταῖς· »εἰρήνην[3]) ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν.« Εἶτ', ἐπείπερ ἠπίστατο τοὺς τοῦ κόσμου καὶ οὐ θεοῦ ἀνθρώπους προσπολεμήσοντας[4]) ἡμῖν, προσέθηκεν ἐκείνοις τό· »Οὐ[5]) καθὼς ὁ κόσμος δίδωσιν εἰρήνην, κἀγὼ δίδωμι ὑμῖν εἰρήνην.« Θαρροῦμεν δὲ δι' αὐτὸν, κἂν θλιβώμεθα ἐν τῷ κόσμῳ, εἰπόντα· »ἐν[6]) τῷ κόσμῳ θλῖψιν ἕξετε·[7]) ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.« Καὶ τοῦτόν φαμεν εἶναι υἱὸν θεοῦ· θεοῦ δὲ, ὃν, εἰ δεῖ ταῖς λέξεσιν ἀκολουθῆσαι τοῦ Κέλσου, σφόδρα σέβομεν, καὶ τὸν υἱὸν αὐτοῦ σφόδρα ἠυξημένον ὑπὸ τοῦ πατρὸς γιγνώσκομεν. Ἔστω[8]) δέ τινας ὡς ἐν πλήθει πιστευόν-

---

Sed nemo non videt, aut legendum esse: *θεοῦ δυνάμεως καὶ ἐνεργείας*, aut expungendum voc. *δυναμέως*, aut voc. *ἐνεργείας* tanquam variantem lectionem. R.

[1]) Cfr. Matth. III, 17.

[2]) Marcionistas intelligit. Vide lib. VI. contra Cels. num. 53. coll. lib. V. num. 54. Spenc.

[3]) Ev. Joann. XIV, 27.

[4]) Libri antea editi (v. c. ed. Hoeschel.) in textu habent: *προσπολεμήσαντας*. R. — Edd. Spenc. in textu: *προπολεμήσαντας*, ad marg. *προσπολεμήσοντας*.

[5]) Cfr. ev. Joann. XIV, 27.

[6]) Cfr. ev. Joann. XVI, 33.

[7]) Hoeschel. in textu, Spenc, ad marg. *ἔχετε*.

[8]) Vide Origenianor. lib. II. quaest. II.

των, καὶ δεχομένων διαφωνίαν, διὰ τὴν προπέτειαν ὑποτίθεσθαι τὸν σωτῆρα εἶναι[1] *τὸν μέγιστον ἐπὶ πᾶσι θεόν· ἀλλ' οὔτι γε ἡμεῖς τοιοῦτον,*[2] *οἱ πειθόμενοι αὐτῷ λέγοντι· »ὁ*[3] *πατὴρ, ὁ πέμψας με, μείζων μου ἐστί·« διόπερ οὐχ ὃν νῦν πατέρα καλοῦμεν, ὑποβάλοιμεν,*[4] *ὡς Κέλσος ἡμᾶς συκοφαντεῖ,*[5] *τῷ υἱῷ τοῦ θεοῦ.*

15. *Μετὰ ταῦτά φησιν ὁ Κέλσος· »ὅτι δὲ οὐκ ἀπὸ σκοποῦ ταῦτα δοξάζω, αὐτῶν ἐκείνων φωναῖς χρήσομαι· ἐν γάρ που τῷ οὐρανίῳ διαλόγῳ*[6] *τῇδέ που λέγουσι, τοῖσδε τοῖς ῥήμασιν·« »»Εἰ ἰσχυρότερός*[7] *ἐστι θεοῦ υἱὸς, καὶ κύριος αὐτοῦ ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου· καὶ τίς ἄλλος κυριεύσει τοῦ κρατοῦντος θεοῦ; πῶς* (388) *πολλοὶ περὶ τὸ φρέαρ, καὶ οὐδεὶς εἰς τὸ φρέαρ; Διὰ τί τοσαύτην ἀνύων ὁδὸν, ἄτολμος εἶ; Λανθάνει*[8] *σε· πάρεστι γάρ μοι θάρσος καὶ μάχαιρα.«« »Οὕτως οὐ τοῦτ' ἔστιν αὐτοῖς τὸ προκείμενον; Τὸν γὰρ*

---

[1]) Ita Codd. Reg. Basil. et Anglican. secundus; libri autem editi (v. c. edd. Spenc.) *εἶναι τὸν ἐπὶ πᾶσι θεόν*. R.

[2]) Edd. Spenc. ad marg. *τοιοῦτόν γε*.

[3]) Cfr. ev. Joann. XIV, 28. — Athanas. orat. II. contra Arianos: *Οὐ μεγέθει τινὶ, οὐδὲ χρόνῳ· ἀλλὰ διὰ τὴν ἐξ αὐτοῦ τοῦ πατέρος γέννησιν.* Idem dialogo I. de S. Trinitate: *Ὡς θεὸς θεοῦ οὐχ· ὡς πατὴρ δὲ υἱοῦ ἐνανθρωπήσαντος.*

[4]) Hoeschel. in textu, Spenc. ad marg. *ὑπολάβοιμεν*.

[5]) Codd. Reg. et Basil. *συκοφαντεῖ*. Libri antea editi (v. c. edd. Spenc.) in textu: *συκοφαντῶν φησι*, ad marg. vero: *συκοφαντῶν λέγει*. R.

[6]) Vide lib. VI. contra Cels. num. 53. coll. lib. V. num. 54.

[7]) Boherellus: »Subintellige: *τοῦ πατρός*, ex seqq.« — Cfr. pag. 130. not. 2.

[8]) Boherellus: »Puto hic alium aliquem loqui, ut fit in dialogo.«

ὑπερουράνιον θεὸν ἄλλον[1]) ὑπέθεντο τούτου πατέρα, περὶ ὃν συνῆλθον σέβειν, ἵν' ἐπὶ προσχήματι μεγάλου θεοῦ τοῦτον, ὃν προΐστανται τὸν υἱὸν τοῦ ἀνθρώπου, ὃν ἀποφαίνουσιν ἰσχυρότερον καὶ κύριον τοῦ κρατοῦντος θεοῦ, θρησκεύωσι μόνον. Ἔνθεν αὐτοῖς ἐκεῖνο τὸ παράγγελμα, τὸ μὴ δουλεύειν δύο κυρίοις· ἵν' ἡ στάσις περὶ ἕνα τοῦτον φυλάσσηται.« Καὶ ἐν τούτοις δὴ πάλιν, οὐκ οἶδ' ἀπὸ ποίας αἱρέσεως ἀσημοτάτης ταῦτα λαβὼν, πᾶσι Χριστιανοῖς ἀπ' αὐτῶν ἐγκαλεῖ· λέγω δ' ἀσημοτάτης, ὡς μηδ' ἡμῖν εἶναι, τοῖς πολλάκις ἐγγυμνασαμένοις πρὸς τοὺς ἀπὸ τῶν αἱρέσεων, φανερὰν τὴν γνώμην, ἀφ' ἧς ταῦτα ὁ Κέλσος εἴληφεν· εἴ γε εἴληφε, καὶ μὴ ἀνέπλασεν, ἢ ἀκολούθησιν προσέθηκε. Σαφῶς γὰρ ἡμεῖς, οἱ λέγοντες τοῦ πάντα κτίσαντος καὶ τὸν αἰσθητὸν κόσμον εἶναι, φαμὲν τὸν υἱὸν οὐκ ἰσχυρότερον[2]) τοῦ πατρὸς, ἀλλ' ὑποδεέστερον.[3]) Καὶ τοῦτο λέγομεν, αὐτῷ πειθόμενοι εἰπόντι τό· »ὁ[4]) πατὴρ, ὁ πέμψας με, μείζων μου ἐστί.« Καὶ οὐδεὶς ἡμῶν οὕτως ἐμβρόντητός ἐστιν, ὡς λέγειν· κύριός ἐστι τοῦ θεοῦ ὁ υἱὸς τοῦ ἀνθρώπου. Κρατεῖν δέ φαμεν τὸν σωτῆρα μάλιστα, ὅτε[5]) νοοῦμεν αὐτὸν θεὸν λόγον,[6]) καὶ σοφίαν,[7]) καὶ δικαιοσύνην,[8]) καὶ ἀλήθειαν,[9]) πάντων μὲν τῶν ὑποτεταγμένων αὐτῷ, καθὸ ταῦτά[10]) ἐστιν· ἀλλ' οὐχὶ καὶ τοῦ κρατοῦντος αὐτὸν[11]) πατρὸς καὶ θεοῦ.

---

[1]) Edd. Spenc. ad marg. ἀλλ' ὅν.

[2]) Cfr. pag. 129. not. 7.

[3]) Vide lib. II. contra Cels. num. 9.

[4]) Cfr. ev. Joann. XIV, 28.

[5]) Mallet Guietus: ὅτι. R. [6]) Ev. Joann. I, 1.

[7]) Cfr. I Cor. I, 24. coll. 30.

[8]) Cfr. I Cor. I, 30. [9]) Ev. Joann. XIV, 6.

[10]) Guietus mallet: τοιαῦτά ἐστιν.

[11]) Boherellus, quem Ruaeus in notis sequitur: »Subaudi κρατεῖν, ni legere malis: αὖ, vel: αὐτοῦ, quod pendeat a πατρός.«

Εἶτ', ἐπεὶ οὐκ ἀκόντων λόγος κρατεῖ, εἰσὶ δέ τινες ἔτι φαῦλοι, οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ ἄγγελοι, καὶ πάντες δαίμονες· τούτων φαμὲν αὐτὸν μὴ κρατεῖν μέν πω, ἐπεὶ μὴ ἑκόντες εἴκουσιν αὐτῷ· κατ' ἄλλο δὲ σημαινόμενον τοῦ κρατεῖν, καὶ αὐτῶν κρατεῖ, ὡς τῶν ἀλόγων ζώων φαμὲν τὸν ἄνθρωπον κρατεῖν, οὐχ ὑποτάξαντα αὐτῶν τὸ ἡγεμονικόν, ὡς τιθασσεύσας κρατεῖ τινων λεόντων καὶ κτηνῶν δεδαμασμένων· πλὴν πάντα ποιεῖ, ἵνα καὶ τοὺς νυνὶ μὴ πειθομένους αὐτῷ πείσας κρατήσῃ καὶ αὐτῶν. Καθ' ἡμᾶς οὖν ψεῦδος τὸ ὑπὸ τοῦ Κέλσου λεγόμενον, ὡς ὑφ' ἡμῶν ἀπαγγελλόμενον, τό· »Τίς ἄλλος κυριεύσει τοῦ κρατοῦντος θεοῦ;«

16. Εἶτ', οἶμαι, πάλιν φύρων τὰ πράγματα, ἀπὸ ἄλλης αἱρέσεως φέρει τό· »Πῶς [1]) πολλοὶ περὶ τὸ φρέαρ, καὶ οὐδεὶς εἰς τὸ φρέαρ;« καὶ τό· »Διὰ τί τοσαύτην ἀνύων ὁδὸν, ἄτολμος εἶ; Λανθάνει σε·« καὶ τό· »πάρεστι γάρ μοι θάρσος καὶ μάχαιρα.« Ὧν ἡμεῖς οὐδὲν, οἱ ἀπὸ τῆς ἐπωνύμου Χριστοῦ ἐκκλησίας μόνου, φαμὲν εἶναι ἀληθές. Ταῦτα δὴ προειπὼν δοκεῖ ἀκόλουθα ἑαυτῷ λέγειν, τὰ οὐδὲν ὄντα πρὸς ἡμᾶς. Ἡμῖν μὲν γὰρ τὸ προκείμενόν ἐστιν, οὐκ ἐξ ὑποθέσεώς τινα σέβειν θεὸν, ἀλλὰ τὸν τοῦδε τοῦ παντὸς, καὶ ἄλλου οὐτινοσοῦν μὴ αἰσθητοῦ, μηδὲ δεικνυμένου, δημιουργόν. Εἴσονται (389) δὲ οἱ ἄλλην ὁδὸν καὶ ἄλλα κέλευθα βαδίζοντες, καὶ τοῦτον μὲν ἀρνούμενοι, καινοειδεῖ δὲ ἀναπλάσματι καὶ ὀνόματι μόνον θεοῦ ἑαυτοὺς, ὡς μείζονι τοῦ δημιουργοῦ, ἐπιδεδωκότες, καὶ εἴ τις ἄρ' ἐστὶ, λέγων ἰσχυρότερον εἶναι τὸν υἱὸν καὶ κύριον τοῦ κρατοῦντος θεοῦ. Ἀποδεδώκαμεν δὲ τὸν φαινόμενον ἡμῖν λόγον εἰς τὸ, μὴ δεῖν »δυσὶ [2]) κυρίοις δουλεύειν·« ὅτε καὶ παρεστήσαμεν, μηδεμίαν στάσιν περὶ τὸν Ἰησοῦν καὶ κύριον ἀποδείκνυσθαι δύνασθαι, ἐν τοῖς ὁμολογοῦ-

[1]) Deest *Πῶς* in edd. Spenc.
[2]) Cfr. Matth. VI, 24.

σιν ὑπεραναβεβηκέναι μὲν πάντα κύριον, μόνῳ δὲ κυρίῳ δουλεύειν τῷ υἱῷ τοῦ θεοῦ καὶ[1]) λόγῳ.

17. Μετὰ ταῦτα δὲ ὁ Κέλσος φησὶν, ἡμᾶς[2]) »βωμοὺς καὶ ἀγάλματα καὶ νεὼς ἱδρύσθαι[3]) φεύγειν· ἐπεὶ τὸ[4]) πιστὸν ἡμῖν ἀφανοῦς καὶ ἀποῤῥήτου κοινωνίας οἴεται εἶναι σύνθημα·« οὐχ ὁρῶν, ὅτι βωμοὶ μέν εἰσιν ἡμῖν τὸ ἑκάστου τῶν δικαίων ἡγεμονικὸν, ἀφ' οὗ ἀναπέμπεται ἀληθῶς καὶ νοητῶς εὐώδη θυμιάματα, αἱ[5]) προσευχαὶ ἀπὸ συνειδήσεως καθαρᾶς. Διὸ[6]) λέγει παρὰ τῷ Ἰωάννῃ ἐν τῇ Ἀποκαλύψει· »τὰ[7]) δὲ θυμιάματά εἰσιν αἱ προσευχαὶ τῶν ἁγίων·« καὶ παρὰ τῷ ὑμνῳδῷ· »γενηθήτω[8]) ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου.« Ἀγάλματα δὲ καὶ πρέποντα θεῷ ἀναθήματα, οὐκ ὑπὸ βαναύσων τεχνιτῶν κατεσκευασμένα, ἀλλ' ὑπὸ λόγου θεοῦ τρανούμενα,[9]) καὶ μορφούμενα ἐν ἡμῖν, αἱ ἀρεταὶ, μιμήματα τυγχάνουσαι τοῦ πρωτοτόκου[10]) πάσης κτίσεως, ἐν ᾧ ἐστι δικαιοσύνης, καὶ σωφροσύνης, καὶ ἀνδρείας, καὶ σοφίας, καὶ εὐσεβείας, καὶ τῶν λοιπῶν ἀρετῶν παραδείγματα. Ἐν πᾶσιν οὖν ἐστι τοῖς κατὰ τὸν θεῖον λόγον σωφροσύνην ἑαυτοῖς κατασκευάσασι, καὶ δικαιοσύνην, καὶ ἀνδρείαν, καὶ σοφίαν, καὶ εὐσέβειαν, καὶ τῶν λοιπῶν ἀρετῶν τὰ

---

[1]) Omissa sunt in antea editis (v. c. edd. Spenc.), et restituuntur e Mss. verba: καὶ λόγῳ. R.

[2]) Cfr. Excurs. XII.

[3]) Mallet Guietus: ἱδρύεσθαι. R.

[4]) Mallet Guietus: τόδε πιστόν. R.

[5]) Deest artic. αἱ in edd. Spenc.

[6]) Boherellus: »Malim: Διὸ λέγεται.«

[7]) Cfr. Apoc. V, 8.

[8]) Cfr. Psalm. CXLI, 2. (CXL.) — Vulgata Biblia: Κατευθυνθήτω ἡ προσευχή μου, κτλ.

[9]) Guieto scribendum videtur: τορνούμενα, id est: τετορευμένα. R.

[10]) Coloss. I, 15.

κατασκευάσματα, ἀγάλματα· οἷς[1]) πρέπον εἶναι πεπείσμεθα τιμᾶσθαι τὸ πρωτότυπον πάντων ἀγαλμάτων, τὴν εἰκόνα[2]) τοῦ θεοῦ τοῦ ἀοράτου, τὸν μονογενῆ[3]) θεόν. Ἀλλὰ καὶ οἱ ἐκδυόμενοι[4]) »τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυόμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν, κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν·« τὸ κατ' εἰκόνα τοῦ κτίσαντος εἶναι ἀναλαμβάνοντες, ἀγάλματα ἐν ἑαυτοῖς ποιοῦσιν, ὁποῖα βούλεται ὁ ἐπὶ πᾶσι θεὸς ἐκεῖνος.[5]) Ὥσπερ δὲ καὶ ἐπὶ τῶν ἀγαλματοποιῶν, οἱ μέν τινές εἰσι θαυμαστῶς κατορθοῦντες τὸ ἔργον, ὥσπερ εἰπεῖν Φειδίας, ἢ Πολύκλειτος, ἢ ζωγράφοι Ζεῦξις, καὶ Ἀπελλῆς· ἕτεροι δὲ ἔλαττον τούτων[6]) ἀγαλματοποιοῦσι, καὶ ἄλλοι ἔτι καὶ τῶν δευτέρων ἔλαττον, καὶ ἁπαξαπλῶς πολλὴ διαφορά ἐστι τῆς τῶν ἀγαλμάτων καὶ εἰκόνων κατασκευῆς· τὸν αὐτὸν τρόπον οἱ μέν τινές εἰσι ποιοῦντες ἀγάλματα τοῦ ἐπὶ πᾶσι θεοῦ βέλτιον καὶ κατὰ τελείαν ἐπιστήμην, ὡς μηδεμίαν εἶναι σύγκρισιν τοῦ ὑπὸ Φειδίου κατασκευασθέντος Ὀλυμπίου Διὸς πρὸς τὸν κατασκευασθέντα κατ' εἰκόνα τοῦ κτίσαντος τοῦ[7]) θεοῦ· πάντων δὲ τῶν ἐν ὅλῃ τῇ κτίσει πολλῷ βέλτιον καὶ ὑπερέχον (390) ἐστὶν ἐν τῷ σωτῆρι ἡμῶν, τῷ λέγοντι· »ὁ[8]) πατὴρ ἐν ἐμοί.«

18. Καὶ ἐν ἑκάστῳ δὲ τῶν κατὰ δύναμιν ἐκεῖνον καὶ ἐν τούτῳ μιμησαμένων ἐστὶν ἄγαλμα τὸ κατ' εἰ-

---

[1]) Hoeschel. in textu, Spenc. ad marg. οἳ πρέπον.

[2]) Cfr. Coloss. I, 15.

[3]) Cfr. ev. Joann. III, 18.

[4]) Cfr. Coloss. III, 9. 10.

[5]) Hoeschel. in textu, Spenc. ad marg. ἐκείνου.

[6]) Recte hoc loco Mss. habent τούτων, quod male libri editi (v. c. edd. Spenc.) rejiciunt post alterum ἔλαττον, quod paulo infra habetur. R.

[7]) Uncis inclusum legitur τοῦ in edd. Spenc.

[8]) Ev. Joann. XIV, 10.

κόνα τοῦ κτίσαντος, ὅπερ κατασκευάζουσι τῷ ἑνορᾷν θεῷ καθαρᾷ καρδίᾳ, μιμηταὶ γινόμενοι τοῦ θεοῦ. Καὶ ἁπαξαπλῶς πάντες Χριστιανοὶ ὁποίους εἴπομεν βωμοὺς, καὶ ὁποῖα παρεστήσαμεν ἀγάλματα, πειρῶνται ἱδρύσθαι,[1]) οὐκ ἄψυχα καὶ ἀναίσθητα, οὐδὲ δαιμόνων λίχνων ἐφεδρευόντων τοῖς ἀψύχοις δεκτικά, ἀλλὰ πνεύματος θεοῦ τοῖς εἰρημένοις ἀγάλμασι τῆς ἀρετῆς, καὶ τῷ κατ' εἰκόνα τοῦ κτίσαντος, ὡς οἰκείοις ἐπιδημοῦντος· οὕτω δὲ καὶ τὸ πνεῦμα τοῦ Χριστοῦ τοῖς, ἵν' οὕτως ὀνομάσω, συμμόρφοις ἐφιζάνει. Καὶ τοιαῦτά γε βουλόμενος παραστῆσαι ὁ τοῦ θεοῦ λόγος ἀνέγραψε τὸν μὲν θεὸν ἐν ἐπαγγελίᾳ τοῖς δικαίοις λέγοντα·« ἐνοικήσω[2]) ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω ἐν αὐτοῖς, καὶ ἔσομαι αὐτῶν θεὸς, καὶ αὐτοὶ ἔσονταί[3]) μου λαός·« τὸν δὲ σωτῆρα· »ἐάν[4]) τις ἀκούῃ μου τοὺς λόγους, καὶ ποιῇ αὐτοὺς, ἐγὼ καὶ ὁ πατήρ μου ἐλευσόμεθα πρὸς αὐτὸν, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα.« Συνεξεταζέτω γοῦν ὁ βουλόμενος βωμοὺς, οὓς διηγησάμην, βωμοῖς οἷς ὁ Κέλσος λέγει, καὶ ἀγάλματα ἐν τῇ τῶν εὐσεβούντων εἰς τὸν τῶν ὅλων θεὸν ψυχῇ, ἀγάλμασι Φειδίου, καὶ Πολυκλείτου, καὶ τῶν παραπλησίων· καὶ σαφῶς εἴσεται, ἐκεῖνα μὲν καὶ ἄψυχα εἶναι, καὶ χρόνῳ φθειρόμενα, ταῦτα δὲ ἐν τῇ ἀθανάτῳ μένειν ψυχῇ, ἐς ὅσον μένειν ἐν[5]) αὐτῇ ἡ λογικὴ ψυχὴ βούλεται.

19. Εἰ δὲ καὶ ναοὺς ναοῖς δεῖ παραβαλεῖν, ἵνα παραστήσωμεν τοῖς ἀποδεχομένοις τὰ Κέλσου, ὅτι νεὼς μὲν ἱδρύεσθαι τοὺς πρέποντας τοῖς εἰρημένοις ἀγάλ-

---

[1]) Mallet Guietus: *ἱδρύεσθαι*. R.

[2]) Cfr. II Cor. VI, 16. coll. Levit. XXVI, 11. 12.

[3]) Codd. Reg. et Basil. *ἔσονταί μοι λαός*. R.

[4]) Cfr. ev. Joann. XIV, 23.

[5]) Codd. Reg. et Basil. *ἐν αὐτῷ*, nempe *τῷ τῶν ὅλων θεῷ*. Libri editi (v. c. edd. Spenc.) ut nos in textu: *ἐν αὐτῇ*. R. — Boherellus: »Lego: *ἐν αὐτῇ*.«

μασι καὶ βωμοῖς οὐ φεύγομεν· ἐκτρεπόμεθα δὲ τῷ πάσης ζωῆς χορηγῷ ἀψύχους καὶ νεκροὺς οἰκοδομεῖν νεώς· ἀκουέτω ὁ βουλόμενος, τίνα τρόπον διδασκόμεθα, ὅτι τὰ σώματα [1]) *ἡμῶν ναὸς τοῦ θεοῦ ἐστι· καὶ εἴ τις διὰ τῆς ἀκολασίας ἢ τῆς ἁμαρτίας φθείρει τὸν ναὸν τοῦ θεοῦ, οὗτος ὡς ἀληθῶς ἀσεβὴς εἰς τὸν ἀληθῆ ναὸν φθαρήσεται. Πάντων δὲ τῶν οὕτως ὀνομαζομένων ναῶν κρείττων ἦν καὶ διαφέρων νεὼς τὸ ἱερὸν καὶ καθαρὸν σῶμα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ·* [2]) *ὅστις ἐπιστάμενος ἐπιβουλεύεσθαι μὲν δύνασθαι ὑπὸ* [3]) *τῶν ἀσεβῶν τὸν ναὸν τοῦ ἐν αὐτῷ θεοῦ, οὐ μὴν ὥστε ἰσχυροτέραν εἶναι τὴν τῶν ἐπιβουλευόντων προαίρεσιν τῆς τὸν νεὼν οἰκοδομούσης θειότητος, φησὶ πρὸς ἐκείνους· »λύσατε* [4]) *τὸν ναὸν τοῦτον, κἀγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Τοῦτο δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ.«* [5]) *Καὶ ἄλλως δὲ οἱ θεῖοι λόγοι τὰ περὶ ἀναστάσεως μυστικῶς διδάσκοντες τοὺς δυναμένους ἀκούειν θειοτέρᾳ ἀκοῇ λόγων θεοῦ, ἀνοικοδομηθήσεσθαι* [6]) *λίθοις φασὶ* [7]) *ζῶσι καὶ τιμιωτάτοις· αἰνιττόμενοι, ὅτι ἕκαστος τῶν συμπνεόντων διὰ τοῦ αὐτοῦ λόγου εἰς τὴν κατ' αὐτὸν* (391) *εὐσέβειαν λίθος ἐστὶ τίμιος τοῦ παντὸς ναοῦ τοῦ θεοῦ. Καθὸ ὑπὸ μὲν τοῦ Πέτρου λέγεται· »ὑμεῖς* [8]) *δὲ οἰκοδομεῖσθε λίθοι ζῶντες, καὶ* [9])

---

[1]) Cfr. I Cor. III, 16. 17. coll. VI, 19.

[2]) In antea editis (v. c. edd. Spenc.) omittitur, sed suppletur e Mss. *Χριστοῦ*. R.

[3]) Forte legendum: *ὑπὸ τῶν ἀσεβῶν εἰς τὸν κτλ.* R.

[4]) Cfr. ev. Joann. II, 19. 21.

[5]) Edd. Spenc. *αὐτοῦ*.

[6]) Boherellus: »Videtur addendum: *λέγουσι*.« — Cfr. pag. huj. not. 7.

[7]) Recte omnino restituit Cod. Jolian. *φασί*. — In edd. Spenc., cfr. pag. huj. not. 6., desideratur *φασί*.

[8]) Cfr. I Petr. II, 5.

[9]) Uncis inclusum legitur *καί* in edd. Spenc.

οἶκος πνευματικὸς, εἰς[1]) ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευματικὰς θυσίας, εὐπροσδέκτους τῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ·« ὑπὸ δὲ τοῦ Παύλου τό· »οἰκοδομηθέντες[2]) ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου λίθου αὐτοῦ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν.« Τοιοῦτον δέ τινα μυστικὸν ἔχει νοῦν καὶ ἡ ἐν τῷ Ἡσαΐᾳ λέξις, οὕτως ἔχουσα, καὶ λεγομένη ὡς πρὸς τὴν Ἱερουσαλήμ· »ἰδοὺ,[3]) ἑτοιμάζω σοι ἄνθρακα τὸν λίθον σου, καὶ τὰ θεμέλιά σου σάπφειρον, καὶ θήσω τὰς ἐπάλξεις σου ἴασπιν, καὶ τὰς πύλας σου λίθους κρυστάλλου, καὶ τὸν περίβολόν σου λίθους ἐκλεκτούς· καὶ πάντας τοὺς υἱούς σου διδακτοὺς θεοῦ, καὶ ἐν πολλῇ εἰρήνῃ τὰ τέκνα σου, καὶ ἐν δικαιοσύνῃ οἰκοδομηθήσῃ.«

20. Εἰσὶν οὖν τινες τῶν δικαίων ἄνθραξ λίθος, καὶ ἄλλοι σάπφειρος, καὶ ἄλλοι ἴασπις, καὶ ἄλλοι κρύσταλλος· καὶ οὕτω πᾶν γένος ἐκλεκτῶν καὶ τιμίων λίθων εἰσὶν οἱ δίκαιοι. Τὸν δὲ περὶ λίθων νοῦν, καὶ τῆς φύσεως αὐτῶν λόγον, καὶ εἰς ποδαπὰς ψυχὰς ἀναφέρεσθαι δύναται ἐκ τοῦ τιμίου λίθου τὸ ὄνομα· οὐ κατὰ τὸν παρόντα καιρὸν ἐστι διηγήσασθαι· μόνον δ' ἐχρῆν ὑπομνησθῆναι ἐπ' ὀλίγον τοῦ βουλήματος τῶν καθ' ἡμᾶς ναῶν, καὶ ἑνὸς τοῦ ἐκ λίθων τιμίων νεὼ τοῦ θεοῦ. Ὥσπερ γὰρ, εἰ ἐπὶ τοῖς νομιζομένοις ναοῖς ἕκαστοι κατὰ τὰς σφῶν πόλεις ἐσεμνύνοντο πρὸς τοὺς ἑτέρους, ἔλεγον ἂν οἱ ἐπὶ τοῖς τιμιωτέροις ναοῖς μέγα φρονοῦντες τὰ ἐξαίρετα τῶν ἰδίων, εἰς ἔλεγχον τῶν ὑποδεεστέρων· οὕτω πρὸς τοὺς ἐγκαλοῦντας ἡμῖν, ἐπεὶ μὴ νομίζομεν δεῖν σέβειν τὸ θεῖον παρ' ἀναισθήτοις

---

[1]) Uncis inclusum legitur εἰς in edd. Spenc.

[2]) Cfr. Ephes. II, 20. — Hoeschel. in textu et Mss. (itemq. Spenc. ad marg.) οἰκοδομηθέντες, Spencer. (in textu): ἐποικοδομηθέντες.

[3]) Cfr. Jesai. LIV, 11. 12. 13. 14.

ναοῖς, ἀντιπαραλαμβάνομεν τοὺς καθ' ἡμᾶς ναούς, καὶ δείκνυμεν τοῖς γε μὴ ἀναισθήτοις, μηδὲ παραπλησίοις τοῖς ἀναισθήτοις θεοῖς αὐτῶν, ὅτι οὐδεμία σύγκρισίς ἐστιν οὔτε τῶν παρ' ἡμῖν ἀγαλμάτων πρὸς τὰ ἀγάλματα τῶν ἐθνῶν, οὔτε τῶν παρ' ἡμῖν βωμῶν, καὶ,[1]) ἵν' οὕτως ὀνομάσω, θυμιαμάτων πρὸς τοὺς ἐκείνων βωμοὺς καὶ τὰς παρ' αὐτοῖς κνίσσας καὶ αἵματα· ἀλλ' οὐδὲ τῶν[2]) ἀποδεχομένων ναῶν πρὸς τοὺς ναοὺς τῶν ἀναισθήτων, ὑπὸ ἀναισθήτων ἀνθρώπων θαυμαζομένων, καὶ μηδὲ φαντασιωθέντων τὴν θείαν αἴσθησιν, ἣ αἰσθάνεταί τις θεοῦ, καὶ τῶν τούτου ἀγαλμάτων καὶ ναῶν καὶ βωμῶν, πρεπόντων θεῷ. Οὐκ εἰς τὸ πιστὸν οὖν ἀφανοῦς καὶ ἀποῤῥήτου κοινωνίας, καὶ τὸ τοιοῦτο σύνθημα, φεύγομεν βωμοὺς καὶ ἀγάλματα καὶ νεὼς ἱδρύεσθαι· ἀλλ' ὅτι εὑρόντες, διὰ τὴν Ἰησοῦ διδασκαλίαν, τὸν τρόπον τῆς εἰς τὸ θεῖον εὐσεβείας φεύγομεν τὰ φαντασίᾳ εὐσεβείας ἀσεβεῖς ποιοῦντα τοὺς ἐσφαλμένους ἀπὸ τῆς διὰ Ἰησοῦ Χριστοῦ εὐσεβείας· ὅς ἐστι μόνος ὁδὸς εὐσεβείας, ἀληθῶς λέγων τό· »ἐγώ[3]) εἰμι ἡ ὁδός, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή.«

21. Ἴδωμεν δὲ καὶ τὰ ἑξῆς Κέλσῳ (392) λεγόμενα περὶ θεοῦ, καὶ ὡς προτρέπει ἡμᾶς ἐπὶ τὴν τῶν ὡς μὲν πρὸς ἀλήθειαν εἰδωλοθύτων χρῆσιν, ἤ, ἵν' οὕτως ὀνομάσω, δαιμονιοθύτων· ὡς δ' αὐτὸς προσαγορεύσαι ἄν, ἅτε μὴ εἰδώς, τί τὸ ἀληθῶς ἱερὸν, καὶ ποδαπαὶ αἱ παρὰ[4]) τούτῳ θυσίαι, ἱεροθύτων. Ἃ δὲ λέγει, τοιαῦτά ἐστιν· »Ὅ γε μὴν θεὸς ἅπασι κοινὸς, ἀγαθός τε καὶ ἀπροσδεὴς, καὶ ἔξω φθόνου· τί οὖν κωλύει τοὺς μάλι-

---

[1]) Mss. καὶ τῶν παρ' αὐτοῖς, ἵν' οὕτως ὀνομάσω, θυμιαμάτων. R.

[2]) Boherellus: »Lego: τῶν ἀποδεδομένων. Vide lib. VII. contra Cels. num. 21.«

[3]) Ev. Joann. XIV, 6.

[4]) Guieto videtur scribendum: παρὰ τοῦτο, id est: αἱ παρὰ τὸ ἱερὸν θυσίαι. Id est: αἱ ἱεραὶ θυσίαι. R.

σια καθωσιωμένους αὐτῷ καὶ τῶν δημοτελῶν ἑορτῶν μεταλαμβάνειν;« *Οὐκ οἶδα δὲ τί φαντασθεὶς οἴεται ἀκολουθεῖν τῷ·* »τὸν θεὸν εἶναι ἀγαθὸν, καὶ ἀπροσδεῆ, καὶ ἔξω φθόνου·« *τό·* »τοὺς καθωσιωμένους αὐτῷ μεταλαμβάνειν τῶν δημοτελῶν ἑορτῶν.« *Καί φημι, ὅτι ἠκολούθει μὲν τῷ·* »τὸν θεὸν εἶναι ἀγαθὸν, καὶ ἀπροσδεῆ, καὶ ἔξω φθόνου·« *τὸ* »αὐτῶν[1]) *τῶν δημοτελῶν μεταλαμβάνειν ἑορτῶν·« εἰ ἀπεδείκνυτο, ὅτι αἱ δημοτελεῖς ἑορταὶ οὐδὲν μὲν ἔχουσιν ἐσφαλμένον, ἀπὸ δὲ τῆς περὶ*[2]) *θεοῦ θεωρίας ἐνομοθετήθησαν, ὡς ἀκόλουθοι τῇ εἰς αὐτὸν θεραπείᾳ καὶ εὐσεβείᾳ. Εἰ μέν τοι αἱ δημοτελεῖς μέχρι ὀνόματος ἑορταὶ μηδένα λόγον ἔχουσιν ἀποδεικτικὸν, ὡς ἁρμόζουσαι τῇ εἰς τὸ θεῖον θεραπείᾳ· ἀλλ' ἐλέγχοιντο οὖσαι ἀναπλάσματα τῶν ὅπως ποτὲ ἔτυχε διά τινας ἱστορίας ἀνθρωπικὰς ταῦτα νομοθετησάντων, ἢ καὶ φυσιολογίας περὶ ὕδατος ἢ γῆς ἢ τῶν ἀπ' αὐτῆς καρπῶν δοκούντων*[3]) *περιέχειν· δῆλον, ὅτι οἱ τὸ θεῖον ἐξητασμένως σέβειν θέλοντες εὔλογόν*[4]) *τι πράττοιεν, μὴ*[5]) *μεταλαμβάνοντες τῶν δημοτελῶν ἑορτῶν.* »Ἑορτὴ« [6]) *γὰρ, ὥς φησί τις καὶ τῶν Ἑλληνικῶν σοφῶν, καλῶς λέγων, οὐδὲν »ἄλλο ἐστὶν, ἢ τὸ τὰ δέοντα πράττειν·« καὶ ἑορτάζει γε κατὰ ἀλήθειαν ὁ τὰ δέοντα πράττων, ἀεὶ εὐχόμενος, διὰ παντὸς θύων τὰς ἀναιμάκτους ἐν ταῖς πρὸς τὸ θεῖον εὐχαῖς θυσίας. Διὸ*

---

[1]) Boherellus: »Malim: *αὐτούς*.«

[2]) Sic Mss. In antea editis (v. c. edd. Spenc.) omittitur: *περί*. R.

[3]) Guieto mihique videtur scribendum: *δόκοιντο*. R. (?!)

[4]) Boherellus: »Lego: *ἄλογόν τι*.« — Cfr pag. huj. not. 5.

[5]) Recte omnino sic habet Cod. Jolianus. Nisi enim negans particula *μή*, quae ab editis (v. c. edd. Spenc.) abest, hoc loco admittatur, praecedens *εὔλογον*, mutandum erit in *ἄλογον*. R. — Cfr. pag. huj. not. 4.

[6]) Cfr. Thucydid. lib. I. (pag. 46.)

καὶ μεγαλοφυέστατά μοι δοκεῖ παρὰ τῷ Παύλῳ εἰρῆσθαι τό· »ἡμέρας[1]) παρατηρεῖσθε,[2]) καὶ μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυτούς· φοβοῦμαι ὑμᾶς, μήπως εἰκῆ κεκοπίακα εἰς ὑμᾶς.«

22. Ἐὰν δέ τις πρὸς ταῦτα ἀνθυποφέρῃ τὰ περὶ τῶν παρ' ἡμῖν κυριακῶν, ἢ παρασκευῶν, ἢ τοῦ Πάσχα, ἢ τῆς Πεντηκοστῆς δι' ἡμερῶν γινόμενα· λεκτέον καὶ πρὸς τοῦτο, ὅτι ὁ μὲν τέλειος, ἀεὶ ἐν τοῖς λόγοις ὢν, καὶ τοῖς ἔργοις, καὶ τοῖς διανοήμασι τοῦ τῇ φύσει κυρίου λόγου θεοῦ, ἀεί[3]) ἐστιν αὐτοῦ ἐν ταῖς ἡμέραις, καὶ ἀεὶ ἄγει κυριακὰς ἡμέρας. Ἀλλὰ καὶ ἀεὶ παρασκευάζων ἑαυτὸν πρὸς τὸ ἀληθινῶς ζῆν, καὶ ἀπεχόμενος τῶν τοῦ βίου ἡδέων καὶ τοὺς πολλοὺς ἀπατώντων, καὶ μὴ τρέφων τὸ φρόνημα τῆς σαρκὸς, ἀλλ' ὑπωπιάζων[4]) αὐτοῦ τὸ σῶμα καὶ δουλαγωγῶν, ἀεὶ ἄγει τὰς παρασκευάς. Ἔτι δὲ ὁ νοήσας, ὅτι »τὸ[5]) πάσχα ἡμῶν ὑπὲρ[6]) ἡμῶν ἐτύθη Χριστὸς,« καὶ χρὴ ἑορτάζειν ἐσθίοντα τῆς σαρκὸς τοῦ λόγου· οὐκ ἔστιν ὅτε οὐ ποιεῖ τὸ πάσχα, ὅπερ ἑρμηνεύεται Διαβατήρια, διαβαίνων ἀεὶ τῷ λογισμῷ καὶ παντὶ λόγῳ καὶ πάσῃ πράξει ἀπὸ τῶν τοῦ βίου πραγμάτων ἐπὶ τὸν θεὸν, καὶ ἐπὶ τὴν πόλιν αὐτοῦ σπεύδων. Πρὸς τούτοις δὲ ὁ (393) δυνάμενος μετὰ ἀληθείας λέγειν· »συνανέστημεν[7]) τῷ Χριστῷ·«

---

[1]) Cfr. Gal. IV, 10. 11.

[2]) Omnes Codd. Mss. παρατηρεῖσθε. Libri editi (v. c. edd. Spenc.) παρατηρῆσθε. R. — Jam Boherellus in Corrigendis: παρατηρεῖσθε.

[3]) Boherellus: »Melius haec sic disponantur: ἀεί ἐστιν ἐν ταῖς αὐτοῦ ἡμέραις.«

[4]) Edd. Spenc. ad marg. ὑποπιάζων. — Cfr. I Cor. IX, 27. [5]) Cfr. 1 Cor. V, 7.

[6]) Desunt verba: ὑπὲρ ἡμῶν, in Cod. Anglicano secundo. Libri editi (v. c. edd. Spenc.) in marg. habent: ὑπὲρ ἡμᾶς. R. — In textu edd. Spenc. uncis inclusa leguntur verba: ὑπὲρ ἡμῶν.

[7]) Cfr. Coloss. II, 12. coll. III, 1.

ἀλλὰ καὶ τό· »συνήγειρε[1]) καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ·« ἀεί ἐστιν ἐν ταῖς τῆς Πεντηκοστῆς ἡμέραις· καὶ μάλιστα, ὅτε καὶ εἰς τὸ ὑπερῷον,[2]) ὡς οἱ ἀπόστολοι τοῦ Ἰησοῦ, ἀναβὰς, σχολάζει τῇ δεήσει καὶ τῇ προσευχῇ· ὡς ἄξιος γενέσθαι τῆς φερομένης πνοῆς[3]) βιαίας ἐξ οὐρανοῦ, βιαζομένης ἐξαφανίσαι τὴν ἐν ἀνθρώποις κακίαν καὶ τὰ ἀπ' αὐτῆς· ἄξιος δὲ καί τινος μερισμοῦ γλώσσης ἀπὸ θεοῦ πυρίνης.

23. Ὁ δὲ πολὺς τῶν πιστεύειν δοκούντων, καὶ μὴ τηλικοῦτος, δεῖται, ὑπομνήσεως χάριν, μὴ βουλόμενος ἢ μὴ δυνάμενος πάσας τοιαύτας ἄγειν ἡμέρας, αἰσθητῶν παραδειγμάτων· ἵνα μὴ τέλεον παραῤῥυῇ. Τοιαῦτα δ' οἶμαι τὸν Παῦλον νενοηκότα, μέρος[4]) μὲν ἑορτῆς ὠνομακέναι τὴν ἐν ἡμέραις τεταγμέναις παῤ[5]) ἑτέρας ἑορτήν· ἠνίχθαι δὲ ἐκ τοῦ οὕτως λελεγμένου, ὅτι οὐκ »ἐν[6]) μέρει ἑορτῆς,« ἀλλ' ἐν ὁλοκλήρῳ καὶ ἀδιαλείπτῳ ἐστὶν ἑορτῇ ὁ ἀεὶ βίος κατὰ τὸν θεῖον λόγον. Ὅρα οὖν πάλιν καὶ[7]) τῶν εἰρημένων περὶ ἑορτῶν τῶν παῤ ἡμῖν, συνεξεταζομένων ταῖς δημοτελέσι τοῦ Κέλσου καὶ τῶν ἐθνῶν ἑορταῖς, εἰ μὴ μακρῷ σεμνότεραί εἰσιν αὗται αἱ ἑορταὶ τῶν δημοτελῶν· ἐν αἷς τὸ φρόνημα τῆς σαρκὸς ἑορτάζον ἐξυβρίζει, ἐπὶ μέθας καὶ ἀκολασίας ἐκτρεπόμενον. Πολὺ δ' ἂν εἴη νῦν λέγειν,

---

[1]) Cfr. Ephes. II, 6. [2]) Cfr. Act. I, 13. 14.
[3]) Cfr. Act. II, 2. 3. [4]) Cfr. Coloss. II, 16.
[5]) Hoeschel. in textu, Spenc. ad marg. παρ' ἑτέραν.
[6]) Cfr. Coloss. II, 16.
[7]) Edd. Spenc. ad marg. καὶ τὰ εἰρημένα. Boherell. et Ruaeus in notis, ille: »Lege: ἐκ τῶν εἰρημένων,« hic vero: »Guietus sic totum locum corrigit: καὶ τὰ εἰρημένα περὶ ἑορτῶν τῶν παῤ ἡμῖν συνεξεταζόμενα ταῖς δημοτελέσι τοῦ Κέλσου καὶ τῶν ἐθνῶν ἑορταῖς, εἰ μὴ μακρῷ σεμνότεραί ἐστιν, ἢ αἱ ἑορταὶ τῶν δημοτελῶν, ἐν αἷς« κτλ.

διὰ τί αἱ κατὰ τὸν τοῦ θεοῦ νόμον ἑορταὶ ἄρτον[1]) κακώσεως διδάσκουσιν ἐσθίειν, ἢ »ἄζυμα[2]) μετὰ πικρίδων·« ἢ ὅτι φασί· »ταπεινώσατε[3]) τὰς ψυχὰς ὑμῶν·« ἤ τι τούτοις παραπλήσιον. Οὐδὲ γὰρ δυνατόν ἐστι τὸν σύνθετον ἄνθρωπον, ἐπεὶ[4]) »ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκὸς,« ἐξ ὅλων ἑορτάζειν· ἢ γὰρ ἑορτάζων τις τῷ πνεύματι κακοῖ τὸ σῶμα, μὴ πεφυκὸς, διὰ φρόνημα τῆς σαρκὸς, ἑορτάζειν μετὰ τοῦ πνεύματος· ἢ ἑορτάζων κατὰ σάρκα οὐ χωρεῖ καὶ τὴν κατὰ πνεῦμα ἑορτήν. Ἀλλὰ γὰρ ἀρκεῖ ταῦτα εἰς τὸν περὶ ἑορτῶν λόγον ἐπὶ τοῦ παρόντος.

24. Ἴδωμεν δὲ οἷς χρῆται ὁ Κέλσος λόγοις, προτρέπων ἡμᾶς ἐπὶ τὴν χρῆσιν τῶν εἰδωλοθύτων, καὶ τὰς δημοτελεῖς ἐν δημοτελέσιν ἑορταῖς θυσίας. Ἃ δὲ λέγει, τοιαῦτά ἐστιν· »Εἰ μὲν οὐδὲν ταῦτά ἐστι τὰ εἴδωλα, τί δεινὸν κοινωνῆσαι τῆς πανθοινίας; Εἰ δ' εἰσί τινες δαίμονες, δηλονότι καὶ οὗτοι τοῦ θεοῦ εἰσιν, οἷς καὶ πιστευτέον, καὶ καλλιερητέον κατὰ νόμους, καὶ προσευκτέον, ἵν' εὐμενεῖς ὦσι.« Χρήσιμον δ' εἰς ταῦτα ὅλον τὸν περὶ εἰδωλοθύτων λόγον, εἰρημένον παρὰ τῷ Παύλῳ ἐν τῇ προτέρᾳ πρὸς Κορινθίους ἐπιστολῇ,[5]) λαβεῖν εἰς χεῖρας καὶ σαφηνίσαι· ἐν ᾧ καὶ πρὸς τὸ μηδὲν εἶναι εἴδωλον ἐν κόσμῳ ἁπάντων τὴν ἀπὸ τοῦ χρῆσθαι τοῖς εἰδωλοθύτοις βλάβην κατεσκεύασεν· ἀποδεικνὺς τοῖς ἀκούειν τῶν ἐκεῖ δυναμένοις, ὅτι πάντως καὶ φονέως χεῖρόν τι πράττει (394) ὁ τῶν εἰδωλοθύτων μεταλαμβάνων, ἀπολλὺς τοὺς αὐτοῦ ἀδελφοὺς, δι' οὓς Χριστὸς ἀπέθανε. Καὶ μετὰ τοῦτο τιθεὶς δαιμονίοις

---

[1]) Cfr. Deut. XVI, 3.

[2]) Cfr. Exod. XII, 8. — Vulgata Biblia: ἄζυμα ἐπὶ πικρίδων.

[3]) Cfr. Levit. XVI, 29. coll. 31.

[4]) Hoeschel. et Spencer. in marg. ὅσον ἔτι ἡ σάρξ. Codd. Reg. et Basil. ὅσον ὅτι ἡ σάρξ. R. — Cfr. Gal. V, 17.

[5]) Cfr. I Cor. VIII, 4. 11.

θύεσθαι τὰ θυόμενα, παρίστησι, κοινωνοὺς τῶν δαιμονίων γίγνεσθαι τοὺς μεταλαμβάνοντας δαιμονίων τραπέζης· παρίστησί τε, ὅτι ἀδύνατόν ἐστι τὸν αὐτὸν τραπέζης κυρίου μετέχειν, καὶ τραπέζης δαιμόνων. Ἀλλ' ἐπεὶ ὅλης συντάξεως χρήζει, διὰ πλειόνων ἀποδεικνυμένης, ἡ περὶ τούτων εἰς τὴν πρὸς Κορινθίους ἐπιστολὴν διήγησις, ἀρκεσθησόμεθα [1]) καὶ τοῖς ἐπ' ὀλίγον ἀποδεδομένοις· [2]) ἐν οἷς τῷ ἐξετάζοντι αὐτὰ φανεῖται, ὅτι, κἂν μηδὲν ᾖ τὰ εἴδωλα, οὐδὲν ἧττον καὶ οὕτω δεινόν ἐστι τὸ κοινωνῆσαι τῆς τῶν εἰδώλων πανθοινίας. Εἴρηται μὲν οὖν ἡμῖν μετρίως καὶ εἰς τὸ, κἂν ὧσί τινες δαίμονες, οἷς τὰ θυόμενα θύεται, μηδὲν ἡμᾶς αὐτῶν μεταλαμβάνειν, τοὺς ἐπισταμένους διαφορὰν τραπέζης κυρίου καὶ τραπέζης δαιμονίων· καὶ διὰ τὸ ἐπίστασθαι, πάντα μὲν πράττοντας, ἵνα τραπέζης κυρίου ἀεὶ μετέχωμεν· παντὶ δὲ τρόπῳ φυλαττομένους, ἵνα μηδέ ποτε κοινωνοὶ τραπέζης γενώμεθα τῶν δαιμονίων.

25. Ἐπεὶ δέ φησιν ἐν τούτοις ὁ Κέλσος, ὅτι »καὶ οἱ δαίμονές εἰσι τοῦ θεοῦ, καὶ διὰ τοῦτο πιστευτέον ἐστὶν αὐτοῖς, καὶ καλλιερητέον κατὰ νόμους, καὶ προσευκτέον, ἵν' εὐμενεῖς ὦσι·« διδακτέον καὶ περὶ τούτου τοὺς βουλομένους, ὅτι ὁ τοῦ θεοῦ λόγος οὐδὲν τῶν φαύλων ἀναγορεύειν βούλεται κτῆμα θεοῦ τυγχάνειν· ἀνάξιον αὐτὸ κρίνων [3]) τηλικούτου κυρίου. Διόπερ οὐ πάντες μὲν ἄνθρωποι χρηματίζουσιν ἄνθρωποι θεοῦ, μόνοι δὲ οἱ ἄξιοι τοῦ θεοῦ· ὁποῖος ἦν Μωϋσῆς, [4]) καὶ

---

[1]) Hoeschel. in textu, Spenc. ad marg. ἀρκεσθησώμεθα.

[2]) Hoeschel. cum omnibus Mss. (itemq. Spenc. ad marg.) ἀποδεδομένοις, Spencer. (in textu): ἀποδιδομένοις. R. — Boherellus: »Vel: ἀποδεδομένοις. Vide lib. VII. contra Cels. num. 21.«

[3]) Recte Mss. κρίνων. Libri editi (v. c. edd. Spenc.) male: κρίνον. R.

[4]) Cfr. Deut. XXXIII, 1.

Ἠλίας,[1]) καὶ εἴ τις ἄλλος ἀναγέγραπται ἄνθρωπος θεοῦ, ἢ παραπλήσιός ἐστι τοῖς ἀναγεγραμμένοις. Οὕτω δὲ καὶ οὐ πάντες ἄγγελοι ἄγγελοι λέγονται[2]) εἶναι τοῦ θεοῦ, ἀλλὰ μόνοι οἱ μακάριοι· οἱ δὲ ἐκπαπέντες ἐπὶ τὴν κακίαν, ἄγγελοι[3]) τοῦ διαβόλου ὀνομάζονται· ὥσπερ οἱ φαῦλοι ἄνθρωποι, ἄνθρωποι ἁμαρτίας, ἢ[4]) υἱοὶ λοιμοῦ, ἢ[5]) υἱοὶ ἀδικίας. Ἐπεὶ οὖν καὶ ἄνθρωποι, οἱ μέν εἰσι σπουδαῖοι, οἱ δὲ φαῦλοι· διὸ καὶ οἱ μὲν τοῦ θεοῦ, οἱ δὲ τοῦ διαβόλου εἶναι λέγονται· ἀλλὰ καὶ ἄγγελοι, οἱ μὲν τοῦ θεοῦ, οἱ δὲ τοῦ πονηροῦ· δαίμονες δὲ οὐκέτι διχῶς, πάντες γὰρ ἀποδείκνυνται εἶναι φαῦλον· διὰ τοῦτο φήσομεν ψευδῆ εἶναι τὸν Κέλσου λόγον εἰπόντος τό· »Εἰ δ' εἰσί τινες δαίμονες, δῆλον ὅτι καὶ οὗτοι τοῦ θεοῦ·« ἢ δεικνύτω ὁ βουλόμενος, μὴ λόγον ὑγιῆ εἶναι τὴν περὶ ἀνθρώπων καὶ ἀγγέλων διαίρεσιν· ἢ λόγον ἔχοντα παραπλήσιον δύνασθαι ἀποδείκνυσθαι καὶ ἐπὶ δαιμόνων. Εἰ δὲ τοῦτ' ἀμήχανον· δῆλον ὅτι »οὔτε τοῦ θεοῦ εἰσιν οἱ δαίμονες.« Οὐ γὰρ ἄρχων αὐτῶν ὁ θεὸς, ἀλλ', ὡς φασιν οἱ θεῖοι λόγοι, ὁ Βεελζεβούλ.[6])

26. Οὔτε πιστευτέον δαίμοσι, κἂν Κέλσος ἐπὶ[7]) τούτους ἡμᾶς παρακαλῇ· ἀλλ' ἀποθανητέον, πρὶν πεισθῆναι δαίμοσιν, ἀλλὰ καὶ (395) πᾶν ὅ, τιοῦν ὑπομενετέον[8]) πειθόμενον θεῷ. Οὕτω δὲ οὐδὲ καλλιερητέον

---

[1]) Cfr. II Regg. I, 10. (IV Regg.)

[2]) Cfr. Luc. XII, 8. coll. Matth. XXII, 30. II Petr. I, 21. [3]) Cfr. Matth. XXV, 41.

[4]) Optime sic habet Cod. Jolianus, male autem libri editi (v. c. edd. Spenc.) *υἱοὶ λοιμοί*. R.

[5]) Cfr. Hos. X, 9. [6]) Cfr. Luc. XI, 15.

[7]) Mss. *ἐπὶ τούτους*. Libri editi (v. c. edd. Spenc.) *ἐπὶ τούτοις*. Forte leg. *ἐπὶ τοῦτο*. R.

[8]) Cod. Basil. *ὑπομονητέον πειθόμενοι θεῷ*. Alii cum libris editis (v. c. edd. Spenc.) ut nos in textu: *ὑπομενετέον πειθόμενον θεῷ*. Observari debet scribi posse: *ὑπομενειέον*, *ὑπομενητέον*, et *ὑπομονητέον*. Apud

δαίμοσι· καὶ [1]) γὰρ ἀδύνατόν ἐστι, τοῖς φαύλοις καὶ ἀνθρώπων κακωτικοῖς καλλιερεῖν. Ἀλλὰ καὶ κατὰ ποίους νόμους ἡμᾶς βούλεται Κέλσος καλλιερεῖν τοῖς δαίμοσιν; Εἰ μὲν γὰρ κατὰ τοὺς κειμένους ἐν ταῖς πόλεσι· κατασκευαζέτω, ὅτι συνᾴδουσι τοῖς θείοις νόμοις. Εἰ δὲ τοῦτο μὴ δύναται· οὐ γὰρ κἂν ἀλλήλοις ταῦτα [2]) λέγωσιν οἱ τῶν πολλῶν πόλεων νόμοι· δηλονότι [3]) οὐδὲ κυρίως νόμους, ἢ φαύλων νόμους, οἷς οὐ πιστευτέον· »πειθαρχεῖν [4]) γὰρ δεῖ μᾶλλον θεῷ, ἢ ἀνθρώποις.« Ἄπαγε δὴ τὴν τοῦ Κέλσου συμβουλὴν, λέγοντος· »προσευκτέον [5]) εἶναι δαίμοσι·« καὶ οὐδὲ κατὰ τὸ ποσὸν ἀκουστέον αὐτῆς· μόνῳ γὰρ προσευκτέον τῷ ἐπὶ πᾶσι θεῷ, καὶ προσευκτέον γε τῷ μονογενεῖ, καὶ πρωτοτόκῳ [6]) πάσης κτίσεως, λόγῳ θεοῦ, καὶ ἀξιωτέον αὐτὸν, ὡς ἀρχιερέα, τὴν ἐπ' αὐτὸν φθάσασαν ἡμῶν εὐχὴν ἀναφέρειν ἐπὶ τὸν θεὸν αὐτοῦ καὶ θεὸν ἡμῶν, καὶ πατέρα αὐτοῦ, καὶ πατέρα τῶν βιούντων κατὰ τὸν λόγον τοῦ θεοῦ. Ὥσπερ δὲ οὐκ ἂν βουλοίμεθα εὐμενεῖς ἔχειν ἀνθρώπους, τοὺς βουλομένους ἡμᾶς βιοῦν κατὰ τὴν αὐτῶν κακίαν, ἐὰν μηδενὶ τυγχάνωσιν ὄντες εὐμενεῖς τῶν τὰ ἐναντία αὐτοῖς αἱρουμένων· ἐπεὶ ἡ εὐμένεια αὐτῶν

Diog. Laërt. lib. VII. in vita Zenonis: *Τὰ δὲ πρακτέα αἱρετέα εἶναι καὶ ὑπομονητέα*, ubi Henric. Stephanus monet, pro: *ὑπομονητέα*, legi quoque: *ὑπομενητέα*, et *ὑπομενετέα*. R.

[1]) Libri editi (v. c. edd. Spenc.) in textu: *καὶ ἄγαν ἀδύνατόν ἐστιν*. R. — Edd. Spenc. ad marg. *καὶ γὰρ ἀδύνατόν ἐστιν*.

[2]) Lege cum Guieto et Boherello: *ταὐτά*. R. — Boherellus: »Lego: *ταὐτὰ λέγουσιν*.«

[3]) Guieto scribendum videtur: *δηλονότι οὐδὲ κυρίως νόμοις, ἢ φαύλοις νόμοις οὐ πιστευτέον*. R.

[4]) Act. V, 29.

[5]) Codd. Reg. et Basil. *προσεκτέον*. R.

[6]) Cfr. Coloss. I, 15.

ἐχθροὺς ἡμᾶς ποιεῖ θεῷ, τάχα μὴ γιγνομένῳ εὐμενεῖ τοῖς θέλουσι τοὺς τοιούτους ἔχειν εὐμενεῖς· τὸν αὐτὸν τρόπον οἱ νοήσαντες δαιμόνων φύσιν, καὶ προαίρεσιν, καὶ κακίαν, οὐκ ἄν ποτε βούλοιντο εὐμενεῖς ἔχειν τοὺς δαίμονας.

27. Οὐδὲ γὰρ, κἂν μὴ ὦσιν αὐτοῖς εὐμενεῖς οἱ δαίμονες, πάσχειν ἄν τι ὑπ' αὐτῶν δύναιντο, φρουρούμενοι ὑπὸ τοῦ εὐμενοῦς αὐτοῖς διὰ τὴν εὐσέβειαν ἐπὶ πᾶσι θεοῦ, καὶ τοὺς θείους αὐτοῦ ἀγγέλους ἐφιστάντος τοῖς ἀξίοις τοῦ φρουρεῖσθαι, ἵνα μηδὲν πάσχωσιν ἀπὸ τῶν δαιμόνων. Ὁ δ' ἔχων τὸν ἐπὶ πᾶσι θεὸν διὰ τὴν εἰς αὐτὸν εὐσέβειαν εὐμενῆ, καὶ διὰ τὸ τὸν τῆς »μεγάλης[1]) βουλῆς« ἄγγελον τοῦ θεοῦ παραδεδέχθαι κύριον Ἰησοῦν, ἀρκούμενος τῇ τοῦ θεοῦ διὰ Χριστοῦ Ἰησοῦ εὐμενείᾳ, λέγοι ἂν θαρρῶν, ὡς οὐδὲν πεισόμενος ἀπὸ παντὸς τοῦ τῶν δαιμόνων στρατοπέδου· »Κύριος[2]) φωτισμός μου, καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;« Ἐρεῖ[3]) δὲ καὶ τό· »Ἐὰν[4]) παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου.« Τοσαῦτα καὶ εἰς τό· »Εἰ δ' εἰσί τινες δαίμονες· δηλονότι καὶ οὗτοι τοῦ θεοῦ εἰσι, καὶ πιστευτέον,[5]) καὶ καλλιερητέον κατὰ νόμους, καὶ προσευκτέον, ἵν' εὐμενεῖς ὦσιν.«

28. Ἐκθέμενοι δὲ καὶ τὴν ἑξῆς λέξιν, φέρε πάλιν, κατὰ δύναμιν, αὐτὴν ἐξετάσωμεν οὕτως ἔχουσαν· »Εἰ μὲν δὴ κατά τι πάτριον ἱερείων τινῶν ἀπέχονται τῶν τοιῶνδε, πάντως ἀφεκτέον καὶ ζώων ἁπάντων βρώσεως·

---

[1]) Cfr. Jesai. IX, 6.

[2]) Cfr. Psalm. XXVII, 1. (XXVI.)

[3]) Desunt in Codd. Reg. et Basil., et abesse possunt verba: Ἐρεῖ δὲ καὶ τό. R.

[4]) Psalm. XXVII, 3. (XXVI.)

[5]) Hoeschel. in textu, Spenc. ad marg. πιστέον.

ἥπερ καὶ Πυθαγόρᾳ δοκεῖ, ψυχὴν τιμῶντι καὶ τὰ ταύτης ὄργανα. Εἰ δ', ὅπερ (396) φασὶν, ὅπως μὴ συνεστιῶνται δαίμοσι· μακαρίζω τῆς σοφίας αὐτοὺς, ὅτι βραδέως συνίασιν ὄντες ἀεὶ συνέστιοι δαιμόνων· καὶ τότε δὴ μόνον φυλάσσονται τοῦτο, ὁπόταν ἱερεῖον θυόμενον βλέπωσιν· ὅταν δὲ σῖτον ἐσθίωσι, καὶ οἶνον πίνωσι, καὶ ἀκροδρύων γεύωνται, καὶ αὐτὸ ὕδωρ καὶ αὐτὸν ἀέρα ἀναπνέωσιν, οὐκ ἄρα[1]) παρά τινων δαιμόνων ἕκαστα τούτων λαμβάνουσιν, οἷς κατὰ μέρη τὸ ἐπιμελὲς ἑκάστῳ προστέτακται; Οὐκ οἶδ' ὅπως ἐν τούτοις ἔδοξεν αὐτῷ ἀκολουθεῖν, δεῖν ἀπέχεσθαι πάντων ζώων βρώσεως τοὺς, οὓς ὠνόμασε κατά τι πάτριον ἔθνος ἱερείων τινῶν ἀπεχομένους. Καὶ οὐ τοῦτό φαμεν, ὡς καὶ μὴ τοιαῦτα ὑποβάλλοντος τοῦ θείου λόγου, καὶ τοῦ ἀσφαλεστέρου βίου καὶ καθαρωτέρου ἕνεκεν εἰπόντος· »καλὸν,[2]) τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδ' ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει·« καὶ πάλιν· »Μὴ[3]) τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανε·« καὶ πάλιν· »Εἰ[4]) σκανδαλίζει τὸν ἀδελφόν μου κρέα,[5]) οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα· ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.«

29. Ἰστέον μέντοι γε, ὅτι Ἰουδαίων οἰομένων νοεῖν τὸν Μωϋσέως νόμον, καὶ τηρούντων ἐπὶ τῶν βρωμάτων τὸ μεταλαμβάνειν μὲν τῶν νενομισμένων αὐτοῖς καθαρῶν, ἀπέχεσθαι δὲ τῶν ἀκαθάρτων, ἀλλὰ καὶ μὴ χρῆσθαι αἵματι ζώου εἰς τροφὴν, μηδὲ τοῖς θηριαλώτοις, καὶ ἄλλοις, περὶ ὧν πολὺς λόγος, καὶ διὰ τοῦτο νῦν οὐκ εὔκαιρος[6]) ἐξετασθῆναι· ἡ τοῦ Ἰησοῦ διδασκαλία, βουλομένη πάντας ἀνθρώπους προσκαλέσασθαι εἰς

---

[1]) Edd. Spenc. ἄρα. [2]) Cfr. Rom. XIV, 21.
[3]) Rom. XIV, 15. [4]) Cfr. 1 Cor. VIII, 13.
[5]) Hoeschel. et Mss. (itemq. Spenc. ad marg.) κρέα. Spencer. (in textu): βρώμα. R.
[6]) Codd. Reg. et Basil. εὔκαιρον. R.

τὴν καθαρὰν θεοσέβειαν, καὶ μὴ προφάσει τῆς περὶ βρωμάτων βαρυτέρας νομοθεσίας κωλύειν πολλοὺς τῶν δυναμένων ὠφεληθῆναι εἰς ἦθη ἀπὸ Χριστιανισμοῦ, ἀπεφήνατο, ὅτι »οὐ [1]) τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα ἐκ τοῦ στόματος·« τὰ μὲν γὰρ »εἰσερχόμενα [2]) εἰς τὸ στόμα, εἰς τὴν κοιλίαν, φησὶ, χωρεῖ, καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται· τὰ δ' ἐξιόντα ἐκ τοῦ στόματος διαλογισμοί [3]) εἰσι πονηροὶ λαλούμενοι, [4]) καὶ φόνοι, καὶ μοιχεῖαι, καὶ πορνεῖαι, κλοπαί τε, καὶ ψευδομαρτυρίαι, καὶ βλασφημίαι.« Φησὶ δὲ καὶ ὁ Παῦλος, ὅτι »βρῶμα [5]) ἡμᾶς οὐ παραστήσει τῷ θεῷ· οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν· οὔτε, ἐὰν [6]) μὴ φάγωμεν, ὑστερούμεθα.« Εἰ', ἐπεὶ ἔχει τινὰ ἀσάφειαν ταῦτα, εἰ μὴ τύχῃ διαῤῥώσεως, ἔδοξε τοῖς τοῦ Ἰησοῦ ἀποστόλοις, [7]) καὶ τοῖς ἐν Ἀντιοχείᾳ συναχθεῖσιν ἐπὶ τὸ αὐτὸ πρεσβυτέροις, καὶ, ὡς αὐτοὶ οὗτοι ὠνόμασαν, τῷ ἁγίῳ πνεύματι, [8]) γράψαι τοῖς ἀπὸ τῶν ἐθνῶν πιστεύουσιν ἐπιστολὴν, μόνα, ὡς ὠνόμασαν, ἐπάναγκες ἀπαγορεύουσαν ἐσθίειν. Ταῦτα δ' ἔστι τὰ ἤτοι εἰδωλόθυτα, ἢ τὰ πνικτὰ, ἢ τὸ αἷμα.

30. Τὸ μὲν γὰρ εἰδωλόθυτον θύεται δαιμονίοις· καὶ οὐ χρὴ τὸν τοῦ θεοῦ ἄνθρωπον κοινωνὸν τραπέζης [9]) δαιμονίων γίνεσθαι· τὰ [10]) δὲ πνικτὰ τοῦ αἵμα-

---

[1]) Cfr. Matth. XV, 11. [2]) Cfr. Matth. XV, 17.
[3]) Cfr. Matth. XV, 19.
[4]) Uncis inclusum legitur: *λαλούμενοι*, in edd. Spenc.
[5]) Cfr. 1 Cor. VIII, 8.
[6]) Edd. Spenc. ad marg. *ἄν*.
[7]) Cfr. Act. XV, 22. coll. 23.
[8]) Cfr. Act. XV, 28. coll. 23.
[9]) Cfr. 1 Cor. X, 21.
[10]) Hoeschel. in textu, Spenc. ad marg. *ἢ τὰ πνικτά*. — Can. Apost. cap. 62. *Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ ἱερατικοῦ φάγῃ κρέα ἐν αἵματι ψυχῆς αὐτοῦ, ἢ θηριόλατον, ἢ θνησιμαῖον, κα-*

τος μὴ ἐκκριθέντος, ὅπερ φασὶν εἶναι (397) τροφὴν δαιμόνων, τρεφομένων ταῖς ἀπ' αὐτοῦ ἀναθυμιάσεσιν, ἀπαγορεύει ὁ λόγος, ἵνα μὴ τραφῶμεν τροφῇ δαιμόνων· τάχα τινῶν τοιούτων πνευμάτων συντραφησομένων ἡμῖν, ἐὰν μεταλαμβάνωμεν τῶν πνικτῶν. Ἐκ δὲ τῶν εἰρημένων περὶ τῶν πνικτῶν σαφὲς εἶναι δύναται τὸ περὶ τῆς ἀποχῆς τοῦ αἵματος. Καὶ οὐκ ἀπίθανόν γε, γενόμενόν με κατὰ τὸν[1]) τόπον, ὑπομνησθῆναι χαριεστάτης γνώμης, ἣ καὶ οἱ πολλοὶ τῶν Χριστιανῶν ἀναγεγραμμένῃ ἐν ταῖς Σέξτου[2]) γνώμαις ἐντυγχά-

---

θαιρεῖσθω. Τοῦτο γὰρ ὁ νόμος ἀπεῖπεν. Εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω. Clemens Paedagog. lib. III. cap. 3. (in fine.) Οὐδὲ γὰρ θίγειν αἵματα τοῖς ἀνθρώποις θέμις, οἷς τὸ σῶμα οὐδὲν ἀλλ' ἢ σάρξ ἐστιν αἵματι γεωργουμένη· μετέσχηκε τοῦ λόγου τὸ αἷμα τὸ ἀνθρώπινον, καὶ τῆς χάριτος κοινωνεῖ τῷ πνεύματι. Κἂν ἀδικήσῃ τις αὐτούς, οὐ λήσεται. Dictum est a Bybliade martyre, apud Euseb. lib. V. cap. 1. eccles. Hist. (cfr. ed. Heinichen. Tom. II. pag. 15. seq) Πῶς ἂν παιδία φάγοιεν οἱ τοιοῦτοι, οἷς μηδὲ ἀλόγων ζώων αἷμα φαγεῖν ἔξόν; Tertull. Apolog. cap. IX. »Erubescat error vester Christianis, qui ne animalium quidem sanguinem in epulis esculentis habemus, qui propterea quoque suffocatis et morticinis abstinemus, ne quo modo sanguine contaminemur, vel intra viscera sepulto.« Min. Felix in Octavio: »Tantumque ab humano sanguine cavemus, ut nec edulium pecorum sanguinem in cibis noverimus.« Spenc.

[1]) Ita recte habent Codd. Reg. et Basileensis. Hoeschel. vero in textu (Spenc. ad marg.) τοὺς τρόπους, et in marg. (Spenc. in textu): τοὺς τόπους. R.

[2]) »Xysti philosophi, alias Sexti, Pythagorici Enchiridion, sententiae piae et Christianae impressae Basileae a beato Rhenano, recognitae ad antiquum exemplar, quod apud Divam Fidem Selestadii habetur:« inquit Gesner. in Bibliothec. Laudat Hieronymus in fine libri adversus Jovinianum. »Unde et Xystus in Sententiis, adulter est,

νουσιν, οὕτως [1]) ἐχούσῃ· »Ἐμψύχων χρῆσις μὲν, ἀδιάφορον· ἀποχὴ δὲ, λογικώτερον.« Οὐχ ἁπλῶς οὖν κατά τι πάτριον τῶν νομιζομένων ἱερείων εἶναι, καὶ θυομένων παρὰ τοῖς λεγομένοις θεοῖς, ἢ ἥρωσιν, ἢ δαίμοσιν, ἀπεχόμεθα· ἀλλὰ διὰ λόγους πλείονας, ὧν ἀπὸ μέρους ἐξεθέμην τινάς. Ἀλλὰ καὶ οὐχ, ὥσπερ ἀφεκτέον πάσης κακίας καὶ τῶν ἀπὸ κακίας, καὶ ζώων ἁπάντων [2]) βρώσεως ἀφεκτέον. Ἀφεκτέον δὲ οὐ μόνον ζώων βρώσεως, ἀλλὰ καὶ παντὸς οὐτινοσοῦν, εἰ ἀπὸ κακίας καὶ τῶν ἀπὸ κακίας χρησαίμεθα τοῖς βρώμασιν· ἀφεκτέον γὰρ τοῦ ἐσθίειν κατὰ γαστριμαργίαν, ἢ καθὸ ἄγεσθαι ὑφ' ἡδονῆς, χωρὶς τῆς εἰς ὑγείαν τοῦ σώματος καὶ θεραπείαν αὐτοῦ προθέσεως. Οὐδαμῶς μέντοι γε λέγο-

---

inquit, in suam uxorem amator ardentior.« Idem in epistola, quam contra Pelagium ad Ctesiphontem scripserat, Rufini imposturam detegit, qui Xysti Pythagorici Enchiridion Latinum fecit, et eidem Sixti Papae nomen praefixit, ut majorem gratiam et auctoritatem libro conciliaret. »Illam autem temeritatem, inquit Hieronymus, imo insaniam ejus, quis digno possit explicare sermone, quod librum Xysti Pythagorici, hominis absque Christo atque Ethnici, immutato nomine, Sixti martyris et Romanae ecclesiae episcopi praenotavit. In quo juxta dogma Pythagoricorum, qui hominem exaequant Deo, et de ejus dicunt esse substantia, multa de perfectione dicuntur, ut qui volumen philosophi nesciunt, sub martyris nomine bibant de aureo calice Babylonis. Denique in ipso volumine nulla prophetarum, nulla patriarcharum, nulla Apostolorum, nulla Christi fit mentio; ut episcopum et martyrem sine Christi fide fuisse contendat. Unde et vos plurima contra ecclesiam usurpatis testimonia.« Eundem vide in cap. XVIII. in Ezech. et in cap. XXII. in Jeremiam. Spenc.

[1]) Spencer. (in textu): οὕτως ἐχούσης, sed Hoeschel. et Mss. (itemq. Spenc. ad marg.) ut in nostro textu. R.

[2]) Edd. Spenc. et Ruaei in textu: ἀπάντων βρώσεως. Ἀφεκτέον δέ κτλ., ed. vero Ruaei, Boherello duce, in notis: »Post voc. βρώσεως addendum videtur ἀφεκτέον, quod quum immediate sequatur, ea ipsa de causa hinc forte excidit.«

μεν[1]) μετενσωμάτωσιν εἶναι ψυχῆς, καὶ κατάπτωσιν αὐτῆς μέχρι τῶν ἀλόγων ζώων· δηλονότι οὐδ' ὁμοίως Πυθαγόρᾳ, κἂν ἀπεχώμεθά ποτε ζώων, οὐ χρησόμεθα αὐτῶν ταῖς σαρξί. Ψυχὴν γὰρ λογικὴν τιμᾶν μόνην ἡμεῖς ἴσμεν, καὶ τὰ ταύτης ὄργανα μετὰ τιμῆς παραδιδόναι κατὰ τὰ νενομισμένα ταφῇ· ἄξιον γὰρ τὸ τῆς λογικῆς ψυχῆς οἰκητήριον μὴ παραῤῥίπτειν ἀτίμως, καὶ ὡς ἔτυχεν, ὁμοίως τῷ τῶν ἀλόγων· καὶ μάλιστα,[2]) ὅτε οἱ Χριστιανοὶ τὴν τιμὴν τοῦ σώματος, ἔνθα λογικὴ ψυχὴ ᾤκησε, πεπιστεύκασι[3]) καὶ ἐπ' αὐτὸν φθάνειν δεξάμενον καλῶς ἀγωνισαμένην διὰ τοιούτου ὀργάνου ψυχήν. Περὶ δὲ τοῦ· »Πῶς[4]) οἱ νεκροὶ ἐγείρονται, καὶ ποίῳ σώματι ἔρχονται;« ἐν τοῖς ἀνωτέρω δι' ὀλίγων, ὡς ἀπῆτει ἡ γραφή, παρεστήσαμεν.

31. Μετὰ ταῦτα ὁ Κέλσος τὸ ὁμολογουμένως ὑπὸ Χριστιανῶν καὶ Ἰουδαίων λεγόμενον τίθησιν, ἀπολογουμένων περὶ τῆς τῶν εἰδωλοθύτων ἀποχῆς, καὶ φασκόντων μὴ δεῖν συνεστιᾶσθαι δαίμοσι τοὺς ἀνακειμένους τῷ ἐπὶ πᾶσι θεῷ· πρὸς ὃ εἶπε τὰ ἐκκείμενα. Ἡμεῖς μὲν οὖν, ὅσον ἐπὶ βρώμασι καὶ πόμασι, τοῦ συνεστιᾶσθαι δαίμοσι τρόπους ἄλλους οὐκ ἴσμεν, ἢ

---

[1]) Mss. Reg. et Basil. λέγομεν. Libri editi (v. c. edd. Spenc.) λέγοντες. R.

[2]) Edd. Spenc. et Ruaei in textu: μάλιστα, ὅτε οἱ τὴν τιμήν. Jam Boherellus vero: »Τό· οἱ delendum puto: et forte pro ὅτε, melius legas: ὅτι.« Ruaeus contra in notis: »Mihi post οἱ placet addi: Χριστιανοί. Guieto totus hic locus usque ad ista verba: Περὶ δὲ τοῦ κτλ., addititius et recidendus videtur.«

[3]) Edd. Spenc. et Ruaei in textu, illae: πεπιστεύκασι, καὶ ἐπ' αὐτόν φασι δεξάμενον κτλ., haec: πεπιστεύκασι καὶ ἐπ' αὐτόν φασι δεξάμενον κτλ. Jam Boherellus vero, quocum Ruaeus in notis facit: »Legendum existimo: πεπιστεύκασι καὶ ἐπ' αὐτὸν φθάνειν δεξάμενον κτλ., sublata praecedenti virgula, ante καί.«

[4]) Cfr. I Cor. XV, 35.

καθ' οὓς τὰ καλούμενα παρὰ τοῖς πολλοῖς ἱερόθυτα ἐσθίει τις, καὶ πίνει τὸν τῶν παρὰ τοῖς δαιμονίοις γιγνομένων σπονδῶν οἶνον· ὁ δὲ Κέλσος οἴεται συνεστιᾶσθαι δαίμοσι καὶ τὸν σίτου μεταλαμβάνοντα, καὶ ὅπως ποτ' οὖν οἴνου πίνοντα, καὶ ἀκροδρύων γευόμενον, ἀλλὰ καὶ εἰ μόνου ὕδατός τις μεταλαμβάνει, καὶ ἐν τούτῳ φησὶ συνεστιᾶσθαι δαίμοσι τὸν πίνοντα. Προστίθησι δὲ τούτοις, ὅτι καὶ ὁ τὸν ἀέρα τοῦτον (398) ἀναπνέων, παρὰ δαιμόνων τινῶν καὶ τοῦτον λαμβάνει· χαριζομένων δαιμόνων, τῶν ἐπὶ τοῦ ἀέρος τεταγμένων,[1]) τὸν τῆς ἀναπνοῆς τοῖς ζώοις ἀέρα. Ὁ βουλόμενος τοίνυν παραστησάτω τῷ Κέλσου λόγῳ, καὶ δεικνύτω, πῶς οὐ θεῖοί τινες ἄγγελοι θεοῦ, ἀλλὰ δαίμονες, ὧν[2]) ὅλον τὸ γένος ἐστὶ φαῦλον, προστεταγμένοι[3]) εἰσὶ πάντα τὰ προειρημένα οἰκονομεῖν. Καὶ ἡμεῖς μὲν γάρ φαμεν, οὐ χωρὶς προστασίας ἀοράτων,[4]) ἵν' οὕτως ὀνομάσω, γεωργῶν, καὶ ἄλλων οἰκονόμων, οὐ μόνον[5]) τῶν ἀπὸ γῆς φυομένων, ἀλλὰ καὶ παντὸς ναματιαίου ὕδατος, καὶ ἀέρος, τὴν γῆν φέρειν τὰ ὑπὸ φύσεως λεγόμενα διοικεῖσθαι, καὶ τὸ ὕδωρ ἐν ταῖς πη-

---

[1]) Codd. Reg. et Basil. τεταγμένων, Spencer. (in textu): προτεταγμένων, Hoeschel. in textu (Spenc. ad marg.) προστεταγμένων. R. — Cfr. pag. huj. not. 3.

[2]) Mss. ὧν ὅλον τὸ γένος. Libri editi (v. c. edd. Spenc.) ὧν ὅλων τὸ γένος. R.

[3]) Boherellus: »Bene hic: προστεταγμένοι, ex lib. huj. num. 28. At supra, cfr. pag. huj. not. 1., standum τῷ· προτεταγμένων, ni legas: τῶν τὰ τοῦ ἀέρος προστεταγμένων. Infra vero, libri huj. num. 32. in fine, commodius forte legeretur: ὑποτεταγμένα. Nil tamen mutari velim propter praecedentia loca. Τό· προτεταγμένων confirmatur e libri huj. num. 32., ubi haec leguntur: ἀλλὰ μᾶλλον θείοις ἀγγέλοις τοῖς ἐπὶ τῶν τοιούτων τεταγμένοις.« — Ruaeus in notis: »Malebat Guietus: προτεταγμένοι.«

[4]) Vide Orig. Homil. XXIII. in Josuam, et Homil. VIII. in Jeremiam, et Huet. lib. II. Origenianor. quaest. V.

[5]) Hoeschel. in textu, Spenc. ad marg. μόνων.

γαῖς καὶ τοῖς αὐθιγενέσι ποταμοῖς ὀμβρεῖν[1]) καὶ φέρεσθαι, καὶ τὸν ἀέρα ἀδιάφθορον τηρεῖσθαι, καὶ ζωτικὸν τοῖς ἀναπνέουσιν αὐτὸν γίγνεσθαι. Οὐ μὴν τοὺς ἀοράτους φαμὲν εἶναι δαίμονας· ἀλλ', εἰ χρὴ ἀποτολμήσαντα λέγειν τινὰ,[2]) εἴπερ ταῦτα δαιμόνων ἐστὶν ἔργα, φήσομεν ὅτι λιμοὶ, καὶ ἀφορίαι σταφυλῆς καὶ ἀκροδρύων, καὶ αὐχμοὶ, ἀλλὰ καὶ ἡ τοῦ ἀέρος διαφθορὰ ἐπὶ λύμῃ τῶν καρπῶν, ἔσθ' ὅτε δὲ καὶ τῷ τῶν ζώων θανάτῳ[3]) καὶ τῷ κατὰ τῶν ἀνθρώπων[4]) λοιμῷ. Πάντα ταῦτα δαίμονες αὐτουργοῦσι δήμιοι· κρίσει τινὶ θείᾳ λαβόντες ἐξουσίαν ἐν καιροῖς τισι ταῦτ' ἐνεργεῖν, εἴτε εἰς ἐπιστροφὴν ἀνθρώπων ἐπὶ τὴν χύσιν τῆς κακίας ἐξοκειλάντων, εἴτε καὶ εἰς γυμνάσιον τοῦ λογικοῦ γένους· ἵν' οἱ μὲν καὶ ἐν τοῖς τοσούτοις εὐσεβεῖς μένοντες, καὶ μηδαμῶς γιγνόμενοι χείρους, φανεροὶ τέως τοῖς μὴ βλέπουσιν αὐτῶν τὴν ἕξιν ἀοράτοις καὶ ὁρατοῖς θεαταῖς γένωνται· οἱ δ' ἐναντίως μὲν διακείμενοι, κλέπτοντες δὲ τὴν τῆς κακίας ἐπίδειξιν, ἐλεγχθέντες ὑπὸ τῶν συμβαινόντων ὁποῖοί εἰσιν, αὐτοί τε ἑαυτῶν συναισθηθῶσι, καὶ δῆλοι τοῖς, ἵν' οὕτως ὀνομάσω, θεαταῖς γένωνται.

32. *Μαρτυρεῖ* δὲ ὁ ὑμνῳδὸς τῷ, ὅτι θείᾳ κρίσει αὐτουργεῖται τὰ σκυθρωπότερα ὑπό τινων πονηρῶν ἀγγέλων, ἐν τῷ· »ἀπέστειλεν[5]) εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν, καὶ ὀργὴν, καὶ θλῖψιν· ἀποστολὴν δι' ἀγγέλων πονηρῶν.« Εἰ δὲ καὶ ἄλλο τι παρὰ ταῦτα γίνεται, ὅθ' οἱ δαίμονες ἐπιτρέπονται, ἀεὶ μὲν βουλόμενοι ταῦτα ποιεῖν, οὐκ ἀεὶ δὲ δυνάμενοι, διὰ τὸ κω-

---

[1]) Guieto scribendum videtur: ὁμορρεῖν. R.

[2]) Boherellus: »Vocem τινά extra parenthesin collocandam puto, et cum seqq. jungendam.«

[3]) Cfr. Matth. VIII, 32.

[4]) Cfr. Prov. XVII, 11.

[5]) Cfr. Psalm. LXXVIII, 49. (LXXVII.)

λύεσθαι· ὁ δυνάμενος ἐξεταζέτω, τὴν θείαν κρίσιν, κατὰ τὸ δυνατὸν ἀνθρωπίνῃ φύσει, φανταζόμενος περὶ ἀθρόας πολλῶν ψυχῶν ἀπαλλαγῆς ἀπὸ σώματος, τοιαῖσδε ταῖς ἐπὶ τὸν μέσον θάνατον φερούσαις ὁδοῖς χρωμένων. Καὶ γὰρ »μεγάλαι[1]) μὲν αἱ κρίσεις τοῦ θεοῦ« εἰσι, καὶ διὰ τὸ μέγεθος οὐ χωρηταὶ νῷ, τῷ ἔτι ἐνδεδεμένῳ θνητῷ σώματι· διὸ καὶ »δυσδιήγητοι«[2]) τυγχάνουσιν, ἀπαιδεύτοις δὲ ψυχαῖς οὐδ' ἐπὶ ποσὸν θεωρηταί· διὸ καὶ οἱ προπετέστεροι τῇ περὶ ταῦτα ἀγνοίᾳ, καὶ τῇ διὰ τὴν προπέτειαν εἰς τὸ θεῖον (399) ἐπισιασίᾳ, αὔξουσι τὰ ἀσεβῆ κατὰ τῆς προνοίας δόγματα. Οὐ παρὰ δαιμόνων οὖν ἕκαστα τῶν εἰς τὰς βιωτικὰς χρείας λαμβάνομεν, μάλιστα οἱ δεόντως αὐτοῖς χρῆσθαι μεμαθηκότες· οὐδὲ συνεστιῶνται δαίμοσιν οἱ σίτου, καὶ οἴνου, καὶ ἀκροδρύων, καὶ ὕδατος, καὶ ἀέρος μεταλαμβάνοντες· ἀλλὰ μᾶλλον θείοις ἀγγέλοις τοῖς ἐπὶ τῶν τοιούτων τεταγμένοις,[3]) οἵτινες ὡσπερεὶ καλοῦνται ἐπὶ τὴν ἑστίαν τοῦ εὐσεβοῦς, καὶ ἀκούσαντος τοῦ διδάσκοντος λόγου τὰ τοιάδε· »Εἴτε[4]) ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε.« Καὶ πάλιν ἐν ἄλλῳ τόπῳ κεῖται· »Πάντα[5]) ἐν ὀνόματι θεοῦ ποιεῖτε.« Ὅτε οὖν εἰς δόξαν θεοῦ ἐσθίομεν, καὶ πίνομεν, καὶ ἀναπνέομεν, καὶ κατὰ τὸν λόγον πάντα πράττομεν, οὐδενὶ τῶν δαιμόνων συνεστιώμεθα, ἀλλὰ τοῖς θείοις ἀγγέλοις. Καὶ γὰρ »πᾶν[6]) κτίσμα θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον, μετ' εὐχαριστίας λαμβανόμενον· ἁγιάζεται γὰρ διὰ λόγου θεοῦ καὶ ἐντεύξεως« Οὐκ ἂν δ' ἦν καλὸν, οὐδὲ δυ-

---

[1]) Cfr. Sap. Sal. XVII, 1. coll. Psalm. XXXVI, 6. (XXXV.)

[2]) Cfr. Sap. Sal. XVII, 1.

[3]) Cfr. pag. 151. not. 3.

[4]) Cfr. I Cor. X, 31. [5]) Cfr. Coloss. III, 17.

[6]) Cfr. I Tim. IV, 4. 5.

νατὸν ἁγιάζεσθαι, εἰ, ὡς Κέλσος οἴεται, δαίμοσι ταῦτα ἦν προστεταγμένα.[1])

33. Ἐκ τούτων δὲ δῆλον, ὅτι καὶ πρὸς τὰ ἐξῆς αὐτῷ λελεγμένα ἀπηντήσαμεν οὕτως ἔχοντα· »Ἡ τοίνυν οὐδαμῆ οὐδαμῶς βιωτέον, οὐδὲ τῇδε παριτητέον, ἢ τὸν ἐπὶ τοῖσδε παρελθόντα εἰς τὸν βίον, δαίμοσι τοῖς τὰ ἐπὶ γῆς εἰληχόσιν εὐχαριστητέον, καὶ ἀπαρχὰς καὶ εὐχὰς ἀποδοτέον, ἕως ἂν ζῶμεν, ὡς ἂν φιλανθρώποων αὐτῶν τυγχάνοιμεν.« Καὶ βιωτέον οὖν ἡμῖν, καὶ κατὰ τὸν λόγον τοῦ Θεοῦ βιωτέον, ὅσον οἷόν τε καὶ δίδοται κατ' αὐτὸν βιοῦν· δίδοται δὲ καὶ ὅτε, εἴτ' ἐσθίομεν,[2]) εἴτε πίνομεν, πάντα εἰς δόξαν Θεοῦ ποιοῦμεν. Καὶ οὐ παραιτητέον ἡμῖν τὸ χρῆσθαι μετ' εὐχαριστίας τῆς πρὸς τὸν κτίσαντα τοῖς δι' ἡμᾶς αὐτοῦ δημιουργήμασι. Καὶ ἐπὶ τοῖσδε μᾶλλον παρήχθημεν ὑπὸ τοῦ Θεοῦ εἰς τὸν βίον, ἢ ἐφ' οἷς Κέλσος οἴεται· καὶ οὐχ ὑποκείμεθά γε δαίμοσιν, ἀλλὰ τῷ ἐπὶ πᾶσι Θεῷ διὰ τοῦ ἡμᾶς προσαγαγόντος Ἰησοῦ τοῦ Χριστοῦ. Καὶ κατὰ νόμους[3]) μὲν Θεοῦ οὐδεὶς εἴληχε δαίμων τὰ ἐπὶ γῆς· διὰ δὲ τὴν σφῶν παρανομίαν, τάχα μὲν αὐτοῖς[4]) διείλοντο τοὺς τόπους, ἔνθα ἐρημία ἐστὶ γνώσεως Θεοῦ καὶ τοῦ κατ' αὐτὸν βίου, ἢ ἔνθα πολύς ἐστιν ὁ τῆς θειότητος ἀλλότριος· τάχα δὲ ὡς ἄξιοι τῶν πονηρῶν ἐπισιάται καὶ κολασταὶ αὐτῶν, ὑπὸ τοῦ διοικοῦντος τὰ ὅλα λόγου, ἐτάχθησαν ἄρχειν τῶν ἑαυτοὺς ὑποταξάντων τῇ κακίᾳ, καὶ οὐ τῷ Θεῷ. Καὶ διὰ τοιαῦτα δὲ Κέλσος μὲν, ὡς ἀγνοῶν Θεὸν, τὰ χαριστήρια δαίμοσιν ἀποδιδότω· ἡμεῖς δὲ τῷ

---

[1]) Cfr. pag. 151. not. 3. [2]) Cfr. I Cor. X, 31.

[3]) Mss. νόμους, sicque in textu habet Hoeschelius, qui ad marg. rejecit νόμον. R. — Spenc. in textu: νόμον, ad marg. νόμους.

[4]) Mss. αὐτοῖς διείλοντο, libri antea editi (v. c. edd. Spenc.) αὐτοῖς διελόντα. R. — Jam Boherellus: »Lege: αὐτοῖς διείλοντο.«

τοῦ παντὸς δημιουργῷ εὐχαριστοῦντες,[1]) καὶ[2]) τοὺς μετ' εὐχαριστίας καὶ εὐχῆς τῆς ἐπὶ τοῖς δοθεῖσι προσαγομένους ἄρτους ἐσθίομεν, σῶμα γενομένους διὰ τὴν εὐχὴν ἅγιόν τι καὶ ἁγιάζον τοὺς μετὰ ὑγιοῦς προαιρέσεως αὐτῷ χρωμένους.[3])

34. Ἀλλὰ καὶ ἀπαρχὰς (400) Κέλσος μὲν δαιμονίοις ἀνατιθέναι βούλεται· ἡμεῖς δὲ τῷ εἰπόντι· »βλαστησάτω[4]) ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς.« Ὧι δὲ τὰς ἀπαρχὰς ἀποδίδομεν,[5]) τούτῳ καὶ τὰς εὐχὰς ἀναπέμπομεν, ἔχοντες[6]) »ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανοὺς, Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ·« καὶ κρατοῦμεν[7]) »τῆς ὁμολογίας,« ἕως ἂν ζῶμεν, φιλανθρώπου[8]) τυγχάνοντες τοῦ θεοῦ, καὶ τοῦ μονογενοῦς αὐτοῦ[9]) ἐν Ἰησοῦ ἡμῖν φανερουμένου. Εἰ δὲ καὶ πλῆθος ποθοῦμεν ὧν φιλανθρώπων τυγχάνειν θέλομεν, μανθάνομεν »ὅτι[10]) χίλιαι χιλιάδες παρειστήκεισαν αὐτῷ, καὶ μυρίαι μυριάδες ἐλειτούργουν αὐτῷ·« αἴτινες, ὡς συγγενεῖς καὶ φίλους τοὺς μιμουμένους τὴν εἰς θεὸν αὐτῶν εὐσέβειαν ὁρῶνιες, συμπράι-

[1]) Codd. Reg. et Basil. εὐχαριστοῦντες. Libri editi (v. c. edd. Spenc.) εὐαρεστοῦντες. R.

[2]) Boherellus: »Abundare videtur: καί.«

[3]) Mss. χρωμένους. Libri editi (v. c. edd. Spenc.) male: χρωμένων. R.

[4]) Gen. I, 11.

[5]) Mss. recte: ἀποδίδομεν. Libri vero editi (v. c. edd. Spenc.) ἀποδίδωμεν.

[6]) Hebr. IV, 14. [7]) Cfr. Hebr. IV, 14.

[8]) Hoeschel. in textu (Spenc. ad marg.) φιλανθρώπου τυγχάνοντες τοῦ θεοῦ κτλ. Spenc. in textu: φιλανθρώπου τυγχάνοντος τοῦ θεοῦ.

[9]) Ita habent Codd. Reg. et Basil., libri vero antea editi (v. c. edd. Spenc.) αὐτοῦ Ἰησοῦ ἐν ἡμῖν φανερουμένου. R.

[10]) Cfr. Dan. VII, 10.

τουσιν αὐτῶν τῇ σωτηρίᾳ τῶν ἐπικαλουμένων τὸν θεὸν, καὶ γνησίως εὐχομένων· ἐπιφαινόμενοι, καὶ οἰόμενοι αὐτοῖς δεῖν ὑπακούειν, καὶ ὥσπερ ἐξ ἑνὸς συνθήματος ἐπιδημεῖν ἐπ' εὐεργεσίᾳ καὶ σωτηρίᾳ τῶν εὐχομένων θεῷ, ᾧ καὶ αὐτοὶ εὔχονται. Καὶ γὰρ »πάντες[1] *εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν.« Ἑλλήνων*[2])

---

[1]) Hebr. I, 14.

[2]) Menander apud Clement. Alexandrin. Strom. V. ed. Potter. pag. 727. (al. 610.)

Ἅπαντι δαίμων ἀνδρὶ συμπαρίσταται
Εὐθὺς γενομένῳ, μυσταγωγὸς τοῦ βίου
Ἀγαθός· κακὸν γὰρ δαίμον' οὐ νομιστέον
Εἶναι, βίον βλάπτοντα χρηστόν.

Plutarchus de animi tranquillitate, cap. XV., ed. Hutten. Vol. X. pag. 24. seq.

Οὐ γὰρ, ὡς ὁ Μένανδρός φησιν·
Ἅπαντι δαίμων ἀνδρὶ συμπαρασταται̃
Εὐθὺς γενομένῳ, μυσταγωγὸς τοῦ βίου
Ἀγαθός· — — — —

ἀλλὰ μᾶλλον, ὡς Ἐμπεδοκλῆς, διτταί τινες ἕκαστον ἡμῶν γενόμενον παραλαμβάνουσι καὶ κατάρχονται μοῖραι καὶ δαίμονες· Ἐνθ' ἦσαν Χθονίη τε κτλ. Plato in Phaed. pag. 107. (ed. Bekker. Part. II. Vol. III. pag. 106. seq.) *Λέγεται δὲ οὕτως, ὡς ἄρα τελευτήσαντα ἕκαστον ὁ ἑκάστου δαίμων, ὅσπερ ζῶντα εἵλήχει, οὗτος ἄγειν ἐπιχειρεῖ εἰς δή τινα τόπον, οἷ δεῖ τοὺς ξυλλεγέντας διαδικασαμένους εἰς Ἅιδου πορεύεσθαι κτλ.* Et pag. 108. (ed. Bekker. pag. 107.) *Βίᾳ καὶ μόγις ὑπὸ τοῦ προσταγμένου δαίμονος οἴχεται ἀγομένη, κτλ.* Et pag. 113. (ed. Bekker. pag. 118.) *Τούτων δὲ οὕτω πεφυκότων, ἐπειδὰν ἀφίκωνται οἱ τετελευτηκότες εἰς τὸν τόπον, οἷ ὁ δαίμων ἕκαστον κομίζει, κτλ.* Plato lib. X. de Republica pag. 617. (ed. Bekker. Part. III. Vol. I. pag. 509.) *Ἀνάγκης θυγατρὸς κόρης Λαχέσεως λόγος. Ψυχαὶ ἐφήμεροι, ἀρχὴ ἄλλης περιόδου θνητοῦ γένους*

μὲν οὖν οἱ σοφοὶ λεγέτωσαν δαίμονας εἰληχέναι τὴν ἀνθρωπίνην ψυχὴν ἀπὸ γενέσεως· ὁ δὲ Ἰησοῦς ἡμᾶς

θανατηφόρου, οὐχ ὑμᾶς δαίμων λήξεται, ἀλλ' ὑμεῖς δαίμονα αἱρήσεσθε. Πρῶτος δ' ὁ λαχὼν, πρῶτος αἱρείσθω βίον, ᾧ συνέσται ἐξ ἀνάγκης. Ἀρετὴ δὲ ἀδέσποτον, ἣν τιμῶν καὶ ἀτιμάζων, πλέον καὶ ἔλαττον αὐτῆς ἕκαστος ἕξει. Αἰτία ἑλομένου· θεὸς ἀναίτιος. Et pag. 620. (ed. Bekker. pag. 514.) Ἐπειδὴ δ' οὖν πάσας τὰς ψυχὰς τοὺς βίους ἠρῆσθαι, ὥσπερ ἔλαχον, ἐν τάξει προσιέναι πρὸς τὴν Λάχεσιν· ἐκείνην δ' ἑκάστῳ ὃν εἵλετο δαίμονα, τοῦτον φύλακα ξυμπέμπειν τοῦ βίου, καὶ ἀποκληρωτὴν τῶν αἱρεθέντων. Plato in Phaedro pag. 252. (ed. Bekker. Part. I. Vol. I. pag. 50. seqq.) Isidorus, Basilidis discipulus, in primo Commentarior. ad prophetam Parchor, haec refert de Aristotele: Φασὶ δὲ οἱ Ἀττικοὶ μεμηνῦσθαί τινα Σωκράτει, παρεπομένου δαίμονος αὐτῷ· καὶ Ἀριστοτέλης δαίμοσι κεχρῆσθαι πάντας ἀνθρώπους λέγει, συνομαρτοῦσιν αὐτοῖς παρὰ τὸν χρόνον τῆς ἐνσωματώσεως· προφητικὸν τοῦτο μάθημα λαβὼν, καὶ καταθέμενος εἰς τὰ ἑαυτοῦ βιβλία· μὴ ὁμολογήσας, ὅθεν ὑφείλετο τὸν λόγον τοῦτον. Clemens Stromat. lib. VI. pag. 641. Plotin lib. IV. Ennead. III. Τίς οὖν δαίμων, ὁ καὶ ἐνταῦθα; Τίς δὲ θεὸς ἢ ὁ ἐνταῦθα. Τὸ γὰρ εὐεργῆσαν, τοῦτο ἕκαστον ἄγει, ἄτε καὶ ἐντεῦθεν ἡγούμενον. Ἆρ' οὖν τοῦτό ἐστιν ὁ δαίμων, ὅσπερ ζῶντα εἰλήχει, ἢ οὔ; Ἀλλὰ τὸ πρὸ αὐτοῦ. Τοῦτο γὰρ ἐφέστηκεν ἀργοῦν· ἐνεργεῖ δὲ, τὸ μετ' αὐτό. Καὶ (ἑσμὲν) εἰ μὲν, τὸ ἐνεργοῦν, ἢ αἰσθητικοὶ, καὶ ὁ δαίμων τὸ λογικόν· εἰ δὲ κατὰ τὸ λογικὸν, ζωὴ μὲν ὁ δαίμων τὸ ὑπὲρ τοῦτο ἐφεστὼς ἀργὸς, συγχωρῶν τῷ ἐργαζομένῳ. Ὀρθῶς οὖν λέγεται ἡμᾶς αἱρήσεσθαι· τὸν γὰρ ὑπερκείμενον κατὰ τὴν ζωὴν αἱρούμεθα, κτλ. Proclus lib. I. in Tim. Καὶ γὰρ πᾶσα ψυχὴ πάντως ἔχει θεὸν ἔφορον. Idem de Anima et Daemone: »Et quemadmodum deos duces, sic et daemonas curatores pater ille, faberque mundi, traditur animis praefecisse: quapropter Socrates curatorem sui appellat praefectum sibi dae-

ἐδίδαξε μηδὲ τῶν ἐν τῇ ἐκκλησίᾳ μικρῶν καταφρονεῖν, λέγων ὅτι »οἱ [1]) ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς·« καὶ ὁ προφήτης δέ φησιν, ὅτι »παρεμβαλεῖ [2]) ἄγγελος κυρίου

---

monem, atque Deum.« Jamblich. de Mysteriis, cap. De suo cuique daemone. Seneca, epist. CXI. Amnian. Marcell. lib. XXI. Consentiunt Patres. Origenes lib. III. cap. II. num. 4. περὶ ἀρχῶν, ed. Redepenning. pag. 282. seq. »Quod vero etiam per angelos vel bonos, vel malos aliqua humanis cordibus suggerantur, designat vel Tobiam angelus comitatus vel prophetae sermo, dicentis: *Et respondit angelus, qui loquebatur in me:* (Zach. I, 14.) sed et Pastoris liber haec eadem declarat, (Past. Herm. Mand. VI, 2.) dicens quod bini angeli singulos quosque hominum comitentur: et si quando bonae cogitationes cor nostrum adscenderint, a bono angelo suggeri dicit; si vero contrariae, mali angeli dicit esse instinctum. Eadem quoque Barnabas in epistola sua declarat, (ep. Barnab. pag. 50. Coteler. Cfr. Origen. hom. XII. in Lucam; XXIII. in Jes. Nave, contra Cels. lib. VIII. in fine,) cum duas vias esse dicit, unam lucis, alteram tenebrarum, quibus et praeesse certos quosque angelos dicit: viae quidem lucis angelos Dei; tenebrarum autem viae, angelos Satanae.« Vide Homil. XIII. et XXXV. in Luc. Basil. Homil. in Psalm. XXXIII. Παντὶ πεπιστευκότι εἰς τὸν κύριον ἄγγελος παρεδρεύει, ἐὰν μήποτε αὐτὸν ἡμεῖς ἐκ τῶν πονηρῶν ἔργων ἀποδιώξωμεν· ὡς γὰρ τὰς μελίσσας καπνὸς φυγαδεύει, καὶ τὰς περιστερὰς δυσωδία ἐξελαύνει· οὕτω καὶ τὸν φύλακα τῆς ζωῆς ἡμῶν ἄγγελον ἡ πολύδακρυς καὶ δυσώδης ἀφίστησιν ἁμαρτία. Tertull. de Anima, cap. XXXVII. Gregor. Nyssen. in mystica interpretatione vitae Mosis. Hilarius in Psalm. CXXXIII. Basil. in Enarrat. ad cap. V. Jesaiae. Auctor Quaest. et Respons. ad orthodoxos apud Justinum, Quaest. XXX. Lactant. lib. I. cap. XV. Spenc.

[1]) Cfr. Matth. XVIII, 10.

[2]) Psalm. XXXIV, 7. (XXXIII.) — Edd. Spenc.

κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς.« Οὐκ ἀναιροῦμεν οὖν καὶ ἡμεῖς τὸ πολλοὺς εἶναι δαίμονας ἐπὶ γῆς, ἀλλὰ φαμεν εἶναι μὲν αὐτοὺς, καὶ δύνασθαι ἐν τοῖς φαύλοις, διὰ τὴν ἐκείνων κακίαν· μηδὲν δὲ δύνασθαι πρὸς τοὺς ἐνδυσαμένους [1]) »τὴν πανοπλίαν τοῦ θεοῦ,« καὶ ἀναλαβόντας ἰσχὺν »πρὸς [2]) τὸ ἀντιστῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου,« καὶ μελετῶντας ἀεὶ τὰ ἐκείνων παλαίσματα, τῷ ἐγνωκέναι »ὅτι [3]) οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ [4]) αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.«

35. Κατανοήσωμεν δὲ καὶ ἄλλην λέξιν τοῦ Κέλσου οὕτως ἔχουσαν· »Ἢ ὁ μὲν τοῦ Περσῶν ἢ Ῥωμαίων βασιλέως σατράπης, καὶ ὕπαρχος, ἢ στρατηγὸς, ἢ ἐπίτροπος, ἔτι μὴν καὶ οἱ τὰς μικροτέρας ἀρχὰς ἢ ἐπιμελείας ἢ ὑπηρεσίας ἔχοντες, μέγα δύναιντ' ἂν βλάπτειν ἀμελούμενοι· οἱ δ' ἐναέριοί τε καὶ ἐπίγειοι σατράπαι, καὶ διάκονοι, μικρὰ βλάπτοιεν ἂν ὑβριζόμενοι;« Ὅρα δὴ πῶς ἀνθρωπικοὺς [5]) σατράπας τοῦ ἐπὶ πᾶσι θεοῦ, καὶ ὑπάρχους, καὶ στρατηγοὺς, καὶ ἐπιτρόπους, καὶ τοὺς μικροτέρας ἀρχὰς καὶ ἐπιμελείας καὶ ὑπηρεσίας (401) ἔχοντας εἰσάγει μεγάλα βλάπτοντας τοὺς ὑβρίζοντας· οὐχ ὁρῶν, ὅτι οὐδὲ σοφὸς ἄνθρωπος βλάψαι ἂν βούλοιτό τινα, ἀλλ', ὅση δύναμις, καὶ τοὺς ὑβρίζοντας ἐπιστρέφειν καὶ βελτιοῦν· εἰ μὴ ἄρα Λυκούργου τοῦ Λακεδαιμονίων νομοθέτου, καὶ τοῦ Κιττιέως Ζήνωνος, χείρους εἰσὶν οἱ κατὰ τὸν Κέλσον σατράπαι, καὶ ὕπαρ-

παρεμβολεῖ. Jam Boherell. vero: »Lege, ut in libris editis, et lib. huj. num. 36. παρεμβαλεῖ.«

[1]) Cfr. Ephes. VI, 11. [2]) Cfr. Ephes. VI, 11.

[3]) Cfr. Ephes. VI, 12.

[4]) Verba: τοῦ αἰῶνος, in antea editis (v. c. eddd. Spenc.) omissa supplentur e Mss. R.

[5]) Forte legendum: ἀνθρωπικῶς. R.

χοι, καὶ στρατηγοὶ τοῦ ἐπὶ πᾶσι θεοῦ· ὅτι Λυκοῦργος μὲν, λαβὼν ἐξουσίαν τοῦ ἐκκόψαντος [1]) αὐτοῦ τὸν ὀφθαλμὸν, οὐ μόνον οὐκ ἠμύνατο, ἀλλὰ καὶ οὐκ ἐπαύσατο κατεπᾴδων αὐτῷ, ἕως αὐτὸν πείσῃ [2]) φιλοσοφεῖν· Ζήνων δὲ πρὸς τὸν εἰπόντα· »Ἀπολοίμην, ἐὰν μή σε τιμωρήσωμαι·« [3]) »ἐγὼ δὲ, εἶπεν, ἐὰν μή σε φίλον κτήσωμαι.« Καὶ οὐδέ πω λέγω τοὺς κατὰ τὴν διδασκαλίαν Ἰησοῦ πεποιωμένους, καὶ ἀκούσαντας τοῦ· »ἀγαπᾶτε [4]) τοὺς ἐχθροὺς ὑμῶν, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς· ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὃς τὸν ἥλιον αὐτοῦ [5]) ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.« Καὶ ἐν τοῖς προφητικοῖς δὲ λόγοις ὁ δίκαιος τοιαῦτά φησι· »κύριε [6]) ὁ θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά· ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός· καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου.«

36. Ἀλλὰ [7]) οὐχ, ὡς οἴεται Κέλσος, βλάπτουσιν οἱ ἀληθῶς σατράπαι, καὶ ὕπαρχοι, καὶ στρατηγοὶ, καὶ ἐπίτροποι τοῦ θεοῦ ἄγγελοι τοὺς ὑβρίζοντας· εἰ δέ τινες βλάπτουσι δαίμονες, οὓς ἐφαντάσθη καὶ ὁ Κέλσος, βλάπτουσιν ὡς φαῦλοι, καὶ μηδεμίαν σατραπείαν, ἣ

---

[1]) Nimirum Ἀλκάνδρου. Vide Plutarchum in Lycurgo.

[2]) Sic recte Mss. Libri autem editi (v. c. edd. Spenc.) habent: πείσει. R. — Jam Boherellus: »Melius: πείσῃ.«

[3]) Verba: τιμωρήσωμαι· ἐγὼ δὲ, εἶπεν, ἐὰν μή σε, desiderantur in omnibus Mss., sed ab Hoeschelio suppleta sunt e Plutarchi libro: de ira cohibenda. R. — In edd. Spenc. uncis inclusa leguntur haec verba.

[4]) Cfr. Matth. V, 44. 45.

[5]) Edd. Spenc. αὐτοῦ. Jam Boherell. vero: αὑτοῦ.

[6]) Cfr. Psalm. VII, 3. 4. 5

[7]) Edd. Spenc. Ἀλλ' οὐχ, ὡς οἴεται κτλ.

στρατηγίαν, ἢ ἐπιτροπὴν θεοῦ ἐγκεχειρισμένοι· καὶ βλάπτουσι τοὺς ὑποκειμένους αὐτοῖς καὶ ὑποτάξαντας ἑαυτοὺς ὡς δεσπόταις ἐκείνοις. Τάχα γὰρ καὶ διὰ τοῦτο οἱ καθ' ἕκαστον τόπον εἰς τὰ νενομισμένα βρώμαια μὴ δεῖν ἐσθίεσθαι παρανομοῦντες, εἰ μὲν τῶν ὑπὸ τοὺς δαίμονας εἶεν [1]) ἐκείνους, βλάπτονται· εἰ δέ τινες τῶν οὐχ ὑπ' ἐκείνους, οὐδὲ αὐτοὺς ὑποτάξαντες τῷ [2]) τοῦ τόπου δαιμονίῳ, ἐλεύθεροι ἀπὸ τοῦ ὑπ' ἐκείνων παθεῖν, μακρὰ χαίρειν εἰπόντες [3]) τοῖς τοιοισδὶ δαιμονίοις, [4]) ἄλλοις διὰ τὴν περὶ ἄλλα ἄγνοιαν ἑαυτοὺς ὑποτάξαντες, ὑπ' ἐκείνων πάσχειν δύνανται· ἀλλ' οὐ Χριστιανὸς, ὁ ἀληθῶς χριστιανὸς, καὶ ὑποτάξας ἑαυτὸν μόνῳ τῷ θεῷ καὶ τῷ λόγῳ αὐτοῦ, πάθοι τι ἂν ὑπὸ τῶν δαιμονίων, ἅτε κρείττων δαιμόνων τυγχάνων· καὶ οὐ πάθοι γ' ἄν, ἐπεὶ »παρεμβαλεῖ [5]) ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς,« καὶ ὁ ἄγγελος [6]) αὐτοῦ, διὰ παντὸς βλέπων τὸ πρόσωπον τοῦ ἐν οὐρανοῖς πατρὸς, ἀεὶ τὰς εὐχὰς αὐτοῦ ἀναφέρει διὰ τοῦ μόνου ἀρχιερέως τῷ θεῷ τῶν ὅλων, καὶ αὐτὸς συνευχόμενος τῷ [7]) ὑπ' αὐτοῦ ἐπιτροπευομένῳ. Μὴ [8]) μορ-

---

[1]) Edd. Spenc. εἶεν, ἐκείνους βλάπτονται. Hinc Boherellus: »Lege: ἐκεῖνοι βλάπτονται, vel potius: ὑπ' ἐκείνων βλάπτονται. Aut omnino dele: ἐκείνους, natum e subsequenti linea.«

[2]) Vide Huet. Origenianor. lib. II. quaest. V. de Angelis.

[3]) Boherellus: »Lego: εἴποιεν.«

[4]) Edd. Spenc. δαιμονίοις. Ἄλλοις κτλ. Hinc Boherellus: »Voc. Ἄλλοις addendum puto δέ, ut ad eosdem pertineat, de quibus jam dictum est.«

[5]) Psalm. XXXIV, 7. (XXXIII.) — Cfr. lib. huj. num. 34. [6]) Cfr. Matth. XVIII, 10.

[7]) Libri antea editi: τῷ ὑπ' αὐτῶν ἐπιτροπευομένῳ, sed Mss. ut in nostro textu. R. — Edd. Spenc. τῷ ὑπ' αὐτῶν ἐπιτροπευμένῳ. Jam Boherell. vero: »Lege: τῷ ὑπ' αὐτοῦ ἐπιτροπευομένῳ.«

[8]) Dubitat Guietus, an non legendum sit: Μὴ μορμολυττέσθω τοίνυν πρὸς ὑμᾶς. R.

μολυτιέσθω τοίνυν ἡμᾶς ὁ Κέλσος, ἀπειλῶν τὴν ἀπὸ τῶν δαιμόνων βλάβην, ὑφ' ἡμῶν ἀμελουμένων· οὐδὲν γὰρ ἡμῖν δαίμονες (402) ἀμελούμενοι ποιεῖν ἂν δύναιντο, ἀνακειμένοις τῷ μόνῳ βοηθεῖν πᾶσι τοῖς ἀξίοις δυναμένῳ· ἐφιστάντι δ' οὐδὲν ἧττον καὶ τοὺς ἰδίους ἀγγέλους τοῖς εἰς αὐτὸν εὐσεβοῦσιν, ἵνα μηδὲν οἱ ἐναντίοι ἄγγελοι, μηδ' ὁ τούτων »ἄρχων,«[1]) λεγόμενος »τοῦ αἰῶνος[2]) τούτου,« ἐνεργεῖν κατὰ τῶν ἀνακειμένων τῷ θεῷ δυνηθῇ.

37. Εἶτ' ἐπιλαθόμενος, ὅτι Χριστιανοῖς λαλεῖ τοῖς μόνῳ τῷ θεῷ διὰ τοῦ Ἰησοῦ εὐχομένοις, καὶ συμφύρων τὰ ἑτέρων, καὶ ἀλόγως Χριστιανοῖς συνάπτων αὐτὰ, φησίν· »Ἐὰν μὲν βαρβάρως αὐτοὺς ὀνομάζῃ τις, δύναμιν ἕξουσιν· ἐὰν δὲ Ἑλληνικῶς, ἢ Ῥωμαϊκῶς, οὐκ ἔτι.« Δειχνύτω γὰρ τίνα ἡμεῖς βαρβάρως ὀνομάζομεν, ὡς καλοῦντες αὐτὸν ἐπὶ βοήθειαν· καὶ πειθέσθω,[3]) μάτην καθ' ἡμῶν ταῦτα εἰρηκέναι τὸν Κέλσον· ἐφιστὰς,[4]) ὅτι οἱ λοιποὶ τῶν Χριστιανῶν οὐδὲ τοῖς ἐν ταῖς θείαις γραφαῖς κειμένοις ὀνόμασι, καὶ τεταγμένοις ἐπὶ τοῦ θεοῦ, χρῶνται ἐν ταῖς εὐχαῖς· ἀλλ' οἱ μὲν Ἕλληνες Ἑλληνικοῖς, οἱ δὲ Ῥωμαῖοι Ῥωμαϊκοῖς, καὶ οὕτως ἕκαστος κατὰ τὴν ἑαυτοῦ διάλεκτον εὔχεται τῷ θεῷ, καὶ ὑμνεῖ αὐτὸν ὡς δύναται· καὶ ὁ πάσης διαλέκτου κύριος τῶν ἀπὸ πάσης διαλέκτου εὐχομένων ἀκούει, ὡς μιᾶς, ἵν' οὕτως ὀνομάσω, φωνῆς, τῆς[5]) κατὰ τὰ σημαινόμενα,

---

[1]) Cfr. Ev. Joann. XIV, 30.

[2]) Libri editi (v. c. edd. Spenc.) in margine: κόσμου. R. — Cfr. ev. Joann. XIV, 30.

[3]) Codd. Reg. et Basil. πειθέσθω. Libri editi (v. c. edd. Spenc.) πυθέσθω. R.

[4]) Boherellus: »Malim: ὁ ἐφιστάς, ut commodius jungatur cum praecedenti πυθέσθω. Quod autem Spencer. pro: λοιποί, legit: λύγιοι, id non est necesse: nam οἱ λοιποὶ τῶν Χριστιανῶν, sunt Christiani omnes, praeter Haereticos illos, quos Celsus innuit.«

[5]) Verba: τῆς κατὰ τὰ σημαινόμενα, ἀκούων δη-

ἀκούων, δηλουμένης ἐκ τῶν ποικίλων διαλέκτων. Οὐ γάρ ἐστιν ὁ ἐπὶ πᾶσι θεὸς εἷς τις τῶν κεκληρωμένων διάλεκτόν τινα βάρβαρον ἢ Ἕλληνα, καὶ μηκέτι τὰς λοιπὰς ἐπισταμένων, ἢ μηκέτι τῶν ἐν ἄλλαις διαλέκτοις λεγόντων[1]) φρονιζόντων.[2])

38. Εἶτα μετὰ ταῦτα, ἤτοι μηδενὸς ἀκούσας Χριστιανοῦ, ἢ τινος ἀπὸ τῶν πολλῶν παρανόμου καὶ ἀπαιδεύτου, φησὶ τοὺς Χριστιανοὺς λέγειν· »Ἰδοὺ, παραστὰς τῷ ἀγάλματι τοῦ Διὸς, ἢ Ἀπόλλωνος, ἢ ὅτου δή ποτε θεοῦ,[3]) βλασφημῶ, καὶ ῥαπίζω, καὶ οὐδέν με ἀμύνεται·« οὐχ ὁρῶν, ὅτι ἐν τῇ θείᾳ νομοθεσίᾳ προστέτακται μετὰ[4]) τῶν ἄλλων καὶ τό· »Θεοὺς[5]) οὐ κακολογήσεις·« ἵνα μὴ ἐθίζηται ἡμῶν τὸ στόμα ὄντιναοῦν κακολογεῖν, ἀκουόντων· »εὐλογεῖτε,[6]) καὶ μὴ καταρᾶσθε·« καὶ διδασκομένων, ὅτι »οἱ[7]) λοίδοροι βασιλείαν θεοῦ οὐ κληρονομήσουσι.« Τίς δ' οὕτως ἐν ἡμῖν ἠλίθιος, ὡς ταῦτα λέγειν, καὶ μὴ ὁρᾷν, ὅτι οὐδὲν δύναται τὸ τοιοῦτο πρὸς καθαίρεσιν τῆς περὶ τῶν νομιζομένων θεῶν ὑπολήψεως; ὅπου γε καὶ οἱ πάντη ἄθεοι, καὶ τὴν πρόνοιαν ἀνελόντες, καὶ σύστημα νομιζομένων φιλοσόφων διὰ τῶν μοχθηρῶν δογμάτων καὶ ἀσεβῶν γεννήσαντες, οὔτ'[8]) αὐτοὶ πεπόνθασιν ὧν οἱ πολλοὶ νομίζουσι κακῶν, οὔθ' οἱ τα ἐκείνων ἀσπασάμενοι δύ-

---

λουμένης ἐκ τῶν ποικίλων διαλέκτων, Guieto aliena et addititia videntur. Qua de causa, ignorare me fateor. R.

[1]) Edd. Spenc. ad marg. »Forte: λεγομένων.«

[2]) Hoeschel. in textu, Codd. Reg. Basil. et duo Anglicani: φρονιτίζειν. R. — Edd. Spenc. in textu: φρονιτιζόντων, ad marg. φρονιτίζειν, ἢ φρονιτίζων.

[3]) Pro θεοῦ Codd. Reg. et Basil. habent: τινός. R.

[4]) Verba: μετὰ τῶν ἄλλων, desunt in antea editis (v. c. edd. Spenc.), sed restituuntur e Mss. R.

[5]) Exod. XXII, 28. [6]) Rom. XII, 14.

[7]) Cfr. I Cor. VI, 10.

[8]) Guieto videtur forsan scribendum: οὔτ' αὐτοί τι πεπόνθασιν ὧν κτλ. R.

γματα· ἀλλὰ γὰρ καὶ πλουτοῦσι καὶ ὑγιαίνουσι τὰ σώματα. Εἰ δὲ βλάβην τις ζητεῖ ἐν ἐκείνοις, ὁράτω, ὅτι ἀληθῶς[1]) εἰσι βεβλαμμένοι. Ποία γὰρ μείζων βλάβη τοῦ μὴ νοεῖν ἀπὸ τῆς τάξεως τοῦ κόσμου τὸν πεποιηκότα; Ποία δὲ χείρων ταλαιπωρία τοῦ[2]) τετυφλῶσθαι τὸν νοῦν, καὶ μὴ (403) βλέπειν τὸν παντὸς νοῦ δημιουργὸν καὶ πατέρα;

39. Περιθεὶς δὲ ἡμῖν τοιούτους λόγους, καὶ συκοφανιῶν Χριστιανοὺς, οὐ λέγοντας τὰ τοιαῦτα, ἑαυτῷ ἀπολογίαν πορίζειν νομίζει, παίγνιον μᾶλλον ἢ ἀπολογίαν τυγχάνουσαν, ἐν ᾗ φησιν ὡς πρὸς ἡμᾶς· »Οὐχ ὁρᾷς οὖν, ὦ βέλτιστε, ὅτι καὶ τὸν σὸν δαίμονα καταστάς τις οὐ βλασφημεῖ μόνον, ἀλλὰ καὶ πάσης γῆς καὶ θαλάσσης ἐκκηρύττει· καὶ σὲ τὸν καθωσιωμένον ὥσπερ ἄγαλμα αὐτῷ δήσας ἀπάγει, καὶ ἀνασκολοπίζει· καὶ ὁ δαίμων, ἢ, ὡς σὺ φῂς, ὁ τοῦ θεοῦ παῖς, οὐδὲν αὐτὸν ἀμύνεται;« Χώραν δ' εἶχεν ἡ ἀπολογία αὕτη εἰ τοιούτοις λόγοις, οἱοίους ἡμᾶς ἀνέγραψεν λέγοντας, ἐχρώμεθα· καί τοί γε οὐδ' οὕτως ἀληθῆ ἔλεγε, δαίμονα εἰπὼν τὸν υἱὸν τοῦ θεοῦ. Κατὰ μὲν οὖν ἡμᾶς, τοὺς λέγοντας πάντας δαίμονας εἶναι φαύλους, οὐ δαίμων ὁ τοὺς τοσούσδε ἐπιστρέψας πρὸς τὸν θεὸν, ἀλλὰ θεὸς λόγος, καὶ θεοῦ παῖς· κατὰ δὲ Κέλσον, μηδὲν ἐμφήνανται περὶ φαύλων δαιμόνων, οὐκ οἶδ' ὅπως ἐπιλαθόμενον ἑαυτοῦ, δαίμων ὁ Ἰησοῦς εἴρηται. Ὕστερον μέντοι γε τὰ λεγόμενα περὶ τῶν ἀσεβῶν φθάσει μετὰ πάντα τὰ φάρμακα, ἅπερ οὐ προσήκαντο, ἐπὶ τοὺς καταλαμβανομένους ἐν τῇ, ὡς ἂν εἴποι τις, ἀνιάτῳ κακίᾳ.

40. Καὶ ἡμεῖς μὲν ὅ, τί ποτε περὶ κολάσεως λέγοντες, καὶ διὰ τῆς περὶ κολάσεως διδασκαλίας πολλοὺς

---

[1]) Libri editi (v. c. edd. Spenc.) in marg. ἀληθῶς εἰσιν οἱ βεβλαμμένοι. R.

[2]) Libri editi (v. c. edd. Spenc.) in marg. τοῦ τε τυφλοῦσθαι. R.

ἀπὸ τῶν ἁμαρτημάτων ἐπιστρέφομεν· ὁ δὲ κατὰ τὸν Κέλσον ἑρεὺς τοῦ Ἀπόλλωνος, ἢ τοῦ Διὸς, οἷα ἀποκρίνεται κατανοήσωμεν·

Ὀψὲ,[1]) φησὶ, θεῶν ἀλέουσι μύλοι, — καί·

Ἐς[2]) παίδων παῖδας, τοί κεν μετόπισθε γένωνται.

Ὅρα δὲ ὅσῳ τούτου βέλτιον τό· »Οὐκ[3]) ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, οὐδὲ υἱοὶ ἀποθανοῦνται ὑπὲρ πατέρων· ἕκαστος τῇ ἁμαρτίᾳ ἑαυτοῦ ἀποθανεῖται·« καὶ τοῦτο· »τοῦ[4]) φαγόντος τὸν ὄμφακα αἱμωδιάσουσιν οἱ ὀδόντες αὐτοῦ·« καὶ τό· »υἱὸς[5]) οὐ λήψεται ἀδικίαν πατρὸς, καὶ πατὴρ οὐ λήψεται ἀδικίαν υἱοῦ· δικαιοσύνη δικαίου ἐπ' αὐτὸν ἔσται, καὶ ἀνομία ἀνόμου ἐπ' αὐτὸν ἔσται.« Ἐὰν δέ τις ὅμοιον εἶναι λέγῃ τῷ·

Ἐς[6]) παίδων παῖδας, τοί[7]) κεν μετόπισθε γένωνται·

τό· »ἀποδιδοὺς[8]) ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς[9]) μισοῦσί με·« μαν-

---

[1]) Dictio proverbialis, e versu, qui legitur apud Sext. Empiric. contra mathematic. Lib. I. pag. 279., desumta: Ὀψὲ θεῶν ἀλέουσι μύλοι, ἀλέουσι δὲ λεπτά. Cfr. Plutarch. de sera numinis vindicta, cap. 3., ed. Hutten. Vol. X. pag. 220., ubi haec leguntur: Ὥστ' οὐχ ὁρῶ, τί χρήσιμον ἔνεστι τοῖς ὀψὲ δὴ τούτοις ἀλεῖν λεγομένοις μύλοις τῶν θεῶν, καὶ ποιοῦσι τὴν δίκην ἀμαυρὰν, καὶ τὸν φόβον ἐξίτηλον τῆς κακίας.

[2]) Cfr. Iliad. lib. XX. vers. 308., ubi haec leguntur: Καὶ παίδων παῖδες, τοί κεν μετόπισθε γένωνται.

[3]) Cfr. Deut. XXIV, 16 coll. Jerem. XXXI, 30.

[4]) Jerem. XXXI, 30. [5]) Cfr. Ezech. XVIII, 20.

[6]) Cfr. Iliad. lib. XX. vers. 308. coll. pag. huj. not. 2.

[7]) Rectius Mss. οἳ καὶ μετόπισθε γένωνται, quam libri antea editi (v. c. edd. Spenc.) οἵ καὶ ὄπισθεν γένωνται. Legendus autem hic versus ut supra. R. — Cfr. pag. huj. not. 2. [8]) Cfr. Exod. XX, 5.

[9]) Libri editi (v. c. edd. Spenc., uncis pronom. με appositis) τοῖς μισοῦσί με· μαθέτω. At Mss. ut in nostro textu. R.

θανέτω, ὅτι ἐν τῷ Ἰεζεκιὴλ παραβολὴ τὸ τοιοῦτον εἶναι λέλεκται, αἰτιωμένῳ τοὺς λέγοντας· »οἱ[1]) πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἠμωδίασαν·« ᾧ ἐπιφέρεται· »ζῶ[2]) ἐγὼ, λέγει κύριος, ἀλλ' ἢ ἕκαστος τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται.« Οὐ κατὰ τὸν παρόντα δὲ καιρόν ἐστι διηγήσασθαι, τί σημαίνει ἡ περὶ τοῦ ἐπὶ[3]) τρίτην καὶ τετάρτην γενεὰν ἀποδίδοσθαι τὰς ἁμαρτίας παραβολή.

41. Εἶτα, ὡς αἱ γραῦες, διαλοιδορούμενος ἡμῖν φησι· »Σὺ μὲν τὰ ἀγάλματα τούτων λοιδορῶν καταγελᾷς· ὃς[4]) αὐτόν γε τὸν (404) Διόνυσον ἢ τὸν Ἡρακλέα παρόντα εἰ ἐλοιδόρησας, οὐκ ἂν ἴσως χαίρων ἀπήλαξας. Τὸν δὲ σὸν θεὸν παρόντα κατατείνοντες καὶ κολάζοντες, οὐδὲν οἱ ταῦτα δράσαντες πεπόνθασιν· ἀλλ' οὐδὲ μετὰ ταῦτα ἐν τοσούτῳ βίῳ[5]) τι καινὸν ἐξ ἐκείνου γέγονε τῷ[6]) πιστεύσαντι ἂν, ὡς οὐκ ἦν ἐκεῖνος ἄνθρωπος γόης, ἀλλὰ θεοῦ παῖς. Καὶ ὁ πέμψας ἆρα τὸν υἱὸν ἀγγελμάτων[7]) τινῶν εἵνεκα, οὕτως ὠμῶς κολασθέντα, ὡς συνδιαφθεῖραι καὶ τὰ ἀγγέλματα[8]) πε-

---

[1]) Cfr. Ezech. XVIII, 2. coll. Jerem. XXXI, 30.

[2]) Cfr. Ezech. XVIII, 3. 4. coll. Deut. XXIV, 16. Jerem. XXXI, 30.

[3]) Particula ἐπί deest in antea editis (v. c. edd. Spenc.), sed suppletur e Mss. R. — Jam Boherellus: »Lege: ἐπὶ τρίτην.«

[4]) Hoeschel. in textu, Spenc. ad marg. ὡς αὐτόν γε κτλ.

[5]) Boherellus: »Distingue post βίῳ, et seqq. lege interrogative: βίῳ, τί καινόν κτλ. Verba autem sequentia: ἐξ ἐκείνου, explica: ex illo tempore.«

[6]) Boherellus: »Lege: τοῦ πιστῶσαι ἄν.«

[7]) Codd. Mss. ἀγγελμάτων. Hoeschel. (in textu): ἀγελμάτων, Spenc. (in textu): ἀγαλμάτων. R. — Hoeschel. in notis: »Cod. Boicus: ἀγγελμάτων, at Cod. Palatinus: ἄγελμα τῶν. Videtur autem ἀγαλμάτων legendum.« Spenc. ad marg. ἀγελμάτων, καί· ἀγγελμάτων.

[8]) Codd. Mss. ἀγγέλματα. Hoeschel. (in textu): ἀγέλματα, Spenc. (in textu): ἀγάλματα. R. — Hoeschel.

ριεῖδε,[1]) καὶ τοσούτου χρόνου διελθόντος οὐκ ἐπεσιράφη. Τίς οὕτως ἀνόσιος πατήρ; Ἐκεῖνος μὲν οὖν τυχὸν ἐβούλετο, ὡς φῂς, διὰ τοῦτο περιϋβρίζετο. Οὗδε δὲ, οὓς σὺ βλασφημεῖς, ἐνῆν μὲν εἰπεῖν, ὅτι καὶ αὐτοὶ βούλονται· καὶ διὰ τοῦτ' ἀνέχονται βλασφημούμενοι· τὰ γὰρ ἴσα τοῖς ἴσοις παραβαλεῖν, κράτιστον. Ἀλλ' οὗτοί γε καὶ σφόδρα ἀμύνονται τὸν βλασφημοῦντα, ἤτοι φεύγοντα διὰ τοῦτο καὶ κρυπτόμενον, ἢ ἁλισκόμενον καὶ ἀπολλύμενον.« Καὶ πρὸς ταῦτα δ' εἴποιμ' ἄν, ὅτι καὶ ἡμεῖς οὐδενὶ λοιδορούμεθα, πειθόμενοι, ὅτι »λοίδοροι[2]) βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι·« καὶ ἀναγιγνώσκοντες τό· »εὐλογεῖτε[3]) τοὺς καταρωμένους ὑμῖν·« καί·[4]) »εὐλογεῖτε,[5]) καὶ μὴ καταρᾶσθε·« εἰδότες δὲ καὶ τό· »λοιδορούμενοι[6]) εὐλογοῦμεν.« Καὶ[7]) εἴπερ τὸ λοιδορεῖν λόγον τινὰ ἔχει ἀμυντικὸν τοῦ δοκοῦντος ἠδικῆσθαι, καὶ οὐδὲ τοῦτον[8]) ἐπιτρέπει ἡμῖν

---

in notis: »Cod. Boicus: ἀγγέλματα, sed ἀγέλματα habet Cod. Palatinus et vetus interpres, qui, idem ratus significare quod ἀγέλην, gregem et oves vertit, tam hic quam pag. seq. Videtur autem ἀγάλματα legendum. Proclus, apud Epiphan. lib. II. contra Haereses, pag. 234. seq. Ἐποίησε γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. Διὸ καὶ ἐμέλησεν αὐτῷ τῆς τοῦ σφετέρου ἀγάλματος διαμονῆς, ἵνα μὴ εὐάλωτον ᾖ πρὸς διαφθοράν.« Spenc. ad marg. ἀγελματα, καί· ἀγγέλματα.

[1]) Edd. Spenc. et Ruaei in textu: περιϊδεῖν. Jam Boherell. vero, quem Ruaeus sequitur in notis: »Lego: περιεῖδε.«

[2]) Cfr. I Cor. VI, 10. [3]) Matth. V, 44.

[4]) In edd. Spenc. uncis inclusum legitur: καί.

[5]) Rom. XII, 14. [6]) I Cor. IV, 12.

[7]) Boherellus: »Legendum existimo: Καὶ εἴπερ ὅτε τὸ λοιδορεῖν.«

[8]) Mss. τοῦτον ἐπιτρέπει. Libri antea editi (v. c. edd. Spenc.) τοῦτον ἐπιτρέπειν. R. — Boherellus: »Lego: τοῦτο ἐπιτρέπει.«

ὁ τοῦ θεοῦ λόγος· πόσῳ πλέον ἔνθα πολλὴν ἠλιθιότητα ἐμφαίνει τὸ [1]) λοιδορεῖν, οὐ χρὴ λοιδορεῖν; Ἐπίσης δὲ ἠλίθιον τὸ λοιδορεῖσθαι λίθῳ, ἢ χρυσῷ, ἢ ἀργύρῳ, τοῖς μεμορφωμένοις εἰς τὴν νενομισμένην τοῖς μακρὰν θειότητος τυγχάνουσι θεῶν μορφήν. Οὕτω δὲ οὐδὲ καταγελῶμεν τῶν ἀψύχων ξοάνων, ἀλλ' [2]) ἢ ἄρα τῶν προσκυνούντων αὐτοῖς. Ἀλλ' οὐδ', ἂν ὧσί τινες δαίμονες ἐνιδρυμένοι τισὶν ἀγάλμασι, καὶ νομίζηται ὁ μέν τις αὐτῶν εἶναι Διόνυσος, ὁ δ' Ἡρακλῆς, οὐδὲ τούτοις λοιδορούμεθα· μάταιον γὰρ τὸ τοιοῦτον, καὶ οὐδαμῶς κατὰ τὸν πρέποντα καὶ εἰρηναῖον καὶ γαληνὸν τὴν ψυχὴν, καὶ μαθόντα, ὅτι οὐδὲ διὰ τὴν κακίαν δεῖ τινι λοιδορεῖσθαι, [3]) εἴτ' ἀνθρώπῳ, εἴτε δαίμονι.

42. Οὐκ οἶδα δ' ὅπως ὁ Κέλσος ἄκων ἐνέπεσεν εἰς τὸ, οὓς πρὸ βραχέος ὕμνησε δαίμονας, ἢ θεοὺς, νῦν τῷ ἔργῳ ἀποδεικνύναι φαυλοτάτους εἶναι, καὶ τιμωρουμένους μᾶλλον ἀμυντικῶς, ἤπερ κολάζοντας διορθωτικῶς, ἐπὰν αὐτοῖς λοιδορῆταί τις. Φησὶ γάρ· »Ὃς [4]) αὐτόν γε τὸν Διόνυσον ἢ τὸν Ἡρακλέα παρόντα εἰ ἐλοιδόρησας, οὐκ ἂν ἴσως χαίρων ἀπήλλαξας.« Πῶς δὲ καὶ ἀκούοι τι οὐ παρὼν, [5]) ὁ βουλόμενος παρασησάτω· καὶ διὰ τί ποτε μὲν πάρεστι, ποτὲ δὲ οὐ πάρεστι· καὶ τίς ἡ πραγματεία τοῖς δαίμοσι τῆς μεταναστάσεως ἀπὸ τόπου εἰς τόπον. Ἑξῆς δὲ τούτοις λέγει, οἰόμενος τὸ κατατεινόμενον καὶ κολαζόμενον σῶμα τοῦ Ἰησοῦ, καὶ οὐ τὴν ἐν αὐτῷ θεότητα, [6]) θεὸν ἡμᾶς λέ-

---

[1]) Edd. Spenc., uncis voc. ὅπου appositis: τὸ λοιδορεῖν, ὅπου οὐ χρὴ λοιδορεῖν. Ἐπίσης κτλ. Jam Boherell. vero: »Scribe interrogationis notam post λοιδορεῖν, neglecto voc. ὅπου.«

[2]) Edd. Spenc. ἀλλ' εἰ ἄρα κτλ.

[3]) Cfr. Exod. XXII, 28.

[4]) Hoeschel. in textu, Spenc. ad marg. Ὡς αὐτόν γε κτλ.

[5]) Hoeschel. in textu, Spenc. ad marg. παρόντα.

[6]) Hoeschel. in textu, Spenc. ad marg. θειότητα.

γειν, καὶ ὅτε κατετείνετο καὶ ἐκολάζετο, θεὸν νενομίσθαι, ὅτι »τὸν δὲ σὸν θεὸν παρόντα κατατείνοντες καὶ κολάζοντες, οὐδὲν οἱ ταῦτα (405) δράσαντες πεπόνθασι.« Πλείονα δὲ περὶ ὧν πέπονθεν ἀνθρωπίνων ἐν τοῖς ἀνωτέρω εἰπόντες, νῦν ἐκόντες παραπέμπομεν τὸν λόγον· ἵνα μὴ δοκῶμεν παλιλλογεῖν. Ἐπεὶ δέ φησι, μηδὲ »μετὰ ταῦτα ἐν τοσούτῳ βίῳ πεπονθέναι τι τούτους, τὸν Ἰησοῦν κολάσαντας·« δείξομεν αὐτῷ, καὶ πᾶσι τοῖς βουλομένοις μαθεῖν, ὅτι ἡ πόλις, ἐν ᾗ ὁ τῶν Ἰουδαίων λεὼς ἠξίωσε τὸν Ἰησοῦν σταυρωθῆναι, λέγων· »σταύρου,[1]) σταύρου αὐτόν·« καὶ[2]) προϋτιμήσαντο τὸν λῃστὴν διὰ στάσιν καὶ φόνον βληθέντα εἰς φυλακὴν ἀπολυθῆναι τοῦτον, τὸν δὲ Ἰησοῦν, διὰ φθόνον παραδοθέντα, σταυρωθῆναι,[3]) μεθ' οὗ πολὺ ἐξεπολεμήθη, καὶ ἐπὶ τοσοῦτον ἐπολιορκήθη χρόνῳ πλείονι, ὥσθ' ἑκ βάθρων αὐτὴν ἀνάστατον γενέσθαι, καὶ ἐρημωθῆναι· ἀναξίους κρίνοντος τοὺς τὸν τόπον ἐκεῖνον οἰκοῦντας τοῦ θεοῦ τῆς κοινοτέρας ζωῆς. Καὶ φειδόμενός γε αὐτῶν, ἵνα παραδόξως εἴπω, καὶ ὁρῶν ἀνιάτως ἔχοντας πρὸς τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν, καὶ ὁσημέραι αὔξοντας ἐν τῇ τῆς κακίας χύσει, παρέδωκεν αὐτοὺς τοῖς πολεμοῦσι. Καὶ ταῦτα γέγονε, διὰ τὸ ἐκχυθὲν αἷμα τοῦ Ἰησοῦ κατὰ τὴν ἐπιβουλὴν αὐτῶν ἐπὶ τὴν γῆν αὐτῶν μηκέτι δυναμένην χωρεῖν τοὺς τὸ τηλικοῦτον ἄγος κατὰ τοῦ Ἰησοῦ τολμήσαντας.

43. Καινὸν οὖν γέγονεν, ἐξ οὗ πέπονθε χρόνου ὁ Ἰησοῦς, κἀκεῖνο· λέγω δὲ τὸ κατὰ τὴν πόλιν, καὶ

---

[1]) Cfr. Luc. XXIII, 21. 25. coll. ev. Joann. XIX, 6. 15.

[2]) Deest *καί* in antea editis (v. c. edd. Spenc.), sed in marg. Cod. Joliani restituitur. R. — Boherellus: »Legendum videtur: καὶ προϋτιμήσατο.«

[3]) Desideratur σταυρωθῆναι in antea editis (v. c. edd. Spenc.), sed suppletur e Cod. Joliano. R. — Edd. Spenc. ad marg. λείπει ἴσως· σταυρωθῆναι.

πᾶν τὸ κατὰ τὸ ἔθνος, καὶ τὸ κατὰ τὴν ἀθρόαν γένεσιν ἔθνους Χριστιανῶν ὡσπερεὶ τεχθέντος εἰσάπαξ· καινὸν δὲ καὶ τὸ τοὺς ξένους[1]) τῶν διαθηκῶν τοῦ θεοῦ, καὶ ἀλλοτρίους τῶν ἐπαγγελιῶν, τοὺς μακρὰν τῆς ἀληθείας, δυνάμει τινὶ θείᾳ παραδέχεσθαι αὐτήν. Ταῦτα δὲ οὐκ ἀνθρώπου γόητος ἦν, ἀλλ' ἔργα θεοῦ, πέμψαντος τῶν αὐτοῦ ἀγγελμάτων[2]) ἕνεκα τὸν αὐτοῦ ἐν τῷ Ἰησοῦ λόγον· ὅμως[3]) κολασθέντα ὡς τὴν ὠμότητα κατηγορεῖσθαι τῶν ἀδίκως αὐτὸν κολασάντων, καὶ ἀνδρειότατα ὑπομείναντα καὶ μετὰ πάσης πραότητος· οὐ διέφθειρε δὲ ἡ κόλασις αὐτοῦ τὰ τοῦ θεοῦ ἀγγέλματα,[4]) ἀλλ', εἰ δεῖ οὕτως ὀνομάσαι, εἰς[5]) γνῶσιν αὐτὰ ἤγαγεν· ὡς καὶ αὐτὸς ἐδίδαξεν ὁ Ἰησοῦς λέγων· »ἐὰν[6]) μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει.« Ἀποθανὼν οὖν ὁ κόκκος τοῦ σίτου Ἰησοῦς πολὺν καρπὸν ἤνεγκε· καὶ ἀεὶ ὁ πατὴρ προνοεῖ τῶν ἐκ τοῦ θανάτου τοῦ κόκκου τοῦ σίτου γεγενημένων καὶ γινομένων ἔτι, καὶ ἐσομένων καρπῶν. Ὅσιος οὖν πατὴρ ὁ τοῦ Ἰησοῦ πατὴρ »τοῦ[7]) ἰδίου μὴ φεισά-

---

[1]) Cfr. Ephes. II, 12.

[2]) Mss. recte: ἀγγελμάτων. Hoeschel. in textu (Spenc. ad marg.) ἀγελμάτων, Spenc. (in textu): ἀγαλμάτων. R. — Cfr. pag. 166. not. 7. coll. 8.

[3]) Ita Codd. Reg. Basil. et Vaticanus. Quorum lectio, si ὅμως mutetur in ὠμῶς, melior videtur altera, quam impressi (v. c. edd. Spenc.) sic habent: ὅμως κολασθέντος ὡς τὴν ὠμότητα κατηγορεῖσθαι τῶν ἀδίκως αὐτὸν κολασάντων, καὶ ἀνδρειότατα ὑπομείναντος καὶ μετὰ πάσης πραότητος· οὐ διέφθειρεν ἡ κόλασις αὐτοῦ κτλ.

[4]) Edd. Spenc. in textu: ἀγάλματα, ad marg. ἀγέλματα. — Cfr. pag. huj. not. 2. coll. pag. 166. not. 8.

[5]) Hoeschel. in textu, Spenc. ad marg. ὡς γνῶσιν.

[6]) Ev. Joann. XII, 24. [7]) Cfr. Rom. VIII, 32.

μενος υἱοῦ, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παραδοὺς αὐτὸν.« ἀμνὸν [1]) ὄντα ἑαυτοῦ· ἵν' ἄρῃ τὴν ἁμαρτίαν τοῦ κόσμου ὁ ὑπὲρ παντὸς αὐτοῦ ἀποθνήσκων ἀμνὸς θεοῦ· δι' [2]) ὃ οὐκ ἀναγκαζόμενος, ἀλλ' ἑκὼν ὑπέμεινε τὰ ἀπὸ τῶν ὑβριστῶν αὐτῷ προσαγόμενα. Εἶτα μετὰ ταῦτα ὁ (406) Κέλσος, ἐπαναλαμβάνων τὸν πρὸς τοὺς βλασφημοῦντας τὰ ἀγάλματα λόγον, φησίν· »Οἵδε δὲ, οὓς σὺ βλασφημεῖς, ἐνῆν μὲν εἰπεῖν, ὅτι καὶ αὐτοὶ βούλονται, καὶ διὰ τοῦτ' ἀνέχονται βλασφημούμενοι· τὰ γὰρ ἴσα τοῖς ἴσοις παραβαλεῖν, κράτιστον. Ἀλλ' οὗτοί γε καὶ σφόδρα ἀμύνονται τὸν βλασφημοῦντα, ἤτοι γε φεύγοντα διὰ τοῦτο καὶ κρυπτόμενον, ἢ ἁλισκόμενον καὶ ἀπολλύμενον.« Οὐ βλασφημοῦντας οὖν, ἀλλ' ἀπελαύνοντας ἀπὸ τῶν ξοάνων καὶ τῶν ἀνθρωπίνων σωμάτων καὶ ψυχῶν Χριστιανοὺς [3]) ἀμύνεσθαι νομίζουσιν οἱ δαίμονες. Μὴ νοῶν γὰρ τὸ γινόμενον, ἀληθές τι κατὰ τὸν τόπον ὁ Κέλσος εἴρηκεν. Ἀληθὲς γὰρ τὸ φαύλων δαιμόνων πληρουμένας τὰς τῶν καταδικαζόντων Χριστιανοὺς ψυχὰς, καὶ [4]) τῶν προδιδόντων, καὶ τῶν εὐδοκούντων Χριστιανοῖς προσπολεμεῖν.

44. Ἀλλ', ἐπεὶ αἱ ψυχαὶ τῶν διὰ Χριστιανισμὸν ἀποθνησκόντων δι' εὐσέβειαν μετ' εὐκλείας ἀπαλλαττόμεναι τοῦ σώματος καθήρουν τὴν δύναμιν τῶν δαι-

---

[1]) Cfr. ev. Joann. I, 29.

[2]) Mss. δ' ὅν. Libri editi: διό, et δ' ὅ. R. — Edd. Spenc. in textu: διό, ad marg. δ' ὅ.

[3]) Hoeschel. in textu, Spenc. ad marg. Χριστιανῶν.

[4]) Ita Codd. Jolian. et Anglicanus primus, qui tamen pro: εὐδοκούντων, habent: εὐδαιμονούντων, sed ex correctione: εὐδοκούντων. Qua in voce allusio est ad Act. VIII, 1. Libri antea editi (v. c. edd. Spenc.) habent: καὶ τοὺς προδιδόντας, καὶ τοὺς εὐδοκοῦντας. R. — Jam Boherellus: »Melius forte: καὶ τῶν προδιδόντων, καὶ τῶν εὐδοκούντων. Qua in postrema voce allusio est ad Act. VIII, 1.«

μόνων, καὶ ἀτονωτέραν αὐτῶν ἐποίουν τὴν κατὰ τῶν ἀνθρώπων ἐπιβουλήν· διὰ τοῦτο, οἶμαι, τῇ πείρᾳ μαθόντες οἱ δαίμονες ἑαυτοὺς ἡττωμένους καὶ κρατουμένους ὑπὸ τῶν μαρτύρων τῆς ἀληθείας, ἐφοβήθησαν πάλιν ἥκειν ἐπὶ τὸ ἀμύνεσθαι· καὶ οὕτως, ἕως ἐπιλάθωνται ὧν πεπόνθασι πόνων, εἰκὸς εἶναι τὴν τοῦ κόσμου πρὸς Χριστιανοὺς εἰρήνην. Ἐπὰν δὲ συλλέξωνται τὴν δύναμιν, καὶ ὑπὸ τῆς κακίας τυφλούμενοι πάλιν ἀμύνεσθαι θέλωσι, καὶ Χριστιανοὺς διώκειν, πάλιν καθαιρεθήσονται· καὶ τότε πάλιν αἱ ψυχαὶ τῶν εὐσεβούντων, καὶ δι' εὐσέβειαν ἀποδυομένων τὰ σώματα, καθελοῦσι τὸ τοῦ πονηροῦ στρατόπεδον. Ἐγὼ δ' οἶμαι, ὅτι αἰσθόμενοι οἱ δαίμονες, ὅτι οἱ μὲν νικῶντες, καὶ δι' εὐσέβειαν ἀποθνήσκοντες, καθαιροῦσιν αὐτῶν τὴν δυναστείαν· οἱ δὲ διὰ τοὺς πόνους ἡττώμενοι, καὶ τὴν θεοσέβειαν ἀρνούμενοι, ὑποχείριοι ἐκείνοις γίνονται, ἐσθ' ὅτε προσφιλονεικοῦσι τοῖς παραδιδομένοις Χριστιανοῖς· ὡς κολαζόμενοι μὲν ὑπὸ τῆς ὁμολογίας αὐτῶν, ἀναπαυόμενοι δὲ ἐπὶ τῇ ἀρνήσει αὐτῶν. Καὶ ἔστι γε τούτων ἴχνη θεάσασθαι καὶ ἐν τοῖς δικασταῖς, κολαζομένοις μὲν ὑπὸ[1]) τοῖς ὑπομένουσι τὰς αἰκίας καὶ τὰς βασάνους· γαυρουμένοις δὲ, ὅταν Χριστιανὸς ἡττηθῇ. Καὶ γὰρ οὐδὲ διὰ δοκοῦσαν αὐτοῖς φιλανθρωπίαν ταῦτα ποιοῦσι· σαφῶς ὁρῶντες, ὅτι[2]) ἡ μὲν γλῶσσα τῶν νικωμένων ὑπὸ πόνου ὁμώμοκεν, ἡ δὲ φρὴν ἔστιν ἀνώμοτος. Καὶ ταῦτα δ' εἰς τό· »Ἀλλ' οὗτοί γε καὶ σφόδρα ἀμύνονται τὸν βλασφημοῦντα, ἤτοι φεύγοντα διὰ τοῦτο καὶ κρυπτόμενον, ἢ ἁλισκόμενον καὶ ἀπολλύμενον.« Κἂν φεύγῃ δέ τις Χριστιανὸς, οὐ

---

[1]) Edd. Spenc. et Ruaei ut nos in textu, ed. vero Ruaei in notis: »Malim: ὑπὸ τῶν ὑπομενόντων.«

[2]) Cfr. Euripid. in Hippolyt. vers. 612., ubi haec leguntur:

Ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

διὰ δειλίαν φεύγει· ἀλλὰ τηρῶν ἐντολὴν τοῦ διδασκάλου, καὶ ἑαυτὸν φυλάττων καθαρὸν ἑτέρων[1] *ὠφεληθησομένων τῇ*[2] *αὐτοῦ σωτηρίᾳ.*

45. *Ἴδωμέν γε καὶ τὰ ἐξῆς οὕτως ἔχοντα· »Τί δεῖ καταλέγειν ὅσα ἐκ χρησιηρίων, τοῦτο μὲν προφῆται καὶ προφήτιδες, τοῦτο δὲ ἄλλοι* (407) *κάτοχοι καὶ ἄνδρες καὶ γυναῖκες ἐνθέῳ φωνῇ προεῖπον; Ὅσα δὲ ἐξ αὐτῶν αὐτῶν ἠκούσθησαν θαυμάσια; Ὅσα δὲ ἐξ ἱερείων καὶ θυμάτων τοῖς χρωμένοις ἐδηλώθη; Ὅσα δ' ἐξ ἄλλων τερατίων συμβόλων; Τοῖς δ' ἐναργῆ παρέστη φάσματα. Μεσιὸς τούτων ὁ πᾶς ἐστι βίος. Πόσαι μὲν πόλεις ἐκ χρησιηρίων ὠρθώθησαν, καὶ νόσους ἀπέθεντο καὶ λιμούς; Πόσαι δ' ἀμελήσασαι τούτων, ἢ ἐκλαθόμεναι, κακῶς ἐφθάρησαν; Πόσαι δ' εἰς ἀποικίαν ἐστάλησαν, καὶ μετελθοῦσαι τὰ προσταχθέντα εὐδαιμόνησαν; Πόσοι δυνάσται, πόσοι δ' ἰδιῶται, παρὰ τοῦτο ἄμεινον ἢ χεῖρον ἀπήλλαξαν; Πόσοι μὲν ἀπαιδίας*[3] *δυσφοροῦντες, ὧν ἐδεήθησαν σχόντες·*[4] *πόσοι δαιμόνων μῆνιν διέφυγον; Πόσοι σωμάτων πηρώσεις ἰάθησαν; Πόσοι δ' αὖ πρὸς τοῖς ἱεροῖς ὑβρίσαντες αὐτίκα ἐάλωσαν, οἱ μὲν ἔκφρονες αὐτοῦ ταύτῃ κρατηθέντες, οἱ δὲ ἐξαγγείλαντες*[5] *ἃ ἔδρασαν, οἱ δὲ σφᾶς αὐτοὺς δι-*

---

[1]) Forte legendum: *ὑπὲρ ἑτέρων*. R.

[2]) Desunt in antea editis (v. c. edd. Spenc.), sed supplentur e Mss. verba: *τῇ αὐτοῦ*. R.

[3]) Libri editi (v. c. edd. Spenc.) in marg. habent: *ἀπαιδίᾳ*. Guieto videtur forsan scribendum: *ὑπὸ ἀπαιδίας δυσφοροῦντες ὧν ἐδεήθησαν, ἔσχον*. Ego malim: *ὑπὸ ἀπαιδίας*, vel: *ἐπὶ ἀπαιδίᾳ δυσφοροῦντες ὧν ἐδεήθησαν, ἔτυχον*. R. — Cfr. pag. huj. not. 4.

[4]) Boherellus: »Lego: *ἔτυχον*.« — Cfr pag. huj. not. 3.

[5]) Libri editi (v. c. edd. Spenc.) uncis verbis: *ἔδρασαν, οἱ δὲ καὶ μὴ ἐξαγγείλαντες*, appositis: *ἐξαγγείλαντες ἔδρασαν, οἱ δὲ καὶ μὴ ἐξαγγείλαντες ἃ ἔδρασαν*.

εἰργασμένοι, οἱ δὲ νόσοις ἀνηκέστοις ἐνδεθέντες; Ἤδη δὲ καὶ ἐξ αὐτῶν ἀδύτων φωνὴ βαρεῖα καθεῖλεν αὐτούς.« Οὐκ οἶδ' ὅπως καὶ ταῦτα ὡς ἐναργῆ ὁ Κέλσος προφέρεται· καὶ τὰ παρ' ἡμῖν ἀναγεγραμμένα τεράστια, εἴτ' Ἰουδαϊκὰ, εἴτε καὶ περὶ τοῦ Ἰησοῦ καὶ τῶν μαθητῶν αὐτοῦ, μύθους εἶναι νενόμικε. Τί γὰρ οὐχὶ τὰ μὲν ἡμέτερά ἐστιν ἀληθῆ, ἃ [1]) δὲ Κέλσος λέγει, ἀναπλάσματα μυθικά; Οἷς οὐδ' Ἑλλήνων φιλόσοφοι [2]) αἱρέσεις πεπιστεύκασιν, ὥσπερ [3]) ἡ Δημοκρίτου, καὶ ἡ Ἐπικούρου, καὶ ἡ Ἀριστοτέλους· τάχα ἂν πεπιστευκυῖαι διὰ τὴν ἐνάργειαν τοῖς ἡμετέροις, εἰ παρατετύχεισαν [4]) Μωϋσῇ, ἢ τινι τῶν τὰ παράδοξα ποιησάντων προφητῶν, ἢ καὶ αὐτῷ τῷ Ἰησοῦ.

46. Ἡ μὲν Πυθία ἱστόρηται, ὅτι καὶ νοθευθεῖσα

Sed quae uncinulis intercepta sunt, desiderantur in omnibus Mss. R.

[1]) Sic habent Codd. Reg. et Basil. In antea editis (v. c. edd. Spenc.) deest particula δέ. R. — Edd. Spenc. ἃ λέγει Κέλσος. Jam Boherell. vero: »Lege: ἃ δὲ λέγει Κέλσος.«

[2]) Cfr. lib. I. contra Cels. num. 64. coll. lib. III. num. 81.

[3]) Vide lib. I. contra Cels. num. 43. Vide insuper Suidam in Δωδωναῖον χαλκεῖον, ubi de Aristotele speciatim haec adnotavit: Λήμων γάρ φησιν, ὅτι τὸ τοῦ Διὸς μαντεῖον ἐν Δωδώνῃ, λέβησιν ἐν κύκλῳ περιείληπται· τούτους δὲ ψαύειν ἀλλήλοις· καὶ κρουθέντος τοῦ ἑνὸς, ἠχεῖν ἐκ διαδοχῆς πάντας· ὡς διὰ πολλοῦ χρόνου γίνεσθαι τῆς ἠχῆς τὴν περίοδον. Ἀριστοτέλης δὲ, ὡς πλάσμα διελέγχων, δύο φησὶ στύλους εἶναι· καὶ ἐπὶ μὲν τοῦ ἑτέρου λέβητα· ἐπὶ θατέρου δὲ, παῖδα κρατοῦντα μάστιγα· ἧς τοὺς ἱμάντας χαλκείους ὄντας σειομένους ὑπ' ἀνέμου τῷ λέβητι προσκρούειν· τὸν δὲ τυπτόμενον ἠχεῖν.

[4]) Hoeschel. in textu, Spenc. ad marg. παρατετεύχεισαν.

ἔχρησέ ποτε· οἱ δὲ παρ' ἡμῖν προφῆται οὐ μόνον ὑπὸ τῶν κατ' αὐτοὺς ἐθαυμάσθησαν, διὰ τὴν ἐνάργειαν τῶν λεγομένων ὑπ' αὐτῶν, ἀλλὰ καὶ ἐν τοῖς ἔξῆς χρόνοις. Ἐκ γὰρ ὧν ἔχρησαν οἱ προφῆται καὶ πόλεις ὠρθώθησαν, καὶ ἄνθρωποι ὑγιάσθησαν, καὶ λιμοὶ ἐπαύσαντο· ἀλλὰ καὶ εἰς ἀποικίαν [1]) σαφῶς τὴν ἀπ' Αἰγύπτου εἰς τὴν Παλαιστίνην κατὰ χρησμοὺς ἐλήλυθεν ὅλον τὸ Ἰουδαίων ἔθνος· ὅπερ μετελθὸν μὲν τὰ προσταχθέντα ὑπὸ τοῦ θεοῦ εὐδαιμόνησε, σφαλὲν δὲ μετέγνω. Τί δὲ δεῖ λέγειν ὅσοι δυνάσται καὶ ὅσοι ἰδιῶται, κατὰ τὰς ἱστορίας τῆς γραφῆς, ἄμεινον ἢ χεῖρον προσέχοντες ταῖς προφητείαις, ἢ ἀμελήσαντες, ἀπήλλαξαν; Εἰ δὲ καὶ περὶ ἀπαιδίας δεῖ λέγειν, [2]) ἐφ' ᾗ δυσφοροῦντές τινες γεγόνασι πατέρες ἢ μητέρες, τὰς περὶ τούτου εὐχὰς ἀναπέμψαντες τῷ τῶν ὅλων δημιουργῷ· ἀναγνώτω τις τὰ περὶ τοῦ Ἀβραὰμ [3]) καὶ τῆς Σάρρας, ἐξ ὧν γέγονεν Ἰσαὰκ ἤδη [4]) γεγηρακότων ὁ παντὸς τοῦ Ἰουδαίων ἔθνους πατὴρ, καὶ ἑτέρων παρὰ τούτους· ἀναγνώτω δὲ καὶ τὰ περὶ Ἰεζεκίου, οὐ μόνην ἀπαλλαγὴν νόσου λαβόντος, κατὰ (408) τὰς Ἡσαΐου προφητείας· [5]) ἀλλὰ καὶ τεθαρρηκότως εἰπόντος τό· »ἀπὸ [6]) γὰρ τοῦ νῦν παιδία ποιήσω, ἃ ἀναγγελεῖ τὴν δικαιοσύνην σου.« Καὶ ἐν τῇ τετάρτῃ δὲ τῶν Βασιλειῶν [7]) ἡ ὑποδεξαμένη

---

[1]) Cfr. Exod. III, 8.

[2]) Recte sic habent Codd. Reg. et Basileensis. Male autem libri antea editi (v. c. edd. Spenc.) λέγειν, ὡς ἔφη, δυσφοροῦντές τινες. R. — Jam Boherellus: »Melius forte legas: ὡς δυσφοροῦντες, deleto ἔφη.«

[3]) Cfr. Gen. XVII, 19. coll. XXX, 17. 22.

[4]) Verba: ἤδη γεγηρακότων ὁ παντὸς τοῦ Ἰουδαίων ἔθνους πατήρ, quae in antea editis (v. c. edd. Spenc.) desiderantur, restituuntur e Codd. Mss. R.

[5]) Cfr. Jesai. XXXVIII, 5.

[6]) Cfr. Jesai. XXXVIII, 19.

[7]) Cfr. II Regg. IV, 16. 17. (IV Regg.)

τὸν Ἐλισσαῖον, χάριτι θεοῦ προφητεύσαντα περὶ γενέσεως παιδὸς, κατὰ τὰς εὐχὰς τοῦ Ἐλισσαίου γέγονε μήτηρ. Ἀλλὰ καὶ πηρώσεις ἰάθησαν μυρίαι ὑπὸ τοῦ Ἰησοῦ.[1]) Καὶ ἄλλοι πρὸς τῷ ἐν Ἱεροσολύμοις ἱερῷ τολμήσαντες ὑβρίσαι τὴν Ἰουδαϊκὴν θρησκείαν, πεπόνθασι τὰ ἀναγεγραμμένα ἐν τοῖς Μακκαβαϊκοῖς.[2])

47. Ἀλλ' ἐροῦσιν Ἕλληνες ταῦτα μύθους, καί τοί γε μαρτυρούμενα ὡς ἀληθῆ ὑπὸ ὅλων δύο ἐθνῶν. Τί δὲ, οὐχὶ μᾶλλον τὰ Ἑλλήνων μῦθοι, ἢ ταῦτα; Εἰ δὲ καὶ ὁμόσε[3]) τις χωρήσας τῷ λόγῳ, ἵνα μὴ δόξῃ ἀποκληρωτικῶς[4]) τὰ μὲν σφέτερα[5]) παραδέχεσθαι, τοῖς δ' ἀλλοτρίοις ἀπιστεῖν, φήσαι καὶ τὰ Ἑλλήνων ὑπό τινων γεγονέναι δαιμόνων, καὶ τὰ Ἰουδαίων ἤτοι ὑπὸ τοῦ θεοῦ διὰ τῶν προφητῶν, ἢ ὑπὸ τῶν ἀγγέλων, ἢ ὑπὸ τοῦ θεοῦ διὰ τῶν ἀγγέλων· καὶ τὰ Χριστιανῶν δὲ ὑπὸ τοῦ Ἰησοῦ καὶ τῆς ἐν τοῖς ἀποστόλοις δυνάμεως αὐτοῦ· φέρ', ἅπαντα παραθῶμεν ἀλλήλοις, καὶ τὸ τέλος ἴδωμεν τοῦ βουλήματος τῶν ἐνεργησάντων,[6]) καὶ τὴν ἀπὸ τούτου ὠφέλειαν ἢ βλάβην ἢ οὐδέτερα τῶν τὰς νομιζομένας εὐεργεσίας[7]) πεπονθότων· εἰ[8]) μὴ φιλόσοφον[9]) μὲν ὄψεται τὸ πάλαι Ἰουδαίων ἔθνος πρὶν ἐξυβρίσω-

---

[1]) Cfr. Matth. XV, 30.

[2]) Vide Grotium lib. II. cap. XX. §. 9. de jure belli et pacis, coll. I. Maccab. II, 25. VII, 47. IX, 55. et II. Maccab. III, 24. 25. IV, 16. IX, 5.

[3]) Cfr. lib. IV. contra Cels. num. 87.

[4]) Cfr. lib. I. contra Cels. num. 25.

[5]) Hoeschel. in textu, Spenc. ad marg. ἕτερα.

[6]) Boherellus: »Alicui videri possit, quamquam non mihi, legendum: εὐεργετησάντων, ut respondeat voc. subsequenti εὐεργεσίας.«

[7]) Cfr. pag. huj. not. 6.

[8]) Forte scribendum: ἦ μέν, id est: ὄντως δή, certe etc., et post ὄψεται addendum τίς. R.

[9]) Cfr. lib. I. contra Cels. num. 64.

σιν[1]) εἰς τὸ θεῖον, ὑφ' οὗ διὰ τὴν πολλὴν κακίαν ἐγκατελείφθησαν·[2]) παραδόξως δὲ συστάντας Χριστιανοὺς κατὰ τὴν ἀρχὴν μάλιστα[3]) ὑπὸ τῶν τερατιῶν ἤπερ τῶν προτρεπτικῶν λόγων προσαγομένους τῷ καταλιπεῖν μὲν τὰ πάτρια, αἱρεῖσθαι δὲ τὰ τῶν πατρίων ἀλλότρια. Καὶ γὰρ, εἰ χρὴ καὶ τῷ εἰκότι χρῆσθαι λόγῳ περὶ τῆς ἀρχῆθεν Χριστιανῶν συστάσεως, φήσομεν ὅτι οὐ πιθανὸν, οὔτε[4]) τοὺς Ἰησοῦ ἀποστόλους, ἄνδρας ἀγραμμάτους καὶ ἰδιώτας, ἄλλῳ τινὶ τεθαρρηκέναι πρὸς τὸ καταγγεῖλαι τοῖς ἀνθρώποις τὸν Χριστιανισμὸν, ἢ τῇ δοθείσῃ[5]) αὐτοῖς δυνάμει, καὶ τῇ ἐν τῷ λόγῳ εἰς τὰ δηλούμενα πράγματα χάριτι· ἀλλ' οὐδὲ τοὺς ἀκροωμένους αὐτῶν μετατεθεῖσθαι ἐκ πατρίων πολυχρονίων ἐθῶν, μὴ ἀξιολόγου τινὸς δυνάμεως αὐτοὺς καὶ τερατιῶν πραγμάτων μετακινησάντων ἐπὶ τὰ οὕτω ξένα καὶ ἀλλότρια τῶν συντρόφων αὐτοῖς δογμάτων.

48. Εἶτ', οὐκ οἶδ' ὅπως, ὁ Κέλσος τὴν προθυμίαν τῶν μέχρι θανάτου ἀγωνιζομένων ὑπὲρ[6]) τοῦ μὴ ἐξομόσασθαι Χριστιανισμὸν παρατιθέμενος ἐπιφέρει ὡσπερεὶ ἐξισῶν[7]) τὰ ἡμέτερα τοῖς ὑπὸ τῶν τελεστῶν καὶ μυσταγωγῶν λεγομένοις, καί φησι· »Μάλιστα μὲν, ὦ βέλτιστε, ὥσπερ σὺ κολάσεις αἰωνίους νομίζεις· οὕτω

---

[1]) Spenc. in textu: *ἐξυβρίσασιν*, ad marg. vero: *ἐξυβρίσωσιν*.

[2]) Edd. Spenc. *ἐγκατελείφθεισαν*. Jam Boherell. vero: »Lege: *ἐγκατελείφθησαν*.«

[3]) Voc. *μάλιστα* hic est *μᾶλλον*, sed fortasse *μᾶλλον* pro *μάλιστα* scribendum. R.

[4]) Codd. Reg. et Basil. *οὔτε τοὺς Ἰησοῦ κτλ.* Libri editi (v. c. edd. Spenc.) *οὔτε τοῦ Ἰησοῦ κτλ.* R.

[5]) Edd. Spenc. *δοθεῖσι*. Jam Boherell. vero: »Lege: *δοθείσῃ*.«

[6]) In antea editis (v. c. edd. Spenc.) desiderantur, sed supplentur e Mss. verba: *ὑπὲρ τοῦ μὴ ἐξομόσασθαι Χριστιανισμὸν παρατιθέμενος*. R.

[7]) Cfr. pag. 178. not. 4.

καὶ οἱ τῶν ἱερῶν ἐκείνων ἐξηγηταὶ τελεσταί τε καὶ μυσταγωγοί· ὃς σὺ μὲν τοῖς ἄλλοις ἀπειλεῖς, ἐκεῖνοι δὲ σοί. Πότερα γὰρ αὐτῶν ἀληθέστερα ἢ ἐπικρατέστερα, ἔξεστι σκοπεῖν· λόγῳ μὲν γὰρ ἐξ [1]) ἴσου περὶ τῶν ἀφετέρων σφίσιν ἑκάτεροι (409) διαβεβαιοῦσθε. [2]) Τεκμηρίων δὲ εἰ δέοι· πολλὰ ἐκεῖνοι καὶ ἐναργῆ [3]) δεικνύουσιν ἔργα τε δαιμονίων τινῶν δυνάμεων καὶ χρηστηρίων, καὶ ἐκ παντοδαπῶν μαντείων προκομίζοντες.« Οὐκοῦν διὰ τούτων τὰς αἰωνίους κολάσεις [4]) ἐπὶ γῆς βούλεται καὶ ἡμᾶς λέγειν, καὶ τοὺς τελεστάς, καὶ ἐξετάζειν, ὁπότεροι μᾶλλον ἀληθεύουσιν. Εἴποιμι δ' ἂν ἀληθεύειν τοὺς δυνηθέντας διαθεῖναι τοὺς ἀκροατὰς τῶν λεγομένων οὕτω βιοῦντας, ὡς τούτων οὕτως ἐχόντων. Διατίθενται Ἰουδαῖοι καὶ Χριστιανοὶ περὶ [5]) τοῦ ὑπ' αὐτῶν καλουμένου μέλλοντος αἰῶνος, καὶ τῶν ἐν αὐτῷ γερῶν μὲν ἐπὶ τοὺς δικαίους, κολάσεων δὲ ἐπὶ τοὺς ἁμαρτωλούς. Δεικνύτω οὖν καὶ Κέλσος, ἢ ὁ βουλόμενος, τίνες διετέθησαν περὶ [6]) αἰωνίων κολάσεων ὑπὸ τῶν τελεστῶν καὶ μυσταγωγῶν. Εἰκὸς γάρ ἐστι τὸ βούλημα τοῦ πατρὸς τῶν λεγομένων εἶναι, οὐ

---

[1]) Edd. Spenc. ἐξίσου. — Cfr. pag. huj. not. 4.

[2]) Codd. Reg. et Basil. διαβεβαιοῦσθε. Libri editi (v. c. edd. Spenc.) διαβεβαιοῦσι. R.

[3]) Hoeschel. in textu perperam, Spenc. ad marg. ἐν ἀρχῇ.

[4]) Jam Boherellus: »Nullus est horum verborum sensus. Lego: κολάσεις ἐπίσης βούλεται κτλ. Resumit enim Origenes quae paulo antea dicta sunt, ubi habes ἐξ.σῶν, et ἐξ ἴσου. Cfr. pag. 177. not. 7. coll. pag. huj. not. 1. Nec vox ipsa ἐπίσης infrequens est Origeni. Vide lib. V. contra Cels num. 10. lib. VI. num. 45. lib. VII. num. 36. lib. VIII. num. 41. et 50.«

[5]) Legebat Guietus: ὑπὸ τοῦ ὑπ' αὐτῶν. R.

[6]) Legebat etiam hic Guietus: ὑπὸ αἰωνίων κολάσεων ὑπὸ τῶν τελεστῶν. In libris antea editis (v. c. edd. Spenc.) pro: τελεστῶν, quod habetur in omnibus Mss., male legitur: τελετῶν. R.

τὸ ἀφοσιοῦσθαι μόνον καὶ εἰπεῖν περὶ κολάσεων, ἀλλὰ τὸ διαθεῖναι τοὺς ἀκούοντας, πρὸς τὸ, ὅση δύναμις, φυλάξασθαι τὰ τῶν κολάσεων αἴτια αὐτοὺς ἐργάσασθαι. Ἀλλὰ καὶ αἱ προφητεῖαι, τοῖς μὴ παρέργως [1]) ἐντυγχάνουσι τῇ ἐν αὐταῖς προγνώσει, ἱκαναί μοι εἶναι δοκοῦσι πρὸς τὸ πεῖσαι τὸν συνετῶς ἅμα καὶ εὐγνωμόνως ἀναγιγνώσκοντα, ὅτι θεοῦ πνεῦμα ἦν ἐν τοῖς ἀνδράσιν ἐκείνοις· ὧν [2]) οὐδὲν τῶν δεικνυμένων ἔργων δαιμονίων, οὐδὲ τῶν ἐκ χρηστηρίων δυνάμεων, οὐδὲ τῶν μαντειῶν, κἂν ἐπὶ ποσὸν παραβάλλεσθαι δύναται.

49. Ἴδωμεν δὲ καὶ τὰ ἑξῆς οὕτω λεγόμενα ὑπὸ τοῦ Κέλσου πρὸς ἡμᾶς· »Ἔτι [3]) δὲ πῶς οὐκ ἄτοπα ὑμῶν ταῦτα, τὸ μὲν σῶμα ποθεῖν, καὶ ἐλπίζειν, ὅτι αὐτὸ τοῦτο ἀναστήσεται, ὡς οὐδὲν ἡμῖν τούτου κρεῖττον, οὐδὲ τιμιώτερον· πάλιν δ' αὐτὸ ῥίπτειν εἰς κολάσεις, ὡς ἄτιμον; Ἀλλὰ τοῖς τοῦτο πειθομένοις, καὶ τῷ σώματι συνιετηκόσιν, οὐκ ἄξιον τοῦτο διαλέγεσθαι. Οὗτοι γάρ εἰσιν οἱ καὶ τὰ ἄλλα ἄγροικοι καὶ ἀκάθαρτοι, καὶ χωρὶς λόγου τῇ [4]) στάσει συνόντες. Τοῖς μέν γε τὴν ψυχὴν, ἢ τὸν νοῦν, (εἴτε πνευματικὸν τοῦτον ἐθέλουσι καλεῖν, εἴτε πνεῦμα νοερὸν, ἅγιον καὶ μακάριον, εἴτε ψυχὴν ζῶσαν, εἴτε θείας καὶ ἀσωμάτου φύσεως ἔκγονον [5]) ὑπερουράνιόν τε καὶ ἄφθαρτον, εἴθ' ὅ,

---

[1]) Sic recte habent Codd. Reg. et Basil. Libri autem editi (v. c. edd. Spenc.) περιέργως. R.

[2]) Boherellus: »Lego: οἷς οὐδέν.«

[3]) Recte Mss. Ἔτι δέ κτλ. Male alias (v. c. in edd. Spenc.) Εἶτι δέ κτλ. R. — Jam Boherellus: »Lego: Ἔτι δέα κτλ.

[4]) Codd. Reg. et Basil. τὰς στάσεις νοσοῦντες· τοῖς μέντοι γε κτλ. Libri editi (v. c. edd. Spenc.) in textu: τῇ στάσει συννοσοῦντες. In marg. vero (v. c. edd. Spenc.) τῇ στάσει συνόντες, quod praestare videtur. R.

[5]) Spencer. in textu: ἔγγονον, ad marg. vero: ἔκγονον.

τι καὶ ὅ, τι χαίρουσιν ὀνομάζοντες,)[1] τοῖς τοῦτο ἐλπίζουσιν ἔξειν αἰώνιον[2] σὺν θεῷ, τούτοις[3] διαλέξομαι· τοῦτο μένγε ὀρθῶς νομίζουσιν,[4] ὡς οἱ μὲν εὖ βιώσαντες εὐδαιμονήσουσιν, οἱ δὲ ἄδικοι πάμπαν αἰωνίοις κακοῖς συνέσονται,[5] καὶ τούτου δὲ τοῦ δόγματος μηθ' οὗτοι, μήτ' ἄλλος ἀνθρώπων μηδείς ποτε ἀποστῇ, ἀποτείνοντες.«[6] Περὶ ἀναστάσεως δὴ εἰ καὶ αὐτὸς ἤδη πολλάκις ὀνειδίζει· ἀλλ' ἡμεῖς, τὸ κατὰ τὸν τόπον ἡμῖν φανὲν εὔλογον, ὡς οἷόν τ' ἦν, παρασιήσαντες, οὐ μέλλομεν πρὸς ἓν ἔγκλημα πολλάκις λεγόμενον πολλάκις ἀπολογεῖσθαι. Συκοφαντεῖ δὲ ἡμᾶς ὁ Κέλσος, ὡς »οὐδὲν τοῦ σώματος κρεῖττον οὐδὲ τιμιώτερον ἐν τῇ συστάσει ἡμῶν« ἡγουμένους· ψυχὴν γὰρ παντὸς σώματος, καὶ μάλιστα τὴν (410) λογικήν, φαμὲν εἶναι πρᾶ-

---

[1]) Libri editi (v. c. edd. Spenc.) ὀνομάζοντες τοῦτον, ἐλπίζουσιν ἔξειν αἰώνιον, σὺν θεῷ τοῦτο διαλέξομαι. Sed Codd. Reg. et Basil. ut in nostro textu. R. — Edd. Spenc. ad marg. ὀνομάζοντες τοῦτο κτλ.

[2]) Edd. Spenc., cfr. pag. huj. not. 1. αἰώνιον, σὺν θεῷ τοῦτο κτλ. Jam Boherell. vero: »Verba: σὺν θεῷ, jungi debent cum verbis proxime praecedentibus: ἐλπίζουσιν ἔξειν αἰώνιον. Vide lib. huj. num. 51., ubi haec leguntur: ἢ ψυχὴν ζῶσαν ἐλπίζοντας ἔξειν αἰώνιον, καὶ σὺν θεῷ αὐτὸ ἔσεσθαι.«

[3]) Boherellus: »Forte: τούτοις διαλέξομαι. Vide tamen supra verba: οὐκ ἄξιον τοῦτο διαλέγεσθαι.«

[4]) Boherellus: »Est Dativus pluralis, ut praecedens ἐλπίζουσιν.« [5]) Edd. Spenc. συνέξονται.

[6]) Boherellus: »Non satis video, quo pertineat voc. ἀποτείνοντες, neque habetur infra num. 51. Putarim esse diversam lectionem, quae e marg. in textum irrepserit. Nimirum pro: μηδείς ποτε ἀποστῇ, ad oram scriptum fuerat: μηδεὶς ἀποσταίεν ποτε. Unde factum est illud ἀποτείνοντες, quod in textum receptum est. Certe debet esse Optativus, nec Plurale minus convenit: et ipse Origenes, verba Celsi referens, infra num. 51. semel habet: ἀποσταῖεν.«

γμα τιμιώτερον· εἰ[1]) καὶ τὸ κατ' εἰκόνα τοῦ κτίσαντος ψυχὴ μὲν χωρεῖ, οὐδαμῶς δὲ τὸ σῶμα. Οὐδὲ γὰρ καθ' ἡμᾶς σῶμα ὁ θεός· ἵνα μὴ περιπέσωμεν οἷς περιπίπτουσιν ἀτόποις οἱ[2]) τὰ Ζήνωνος καὶ Χρυσίππου φιλοσοφοῦντες.

50. Ἐπεὶ δ' ὀνειδίζει ἡμῖν καὶ ὡς ποθοῦσι τὸ σῶμα· ἴστω, ὅτι, εἰ μὲν ὁ πόθος φαῦλόν ἐστιν, οὐδὲν ποθοῦμεν· εἰ δὲ μέσον, ποθοῦμεν πάντα, ὅσα ὁ θεὸς τοῖς δικαίοις ἐπαγγέλλεται. Οὕτως οὖν καὶ τὴν τῶν δικαίων ἀνάστασιν ποθοῦμεν καὶ ἐλπίζομεν. Νομίζει δὲ Κέλσος καὶ ἀνομολογούμενα ἡμᾶς ἑαυτοῖς ποιεῖν, ὅπου μὲν ἐλπίζουσι τὴν τοῦ σώματος ἀνάστασιν, ὡς τῆς παρὰ θεοῦ τιμῆς ἀξίου· ὅπου δὲ ῥίπτουσιν αὐτὸ εἰς κολάσεις, ὡς ἄτιμον. Οὐδὲν οὖν ἄτιμον, τὸ δι' εὐσέβειαν πάσχον, καὶ δι' ἀρετὴν περιστάσεις αἱρούμενον· ἀλλὰ καὶ πᾶν ἄτιμον, τὸ μετὰ κακίας ἐν ἡδοναῖς καταναλισκόμενον. Φησὶ γοῦν καὶ ὁ θεῖος λόγος· »Σπέρμα[3]) ἔντιμον ποῖον; σπέρμα ἀνθρώπου. Σπέρμα ἄτιμον ποῖον; σπέρμα ἀνθρώπου.« Εἶτ' οἴεται μὴ διαλέγεσθαι δεῖν τοῖς τὰ περὶ τοῦ σώματος ἐλπίζουσιν ὁ Κέλσος, ὡς συντετηκόσιν ἀλόγως πράγματι ἀδυνάτῳ τυχεῖν τῶν ἐλπιζομένων ὑπ' αὐτῶν, ἀγροίκους καὶ ἀκαθάρτους αὐτοὺς καλῶν, καὶ χωρὶς λόγου συνόντας[4]) τῇ στάσει· δέον ὡς φιλάνθρωπον καὶ τοῖς ἀγροικοτέροις βοηθεῖν. Οὐδὲ γὰρ τὸ κοινωνικὸν περιγέγραπται ὥσπερ ἀπὸ τῶν ἀλόγων ζώων, οὕτω καὶ ἀπὸ τῶν

---

[1]) Sic habet Cod. Jolian, ex correctione. Libri editi (v. c. edd. Spenc.) ἢ καὶ τό κτλ. R. — Boherellus: »Malim. ἤ καὶ τό« κτλ.

[2]) Vide lib. I. contra Cels. num. 21. lib. III. num. 74. lib. IV. num. 14.

[3]) Sap. Sirac. X, 19.

[4]) Spenc. in textu: συννοσοῦντας, sicque habet num. 49. Hoeschel. hic et Mss. συνόντας. Legebat Guietus: συνοικοῦντας. R. — Spenc. ad marg. συνόντας.

ἀγροικοτέρων ἀνθρώπων· ἀλλ' ἐπίσης ὁ ποιήσας ἡμᾶς πρὸς πάντας ἀνθρώπους πεποίηκε κοινωνικούς. Ἄξιον οὖν διαλέγεσθαι καὶ ἀγροίκοις, καὶ, ὅση δύναμις, μετάγειν αὐτοὺς ἐπὶ τὸ ἀστειότερον· καὶ ἀκαθάρτοις, καὶ ποιεῖν αὐτοὺς, ὡς οἷόν τέ ἐστι, καθαρούς·[1]) καὶ τοῖς χωρὶς λόγου ὁ, τιποτοῦν φρονοῦσι, καὶ τὴν ψυχὴν νοσοῦσιν, ἵνα μηκέτι χωρὶς λόγου τι πράττωσι, μηδὲ τὴν ψυχὴν νοσήσωσιν.

51. Μετὰ δὲ ταῦτα ἀποδέχεται τοὺς τὴν ψυχὴν, ἢ τὸν νοῦν, ἢ τὸ καλούμενον παρ' αὐτοῖς πνευματικὸν, ἢ λογικὸν πνεῦμα, νοερὸν, ἅγιον καὶ μακάριον, ἢ ψυχὴν ζῶσαν ἐλπίζοντας ἕξειν αἰώνιον, καὶ[2]) σὺν θεῷ αὐτὸ ἔσεσθαι· προσίεται δὲ ὀρθῶς[3]) νομιζόμενον καὶ τὸ μὲν περὶ τῶν εὖ βιωσάντων, ὡς εὐδαιμονησόντων, δόγμα· περὶ δὲ τῶν ἀδίκων, ὡς πάμπαν αἰωνίοις[4]) κακοῖς συσχεθησομένων. Καὶ τεθαύμακά γε τοῦ Κέλσου, παρὰ πάντα τὰ λεγόμενα παρ' αὐτῷ, τὸ οὕτως ἐπιφερόμενον τοῖς προειρημένοις, ἐν ᾧ φησι· »Καὶ τούτου δὲ τοῦ δόγματος μήθ' οὗτοι, μήτ' ἄλλος ἀνθρώπων μηδείς ποτε ἀποστῇ.« Καὶ ἐχρῆν γε αὐτὸν ὁρᾶν, κατὰ Χριστιανῶν γράφοντα, οἷς ἡ πᾶσα ὑπόθεσίς ἐστι τῆς πίστεως ὁ θεὸς, καὶ αἱ διὰ τοῦ Χριστοῦ περὶ τῶν δικαίων ἐπαγγελίαι, καὶ περὶ τῶν ἀδίκων αἱ περὶ κολάσεως διδασκαλίαι, ὅτι τὸν ἀνατραπέντα Χριστιανὸν ἐκ τοῦ παραδέξασθαι τοὺς κατὰ Χριστιανῶν τοῦ (411) Κέλσου λόγους, εἰκὸς ἐστιν ἀποβαλόντα[5]) τὸν λόγον συναποβαλεῖν καὶ τὸ δόγμα· »οὗ, φησὶ, μήτε Χριστια-

---

[1]) Codd. Reg. et Basil. καθαρούς. Libri editi (v. c. edd. Spenc.) καθαρωτέρους. R.

[2]) Guietus perperam verba: καὶ σὺν θεῷ αὐτὸ ἔσεσθαι, aliena et addititia esse arbitratur. R.

[3]) Boherellus: »Legendum puto: ὡς ὀρθῶς νομιζόμενον καὶ τὸ περὶ μὲν τῶν« κτλ.

[4]) Libri editi (v. c. edd. Spenc.) in marg. αἰωνίως. R.

[5]) Hoeschel. in textu, Spenc. ad marg. ἀποβάλλοντα.

νοὶ ἀποσταῖεν, μήτε μηδεὶς ἄλλος ἀνθρώπων.« Ἀλλὰ φιλανθρωπότερον οἶμαι Κέλσου Χρύσιππον[1]) πεποιηκέναι ἐν »τῷ περὶ παθῶν θεραπευτικῷ,« βουλόμενον θεραπεῦσαι τὰ πάθη, ὡς κατεπείγοντα καὶ ἐνοχλοῦντα τὴν ἀνθρωπίνην ψυχήν, προηγουμένως μὲν τοῖς δοκοῦσιν αὐτῷ ὑγιέσι λόγοις, δευτέρως δὲ καὶ τρίτως κἂν τοῖς μὴ ἀρέσκουσι τῶν δογμάτων· »Κἂν γὰρ τρία, φησὶν, ᾖ γένη τῶν ἀγαθῶν, καὶ οὕτω θεραπευτέον τὰ πάθη· οὐ περιεργαζόμενον ἐν τῷ καιρῷ τῆς φλεγμονῆς τῶν παθῶν τὸ προκαταλαβὸν δόγμα τὸν ὑπὸ τοῦ πάθους ἐνοχλούμενον· μή πως τῇ ἀκαίρῳ περὶ τὴν ἀνατροπὴν τῶν προκαταλαβόντων τὴν ψυχὴν δογμάτων σχολῇ[2]) ἡ ἐγχωροῦσα θεραπεία παραπόληται.« Φησὶ δὲ »ὅτι, κἂν ἡδονὴ ᾖ τὸ ἀγαθὸν, καὶ τοῦτο φρονῇ ὁ ὑπὸ τοῦ πάθους κρατούμενος· οὐδὲν ἧττον αὐτῷ βοηθητέον, καὶ παραδεικτέον, ὅτι καὶ τοῖς ἡδονὴν τἀγαθὸν καὶ τέλος τιθεμένοις, ἀνομολογούμενόν ἐστι πᾶν πάθος. Ἐχρῆν τοίνυν καὶ τὸν Κέλσον ἅπαξ παραδεξάμενον[3]) τὰ περὶ τῶν εὖ βιωσάντων δόγματα, ὡς εὐδαιμονησόντων, καὶ περὶ τῶν ἀδίκων, ὡς πάμπαν αἰωνίοις κακοῖς συσχεθησομένων, ἀκολούθως[4]) ἑαυτῷ ποιεῖν, καὶ, εἰ οἷόν τ' ἦν, μετὰ τὸν φαινόμενον αὐτῷ προηγούμενον λόγον, ἐπικατασκευάσαι καὶ διὰ πλειόνων ἀποδεῖξαι, ὅτι ἀληθῶς οἱ ἄδικοι πάμπαν αἰωνίοις κακοῖς συσχεθήσονται, καὶ οἱ εὖ βιώσαντες εὐδαιμονήσουσι.

---

[1]) Vide lib. I. contra Cels. num. 64.

[2]) Mss. σχολῇ. Libri antea editi (v. c. edd. Spenc.) male: σχολήν. R. — Jam Boherellus: »Lege: σχολῇ.«

[3]) Libri antea editi (v. c. edd. Spenc.) παραδέξασθαι λέγοντα τὰ περὶ τῶν κτλ. Sed Mss. ut in nostro textu. R. — Edd. Spenc. ad marg. »παραδεξάμενον τὰ περὶ τῶν κτλ. S. G.«

[4]) Verba: ἀκολούθως ἑαυτῷ ποιεῖν, καὶ, εἰ οἷόν τ' ἦν, μετὰ τὸν φαινόμενον, licet necessaria in antea editis (v. c. edd. Spenc.) omissa sunt, sed supplentur e Mss. omnibus. R.

52. *Καὶ γὰρ ἡμεῖς προηγουμένως μὲν, διὰ τὰ πείσαντα ἡμᾶς πολλὰ καὶ μυρία κατὰ Χριστιανισμὸν βιοῦν, πάντας ἀνθρώπους, ὅση δύναμις, ὅλοις τοῖς Χριστιανῶν λόγοις οἰκειοῦν βουλόμεθα· ὅπου δὲ προκαταλαμβανομένους εὑρίσκομεν τῇ πρὸς Χριστιανοὺς διαβολῇ, ὡς*[1] *μηδὲ παρέχειν τὰ ὦτα, φαντασίᾳ τοῦ μηδὲ εὐσεβεῖς*[2] *εἶναι Χριστιανοὺς, τοῖς τὰ τοῦ θείου λόγου διδάσκειν ἐπαγγελλομένοις τινάς· ἐκεῖ κατὰ τὸ φιλάνθρωπον, ὅση δύναμις, ἱστάμεθα ἵνα, κἂν τὰ περὶ αἰωνίου κολάσεως ἐπὶ τοὺς ἀσεβοῦντας δόγματα κατασκευάσαντες, παραδέξασθαι ποιήσωμεν τὸν λόγον καὶ τοὺς μὴ θέλοντας Χριστιανίζειν. Οὕτω δὲ καὶ περὶ τῶν εὖ βιωσάντων πεῖσμα ἐμποιεῖν θέλομεν, ὁρῶντες, ὅτι πολλὰ τῶν κατὰ τὸν ὑγιῆ βίον καὶ οἱ τῆς πίστεως ἀλλότριοι ὁμοίως ἡμῖν λέγουσιν. Οὐδὲ γὰρ τὰς κοινὰς ἐννοίας περὶ καλῶν καὶ δικαίων, καὶ αἰσχρῶν καὶ ἀδίκων, εὕροι τις ἂν πάντως ἀπολωλεκότας. Πάντες οὖν ἄνθρωποι, ὁρῶντες τὸν κόσμον, καὶ τὴν ἐν αὐτῷ τεταγμένην οὐρανοῦ*[3] *καὶ τῶν ἐν τῇ ἀπλανεῖ κίνησιν, τῶν τε φερομένων ἐναντίως τῇ τοῦ κόσμου κινήσει λεγομένων πλανήτων τάξιν, ὁρῶντες δὲ καὶ τὴν τῶν*[4] *ἀέρων καὶ πρὸς τὸ χρήσιμον ζώοις, καὶ μάλιστα ἀνθρώποις, κράσιν, καὶ τὴν ἀφθονίαν τῶν δι' ἀνθρώπους* (412) *δεδημιουργημένων, εὐλαβείσθωσαν δυσάρεστόν τι ποιῆσαι τῷ δημιουργῷ τοῦ παντὸς, καὶ τῶν ψυχῶν αὐτῶν, καὶ τοῦ ἐν αὐταῖς νοῦ αὐτῶν· καὶ πεπείσθωσαν κολασθή-*

---

[1]) Mallet Guietus hunc verborum ordinem: *ὡς μηδὲ παρέχειν τὰ ὦτα τοῖς τὰ τοῦ θείου λόγου διδάσκειν ἐπαγγελλομένοις, φαντασίᾳ τοῦ μηδὲ εὐσεβεῖς εἶναι Χριστιανούς τινας, ἐκεῖ κατά κτλ* R.

[2]) Edd. Spenc. ad marg. *ἀσεβεῖς.*

[3]) Hoeschel. in textu, Spenc. ad marg. *οὐρανῷ.*

[4]) Boherellus: »Lego: *τῶν ὡρῶν.* Sequens vero *καί* delendum videtur.«

σεσθαι μὲν ἐπὶ τοῖς ἁμαρτανομένοις, ἀχθήσεσθαι δὲ ἀνάλογον τοῖς κατορθωθεῖσιν ἢ τοῖς καθηκόντως ἀποδοθεῖσι[1]) λόγοις ὑπὸ τοῦ κατ' ἀξίαν ἕκασιον οἰκονομοῦντος·[2]) καὶ πεπείσθωσαν πάντες ἄνθρωποι, εὖ μὲν οἱ καλοὶ ἐπὶ τοῖς βελτίοσιν ἀπαλλάξοντες, κακοὶ δὲ κακῶς πόνοις καὶ βασάνοις παραδοθησόμενοι ἐπὶ τοῖς ἀδικήμασι καὶ ταῖς ἀσελγείαις καὶ ἀκολασίαις, ἔτι δὲ ἐπὶ τῇ ἀνανδρίᾳ καὶ δειλίᾳ,[3]) καὶ ἐπὶ πάσῃ τῇ ἀφροσύνῃ.

53. Τοσαῦτα δὲ καὶ εἰς τοῦτον εἰπόντες τὸν τόπον ἴδωμεν τοῦ Κέλσου καὶ ἄλλην λέξιν οὕτως ἔχουσαν· »Ἐπειδὴ δὲ σώμασι συνδεθέντες ἄνθρωποι γεγόνασιν, εἰ' οἰκονομίας τῶν ὅλων ἕνεκεν, εἴτε ποινὰς ἁμαρτίας ἀποτίννυντες,[4]) εἴθ' ὑπὸ παθημάτων[5]) τινῶν τῆς ψυχῆς βαρυνθείσης, μέχρις ἂν ταῖς τεταγμέναις περιόδοις ἐκκαθαρθῇ· δεῖν[6]) γὰρ, κατὰ τὸν Ἐμπεδοκλέα,[7]) τρὶς μὲν μυρίας ὥρας ἀπὸ μακάρων ἀλαλη-

[1]) Edd. Spenc. ἀποδοθεῖσιν ὑπὸ τοῦ κτλ., omisso voc. λόγοις.

[2]) Post οἰκονομοῦντος additur in antea editis libris (v. c. edd. Spenc.) ἔπειτα ἀνάλογον τοῖς κατορθωθεῖσιν ἢ καθηκόντως ἀποδοθεῖσιν ἔργοις. Sed haec superflua esse quis non videt et e superioribus inepte repetita? Ea itaque Guietus et Boherellus merito expungunt, ut variam lectionem, quae e margine in textum irrepserit. R.

[3]) Mss. δειλίᾳ. Libri editi (v. c. edd. Spenc.) male: δηλείᾳ. R. — Jam Beherell. in Corrigendis: δειλίᾳ.

[4]) Hoeschel. in textu (itemq. Spenc.) ἀποτίνοντες. Mss. ut in nostro textu. R.

[5]) Hoeschel. in textu (Spenc. ad marg.) θημάτων. Mss. ut in nostro textu. R.

[6]) Ruaeus, Boherello duce, in notis: »Melius forte legatur: δεῖ γάρ« κτλ.

[7]) Empedoclis sunt hi versus:

Ἔσι τ' ἀνάγκης χρῆμα, θεῶν ψήφισμα παλαιὸν,
Εὖ τέ τις ἀμπλακίῃσι φόνῳ φίλα γυῖα μιήνῃ,

σθαι [1]) γινομένην παντοίαν διὰ [2]) χρόνου ἰδέαν θνητῶν· πεισιέον [3]) οὖν, ὅτι παραδέδονται τισιν ἐπιμεληταῖς τοῦδε τοῦ δεσμωτηρίου.« Ὅρα δὴ καὶ ἐν τούτοις περὶ πόσων ἀνθρωπίνως ἀμφιβάλλων, καὶ παραθέμενος πλειόνων δόγματα περὶ τῆς αἰτίας τῆς γενέσεως ἡμῶν, ἐμφαίνει τινὰ εὐλάβειαν· μὴ τολμῶν ἀποφήνασθαί τι τούτων ψεῦδος εἶναι. Ἆρ' οὖν οὐκ ἦν κατὰ τὸν τοιοῦτον καὶ αὐτὸν ἅπαξ κρίναντα μήτε ὡς ἔτυχε συγκαταθέσθαι, μήτε τολμηρῶς ἀθετῆσαι τὰ δόξαντα τοῖς ἀρχαίοις· καὶ περὶ τοῦ [4]) Ἰουδαίων λόγου δηλουμένου παρὰ τοῖς ἐκείνων προφήταις, καὶ περὶ τοῦ Ἰησοῦ, εἰ μὴ ἐβούλετο πιστεῦσαι, κἂν ἀμφιβάλλειν, καὶ σκοπῆσαι, ὅτι εἰκὸς ἦν καὶ τοὺς θεραπεύσαντας τὸν τῶν ὅλων θεὸν, καὶ ἕνεκεν τῆς εἰς τοῦτον τιμῆς, καὶ εἰς τὰ πεπιστευμένα ὑπ' αὐτοῦ νενομοθετῆσθαι, πολλάκις μυρίους κινδύνους καὶ θανάτους ἀναδεξαμένους, μὴ ὑπερεωρᾶσθαι ὑπὸ τοῦ θεοῦ· ἀλλὰ καὶ αὐτοῖς τινα ἐπιφάνειαν γεγονέναι, τὰ μὲν τῆς ἀνθρωπίνης περὶ τὰ ἀγάλματα τέχνης ὑπερφρονήσασιν, [5]) ἀναβαίνειν δὲ

Δαίμονες οἵ τε μακραίωνες λελόγχασι βίοιο.
Τρὶς μιν μυρίας ὥρας ἀπὸ μακάρων ἀλάλησθαι.
Τὴν καὶ ἐγὼ νῦν εἰμι φυγὰς θεόθεν καὶ ἀλήτης.
Cfr. Plutarch. de exilio cap. XVII., ed. Hutten. Tom. X. pag. 387.

[1]) Edd. Spenc. et Ruaei: *ἀλαλῆσθαι*. Cfr. pag. 185. not. 7.

[2]) Edd. Spenc. et Ruaei in textu: *διὰ χρόνον*. Jam Boherell. vero, quem Ruaeus in notis sequitur: »Melius: *διὰ χρόνου*.«

[3]) Mss. habent: *πεισιέον οὖν, ὅτι παραδέδονταί τισιν*. Libri editi (v. c. edd. Spenc.) *πιστέον οὖν ὅτι παραδέδοται τισιν*. R. — Boherell. in Corrigendis: *πιστευτέον*. [4]) Edd. Spenc. *τῶν Ἰουδαίων*.

[5]) Libri antea editi (v. c. edd. Spenc.) in marg. habent: *ὑπερφρονήσασι*, melius sane quam in textu: *ὑπερηφάνεισαν*. R.

πειραθεῖσι τῷ λογισμῷ ἐπ' αὐτὸν τὸν ἐπὶ πᾶσι θεόν; Ἐχρῆν δ' αὐτὸν σκοπῆσαι, ὅτι πάντ' ἐφορῶν καὶ πάντ' ἐπακούων ὁ κοινὸς πάντων πατὴρ καὶ δημιουργὸς, τὴν ἑκάστου προαίρεσιν ζητοῦσαν αὐτὸν καὶ εὐσεβεῖν βουλομένην κατ' ἀξίαν κρίνων, καὶ τούτοις τινὰ ἀπονέμει[1]) καρπὸν τῆς προστασίας αὐτοῦ· ἵνα μᾶλλον αὔξωσιν ἣν ἅπαξ παρειλήφασι περὶ αὐτοῦ ἔννοιαν. Ταῦτα γὰρ εἰ ἐλογίσατο Κέλσος, καὶ οἱ μισοῦντες Μωϋσέα, καὶ τοὺς ἐν Ἰουδαίοις προφήτας, καὶ Ἰησοῦν, καὶ τοὺς καμόντας[2]) διὰ τὸν λόγον αὐτοῦ γνησίους μαθητὰς αὐτοῦ· οὐκ ἂν (413) οὕτως διελοιδορήσαντο[3]) Μωϋσῆ, καὶ τοῖς προφήταις, καὶ Ἰησοῦ, καὶ τοῖς ἀποστόλοις αὐτοῦ· οὐδὲ μόνους παρὰ πάντα τὰ ἐπὶ γῆς ἔθνη Ἰουδαίους ἀπεδοκίμαζον, λέγοντες αὐτοὺς εἶναι καὶ Αἰγυπτίων χείρονας, τῶν μέχρι ἀλόγων ζώων, εἴτε κατὰ δεισιδαιμονίαν, εἴτε κατὰ οἰανδήποτ' αἰτίαν ἢ πλάνην καταγαγόντας, τὸ ὅσον ἐπ' αὐτοῖς, τὴν πρὸς τὸ θεῖον τιμήν. Ταῦτα δ' εἰρήκαμεν, οὐκ ἐπὶ τὸ ἀμφιβάλλειν προτρεπόμενοί τινας περὶ τοῦ κατὰ Χριστιανισμὸν[4]) λόγου, ἀλλὰ παριστάντες, ὅτι τοῖς πάντη διαλοιδορουμένοις τῷ Χριστιανῶν λόγῳ αἱρετώτερόν ἐστι κἂν ἀμφιβάλλειν περὶ[5]) αὐτῶν· καὶ μὴ οὕτω θρασέως λέγειν περὶ τοῦ Ἰησοῦ, ἢ τῶν μαθητῶν αὐτοῦ, ἃ μὴ ἐπίστανται, καὶ ἀποφαίνονται οὐ μετὰ τῆς καλουμένης παρὰ τοῖς ἀπὸ τῆς Στοᾶς »καταληπτικῆς[6]) φαντασίας,« οὐδ'

---

[1]) Hoeschel. in textu, Spenc. ad marg. ἀπονόμειν.

[2]) Dubitat Guietus an scribendum sit: κάμνοντας. R.

[3]) Libri editi (v. c. edd. Spenc.) in margine: διελοιδόρησαν. R.

[4]) Hoeschel. in textu male, Spenc. ad marg. Χριστιανῶν. R.

[5]) Bohercllus: »Malim: περὶ αὐτοῦ.«

[6]) Cic. lib. II. et IV. Academ. Quaest. »At scire negatis quemquam rem ullam, nisi sapientem; et hoc quidem Zeno gestu conficiebat. Nam cum extensis digitis adversam manum ostenderat, visus, inquiebat, hujusmodi

ἀπ' ἄλλου τινὸς κριτηρίου, περὶ [1]) οὗ ἑκάστη τῶν φιλοσόφων αἵρεσις τὸ φαινόμενον ὡς ἔδοξε κατεσκεύασεν.

54. Εἶτ', ἐπεί φησιν ὁ Κέλσος· »Πειστέον [2]) οὖν, ὅτι παραδίδονταί τισιν ἐπιμεληταῖς τοῦδε τοῦ δεσμωτηρίου·« λεκτέον πρὸς αὐτὸν, ὅτι σπουδαία ψυχὴ ἐλύθη [3]) ἀπὸ τῶν τῆς κακίας δεσμῶν καὶ ἐν τῷ βίῳ τῶν, ὡς ὠνόμασεν ὁ Ἱερεμίας, δεσμίων [4]) γῆς, διὰ [5]) τὸν εἰπόντα Ἰησοῦν, ὡς πρὸ πολλοῦ χρόνου τῆς ἐπιδημίας αὐτοῦ προεῖπεν ὁ προφήτης Ἡσαΐας. Τί [6]) δὲ προειπὼν, ἢ [7]) »τοῖς [8]) δεσμίοις, ἐξελθεῖν, καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλυφθῆναι;« Καὶ οὗτός γε ὁ Ἰησοῦς, ὡς ὁ αὐτὸς Ἡσαΐας περὶ αὐτοῦ προεῖπε· »καθημένοις [9]) ἐν

---

est. Deinde cum paulum digitos constrinxerat, assensus hujusmodi. Tum cum plane compresserat, pugnumque fecerat: comprehensionem illam esse dicebat. Qua ex similitudine etiam nomen ei rei, quod ante non fuerat, κατάληψιν imposuit. Cum autem laevam manum admoverat, et illum pugnum arcte vehementerque compresserat, scientiam talem esse dicebat: cujus compotem nisi sapientem, esse neminem.«

[1]) Dubitat Guietus an scribendum sit: ὑφ' οὗ. R.

[2]) Mss. πειστέον. Libri antea editi (v. c. edd. Spenc.) πιστέον. R. — Boherell. in Corrigendis: πιστευτέον. Cfr. lib. huj. num. 53.

[3]) Sic recte habet Cod. Julian. ex correctione, male autem libri editi (v. c. edd. Spenc.) καὶ λυθεῖσα. R. — Jam Boherellus: »Legendum videtur: ἐλύθη, expuncto praecedenti καί.«

[4]) Cfr. Thren. III, 34.

[5]) Guieto scribendum videtur: διὰ τοῦ εἰπόντος Ἰησοῦ. R.

[6]) Sic habent Codd. Reg. et Basil., libri vero antea editi (v. c. edd. Spenc.) Τί δὲ προειπόντα, εἰ τοῖς δεσμίοις, Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, Ἀνακαλύφθητε; R.

[7]) Jam Boherellus: »Lege: ἢ τοῖς« κιλ. — Cfr. pag. huj. not. 6.

[8]) Cfr. Jesai. XLIX, 9. coll. XLII, 7.

[9]) Cfr. Jesai. IX, 2. coll. XLII, 7.

χώρᾳ καὶ σκιᾷ θανάτου ἀνέτειλε φῶς·« ὡς διὰ τοῦθ' ἡμᾶς λέγειν· »διαῤῥήξωμεν [1]) τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν.« Εἰ δ' ἐδύνατο ἀκοῦσαι τῆς βαθύτητος τῶν εὐαγγελίων ὁ Κέλσος, καὶ οἱ παραπλησίως ἐκείνῳ καθ' ἡμῶν διακείμενοι· οὐκ ἂν ἡμῖν συνεβούλευσεν οἷς ὠνόμασεν ἐπιμελητοῖς τοῦ δεσμωτηρίου πείθεσθαι. Γέγραπται δὲ ἐν τῷ εὐαγγελίῳ, ὅτι »γυνή [2]) τις ἦν συγκύπτουσα, καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελές·« ἥντινα ὁ Ἰησοῦς ἰδὼν, [3]) καὶ ὁρῶν παρὰ [4]) τίνα αἰτίαν συγκύπτει, οὐκ ἐπιτρεπομένη ἀνακύπτειν εἰς τὸ παντελὲς, εἶπε· »ταύτην [5]) δὲ θυγατέρα Ἀβραὰμ οὖσαν, ἣν ἔδησεν ὁ σατανᾶς, ἰδοὺ, δέκα [6]) καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι [7]) ἀπὸ τοῦ δεσμοῦ τούτου ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου;« Πόσοι δὲ καὶ ἄλλοι νῦν δεδεμένοι ὑπὸ τοῦ σατανᾶ συγκύπτουσιν, οὐ δυνάμενοι δι' ἐκεῖνον »ἀνακύψαι [8]) εἰς τὸ παντελὲς,« θέλοντα ἡμᾶς κάτω βλέπειν; Καὶ οὐδείς γε αὐτοὺς ἀνορθοῖ, εἰ μὴ ὁ ἐν τῷ Ἰησοῦ ἐπιδημήσας λόγος, καὶ πρότερον δὲ θεοφορήσας. Καὶ ἦλθέ γε ὁ Ἰησοῦς ἐλευθερῶσαι »πάντας [9]) τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου,« καὶ περὶ ἐκείνου εἰπὼν μετά τινος προεπούσης αὐτῷ βαθύτητος τό· »νῦν [10]) ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται.« Οὐ λοιδορούμεθα οὖν τοῖς τῇδε δαίμοσιν, ἀλλ' ἐλέγχομεν τὰς ἐπ' ὀλέθρῳ τοῦ γένους τῶν ἀνθρώπων ἐνεργείας αὐτῶν, προφάσει χρησμῶν καὶ (414) θεραπείας σωμάτων, καὶ

---

[1]) Psalm. II, 3. [2]) Cfr. Luc. XIII, 11.

[3]) Cfr. Luc. XIII, 12.

[4]) Codd. Reg. et Basil. *παρὰ τίνα αἰτίαν.* Libri antea editi (v. c. edd. Spenc.) *παρὰ τίνος αἰτίαν.* R.

[5]) Cfr. Luc. XIII, 16.

[6]) Cod. Regius: *δώδεκα καὶ ὀκτὼ ἔτη.* R.

[7]) Hoeschel. in textu, Spenc. ad marg. *λυθῆναι ἐκ τοῦ κτλ.* [8]) Cfr. Luc. XIII, 11.

[9]) Cfr. Act. X, 38. [10]) Cfr. ev. Joann. XVI, 11.

ἄλλων τινῶν, χωρίσαι τοῦ θεοῦ βουλομένων τὴν ἐμπεσοῦσαν ψυχὴν εἰς τὸ σῶμα τῆς ταπεινώσεως· ἤντινα οἱ νοήσαντες ἀναφθέγγονται τό· »ταλαίπωρος[1]*) ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;« Ἀλλ' οὐδ' εἰκῇ παρέχομεν τὸ σῶμα στρεβλοῦν καὶ ἀποτυμπανίζειν· οὐ γὰρ εἰκῇ παρέχει*[2]*) τούτοις τὸ σῶμα, ὑπὲρ τοῦ μὴ τοὺς περιγείους δαίμονας ἀναγορεύεσθαι θεοὺς, ἐπιβουλευόμενος*[3]*) ὑπ' αὐτῶν καὶ τῶν σεβόντων αὐτούς. Καὶ*[4]*) θεοφιλές γε τὸ δι' ἀρετὴν ἀποτυμπανίζεσθαι, καὶ δι' εὐσέβειαν στρεβλοῦσθαι. Καὶ δι' ὁσιότητα ἀποθνήσκειν, εὔλογον*[5]*) εἶναι νενομίκαμεν· »τίμιος*[6]*) γὰρ ἐνώπιον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ·« ἀγαθὸν δ' εἶναί φαμεν καὶ τὸ μὴ φιλοζωεῖν. Κακούργοις δὲ, εὐλόγως ὑπομένουσιν ἃ διὰ ληστείαν πάσχουσιν, ἐξομοιῶν ἡμᾶς ὁ Κέλσος, καὶ μὴ ἀδούμενος τὴν τηλικαύτην πρόθεσιν παραπλησίαν ἀποφαίνειν*[7]*) τῇ τῶν ληστῶν διαθέσει, ἀδελφὸν ἑαυτὸν ἐν*

---

[1]) Rom. VII, 24.

[2]) Sic in marg. habent libri editi, (v. c. edd. Spenc.) qui male in textu habere videntur: *παρεχειν*, quod Guietus mutabat in *παρεἶχε*. Gelenius legisse videtur: *παρέχομεν*. R. — Jam Boherellus: »Sequere lectionem orae adscriptam.«

[3]) Sic libri editi (v. c. edd. Spenc.) in margine, in textu vero: *ἐπιβουλευομένους*, quod mutandum erit in *ἐπιβουλευόμενοι*, si supra legatur cum Gelenio: *παρέχομεν*. R. — Jam Boherellus: »Sequere lectionem orae adscriptam, praefigendo Articulo ὁ ante *ἐπιβουλευόμενος*.«

[4]) Boherellus: »Haec junge cum seqq. *εὐλόγως εἶναι νενομίκαμεν*, sublato intermedio puncto.« (?!)

[5]) Mss. *εὔλογον*. Libri editi (v. c. edd. Spenc.) *εὐλόγως*. R.

[6]) Cfr. Psalm. CXVI, 15. (CXV, 5. CXVI, 6.)

[7]) Libri editi (v. c. edd. Spenc.) in textu: *ἀποφαίνει τῇ τῶν ληστῶν διαθέσει, ἀδελφὸν ἑαυτὸν ἐν τούτοις ποιῶν κτλ.* Sed praestare videtur lectio marginalis, quam in textu nostro sequimur. R. — Jam Boherellus: »Sequere lectionem orae adscriptam.«

τούτοις ποιεῖ τῶν μετὰ ἀνόμων λογισαμένων τὸν Ἰησοῦν, ἐφ' οἷς πεπλήρωται ἡ λέγουσα γραφὴ τό· »μετὰ [1]) ἀνόμων ἐλογίσθη.«

55. Ἐξῆς δὲ τούτοις φησὶν ὁ Κέλσος· »Λυοῖν θάτερον αἱρεῖ [2]) λόγος. Εἰ μὲν ἀπαξιοῦσι θεραπεύειν τὰ εἰκότα, τούτων δὲ ἐπισιάτας, μήτ' εἰς [3]) ἄνδρας ἰέναι, μήτ' ἄγεσθαι γυναῖκα, μήτ' ἀναιρεῖσθαι [4]) τέκνα, μήτ' ἄλλο πράττειν μηδὲν ἐν τῷ βίῳ, χωρεῖν [5]) δ' ἔνθεν πασσυδί, μηδὲν σπέρμα ἐλλειπομένους· ὡς ἂν ἐρημωθείη πάμπαν ἐπὶ τῆς γῆς τὸ τοιοῦτον γένος. Εἰ δὲ καὶ γυναῖκας ἄξονται, καὶ παῖδας ποιήσονται, καὶ καρπῶν γεύσονται, καὶ τῶν ἐν τῷ βίῳ μεθέξουσι, καὶ κακῶν τῶν ἐπιτεταγμένων ἀνέξονται· (φύσις μὲν γὰρ αὕτη, πάντας ἀνθρώπους πειρᾶσθαι κακῶν. Εἶναι μὲν γὰρ ἀνάγκη κακὰ, χώραν δ' ἄλλην οὐκ ἔχει·) ἀποδοτέον δὴ τὰς προσηκούσας τοῖς ταῦτ' ἐπιτεταμμένοις τιμὰς, καὶ τῷ βίῳ λειτουργητέον τὰ πρέποντα, μέχρις ἂν τῶν δεσμῶν ἀπολυθῶσιν· μὴ καὶ ἀχάριστοι [6]) πρὸς τούσδε εἶναι δυκῶσιν. Καὶ γὰρ ἄδικον, μετέχοντας ὧν [7]) οἵδε ἔχουσι, μηδὲν αὐτοῖς συντελεῖν.« Φαμὲν δὲ καὶ πρὸς ταῦτα, ὅτι εὔλογος ἐξαγωγὴ οὐδεμία ἡμῖν εἶναι δοκεῖ, εἰ μὴ ἡ δι' εὐσέβειαν καὶ ἀρετὴν μόνη· ἐπὰν ὑπὸ τῶν

---

[1]) Cfr. Jesai LIII, 12. coll. Marc. XV, 28.

[2]) Hoeschel. in textu, Spenc. ad marg. ἐρεῖ.

[3]) Libri antea editi (v. c. edd. Spenc.) εἰς ἄνδρα ἰέναι, sed Mss. εἰς ἄνδρας ἰέναι. R.

[4]) Cfr. pag. 192. not. 3.

[5]) Scribendum videtur Guieto: χωρεῖν ἐνθένδε πασσυδί. R.

[6]) Ita legendum videtur Guieto, sicque habet Cod. Jolianus ex correctione, libri autem antea editi (v. c. edd. Spenc.) ἄχρηστοι. R. — Jam Boherellus: »Lego: ἀχάριστοι. Vide libri huj. num. 57.«

[7]) Boherellus, quocum Ruaeus facit: »Legendum forte: ὧν οἵδε τὴν οἰκονομίαν ἔχουσι.« — Cfr. lib. huj. num. 57. sub finem.

δικάζειν νομιζομένων, ἢ ἐξουσίαν τοῦ ζῆν ἡμῶν ἔχειν δοκούντων, τὸ[1]) ἕτερον προτείνηται· ἢ τὸ ζῆν μετὰ τοῦ παρὰ τὰ διατεταγμένα ὑπὸ τοῦ Ἰησοῦ πράττειν· ἢ τὸ ἀποθνήσκειν μετὰ τοῦ πείθεσθαι τοῖς λόγοις αὐτοῦ. Ἀλλὰ καὶ ἄγεσθαι γυναῖκα ἐπέτρεψεν ἡμῖν ὁ θεὸς, ὡς οὐ πάντων χωρούντων[2]) τὸ διαφέρον, τουτέστι τὸ πάντη καθαρόν· καὶ ἀγομένοις γυναῖκας, τὰ γεννώμενα πάντως τρέφειν, καὶ μὴ ἀναιρεῖν[3]) τὰ ὑπὸ τῆς προνοίας διδόμενα τέκνα. Καὶ οὐ μάχεται ταῦτα τῷ μὴ πείθεσθαι ἡμᾶς τοῖς νεμομένοις τὴν γῆν δαιμονίοις· ὁπλισάμενοι (415) γὰρ τῇ πανοπλίᾳ[4]) τοῦ θεοῦ ἱστάμεθα, ὡς ἀθληταὶ εὐσεβείας, πρὸς τὸ τῶν ἐπιβουλευόντων ἡμῖν δαιμόνων γένος.

56. Κἂν τῷ ἑαυτοῦ οὖν λόγῳ πασσυδὶ ἡμᾶς ἀποπέμπῃ τοῦ βίου ὁ Κέλσος, ἵν', ὡς νομίζει, ἐρημωθῇ πάμπαν ἐπὶ γῆς τὸ τοιοῦτον ἡμῶν γένος· ἀλλ' ἡμεῖς ἐν τοῖς τοῦ κτίσαντος ἡμᾶς κατὰ τοὺς τοῦ θεοῦ βιώσομεν νόμους, οὐδαμῶς δουλεύειν θέλοντες τοῖς τῆς ἁμαρτίας νόμοις. Καὶ γυναῖκας, ἐὰν βουλώμεθα, ἀξόμεθα, καὶ παῖδας διδομένους ἡμῖν ἐν τοῖς γάμοις ἡμῶν ληψόμεθα. Ἐὰν δὲ δέῃ καὶ τῶν ἐν τῷ βίῳ μεθέξομεν, ἀνεχόμενοι τῶν ἐπιτεταγμένων κακῶν, ὡς πειρασμῶν τῆς ψυχῆς. Οὕτως γὰρ ἔθος τοῖς θείοις ὀνομάζειν[5]) λόγοις τὰ συμβαίνοντα ἐν ἀνθρώποις· ἐν οἷς, ὡς χρυσὸς ἐν πυρὶ, ἡ τοῦ ἀνθρώπου βασανιζομένη ψυχὴ ἤτοι

---

[1]) Boherellus: »Lego: θάτερον.«

[2]) Cfr. Matth. XIX, 11.

[3]) Boherellus: »Eodem verbo, in voce media, usus est supra, cfr. pag. 191. not. 4., Celsus, sed sensu plane diverso, quemadmodum patet vel ex iis, quae not. 5. sequuntur: Εἰ δὲ καὶ γυναῖκας ἄξονται, καὶ παῖδας ποιήσονται, κτλ. Ut alicui videri possit Origenes contra Celsi mentem accepisse; quod non puto tamen.«

[4]) Cfr. Ephes. VI, 11. coll. 13.

[5]) Cfr. Deut. XXXI, 17. coll. Jacob. I, 2. I Petr. I, 6. 7.

ἐλέγχεται, ἢ θαυμαστὴ εἶναι ἀναφαίνεται. Καὶ οὕτως γε πρὸς ἃ λέγει κακὰ Κέλσος παρεσκευάσμεθα, ὥστε καὶ λέγειν ἡμᾶς· »δοκίμασόν[1]) με, κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου, καὶ τὴν καρδίαν μου.« Καὶ γὰρ οὐδεὶς[2]) »στεφανοῦται, ἐὰν μὴ νομίμως« ἐνταῦθα καὶ ἐπὶ γῆς μετὰ σώματος[3]) τοῦ τῆς ταπεινώσεως »ἀθλήσῃ.« Πρὸς δὲ τούτοις οὐδὲ ἀποδίδομεν τὰς νομιζομένας προσήκειν τιμὰς οἷς λέγει[4]) Κέλσος τὰ τῇδε ἐπιτετράφθαι. Κύριον γὰρ τὸν θεὸν ἡμῶν προσκυνοῦμεν, καὶ αὐτῷ μόνῳ λατρεύομεν, εὐχόμενοι μιμηταὶ Χριστοῦ γίγνεσθαι· ὃς τῷ εἰπόντι αὐτῷ διαβόλῳ· »Ταῦτά[5]) σοι πάντα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι·« εἶπε[6]) τό· »κύριον[7]) τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.« Καὶ διὰ τοῦτό γε τὰς νομιζομένας προσήκειν τιμὰς οἷς φησι Κέλσος τὰ τῇδε ἐπιτετράφθαι οὐκ ἀποδίδομεν· ἐπεὶ »οὐδεὶς[8]) δύναται δυσὶ κυρίοις δουλεύειν·« καὶ οὐ δυνάμεθα ἅμα »θεῷ[9]) δουλεύειν καὶ Μαμωνᾷ,« εἴθ' ὅ, τί ποτε ἓν ἢ πλείονα, καλουμένῳ. Ἀλλὰ καὶ εἰ »διὰ[10]) τῆς παραβάσεως τοῦ νόμου« ἀτιμάζει τις τὸν νομοθετοῦντα· σαφὲς ἡμῖν φαίνεται, ὅτι δύο νόμων ἐναντιότητα πρὸς ἀλλήλους ἐχόντων, τοῦ νόμου τοῦ θεοῦ, καὶ τοῦ νόμου τοῦ Μαμωνᾶ, αἱρετώτερον ἡμᾶς διὰ τῆς παραβάσεως τοῦ νόμου τοῦ Μαμωνᾶ τὸν Μαμωνᾶν ἀτιμάζειν, ἵνα διὰ τῆς τηρήσεως τοῦ νόμου τοῦ θεοῦ τὸν

---

[1]) Psalm. XXVI, 2. (XXV.)

[2]) Cfr. II Tim. II, 5. [3]) Cfr. Philipp. III, 21.

[4]) Edd. Spenc., uncis Artic. ὁ appositis: *λέγει ὁ Κέλσος.* [5]) Cfr. Matth. IV, 9.

[6]) Libri antea editi (v. c. edd. Spenc.) *εἶπε· τὸν κύριον τὸν θεόν σου κτλ.* Sed Cod. Basil. ut in nostro textu. R.

[7]) Matth. IV, 10. coll. Deut. VI, 13.

[8]) Cfr. Matth. VI, 24. [9]) Matth. VI, 24.

[10]) Cfr. Rom. II, 23.

θεὸν τιμήσωμεν· ἢ διὰ τῆς παραβάσεως τοῦ νόμου τοῦ θεοῦ τὸν θεὸν ἀτιμάζειν, ἵνα τηρήσει τοῦ νόμου τοῦ Μαμωνᾶ τὸν Μαμωνᾶν τιμήσωμεν.

57. Κέλσος μὲν οὖν οἴεται, »τῷ βίῳ λειτουργεῖν τὰ πρέποντα, μέχρις ἂν τῶν δεσμῶν ἀπολυθῶσιν ἄνθρωποι,« ἐπὰν κατὰ τὰ νενομισμένα τοῖς πολλοῖς τὰς θυσίας τις ἀποδιδῷ ἑκάστῳ τῶν κατὰ πόλιν νομιζομένων θεῶν, οὐ νοήσας τὸ ἀληθῶς πρέπον ὑπὸ τῆς ἀκριβοῦς εὐσεβείας ὑπολαμβανόμενον· ἡμεῖς δέ φαμεν τῷ βίῳ λειτουργεῖν μετὰ τῶν πρεπόντων τὸν μεμνημένον τίς τε ὁ δημιουργήσας, καὶ τίνα τὰ ἐκείνῳ φίλα, καὶ πάντα πράττοντα πρὸς τὸ φίλον τῷ θεῷ. Καὶ πάλιν Κέλσος μὲν [1]) θέλει »ἡμᾶς εὐχαρίστους εἶναι πρὸς τοὺς τῇδε δαίμονας,« οἰόμενος [2]) ἡμᾶς »ὀφείλειν αὐτοῖς (416) χαριστήρια·« καὶ ἡμεῖς δὲ, τρανοῦντες τὸν περὶ εὐχαριστίας λόγον, φαμὲν, πρὸς τοὺς μηδὲν εὐεργετοῦντας, ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου ἱσταμένους, μηδὲν ἀχάριστον ἡμᾶς ποιεῖν, ὅταν αὐτοῖς μὴ θύωμεν, ἀλλὰ μηδὲ θεραπεύωμεν αὐτούς. Ἀλλὰ τὸ ἀχάριστοι εἶναι πρὸς τὸν θεὸν περιϊστάμεθα, οὗ τῶν εὐεργεσιῶν [3]) πλήρεις ἐσμὲν, καὶ δημιουργήματα ὄντες αὐτοῦ, καὶ προνοούμενοι ὑπ' αὐτοῦ [4]) κριθέντες ὅπως ποτὲ εἶναι, καὶ ἔξω τοῦ βίου τὰς παρ' αὐτοῦ ἐλπίδας ἐκδεχόμενοι. Ἔστι δὲ καὶ σύμβολον ἡμῖν τῆς πρὸς τὸν θεὸν εὐχαριστίας, ἄρτος »εὐχαριστία« [5]) καλούμενος. Ἀλλ' οὐδὲ δαίμονες ἔχουσιν,

---

[1]) Edd. Spenc. μὲν οὖν θέλει.

[2]) Hoeschel. in textu male, Spenc. ad marg. οἰομένους.

[3]) Libri antea editi (v. c. edd. Spenc.) in marg. εὐεργειῶν. R.

[4]) Edd. Spenc. αὐτοῦ· κριθέντες ὅπως ποτὲ εἶναι κτλ. Jam Boherell. vero: »Verba: κριθέντες ὅπως ποτὲ εἶναι, ad praecedentia potius quam ad sequentia pertinent.«

[5]) Vide Justin. martyr. Apolog. II. pag. 97. et 98.

ὡς καὶ ἐν τοῖς ἀνωτέρω ἐλέγομεν,[1]) τὴν οἰκονομίαν τῶν πρὸς τὰς ἡμετέρας χρείας δεδημιουργημένων· διὸ οὐδ' ἄδικόν τι πράττομεν, μετέχοντες τῶν δημιουργημάτων, καὶ τοῖς μὴ προσήκουσιν αὐτοῖς[2]) μὴ θύοντες. Κἂν ἴδωμεν δὲ μὴ δαίμονάς τινας, ἀγγέλους δὲ τεταγμένους ἐπὶ τῶν τῆς γῆς καρπῶν, καὶ ἐπὶ τῆς τῶν ζώων γενέσεως, εὐφημοῦμεν αὐτοὺς, καὶ μακαρίζομεν, ἐγχειρισθέντας ὑπὸ τοῦ θεοῦ τὰ χρήσιμα τῷ γένει ἡμῶν· οὐ μὴν τὴν ὀφειλομένην πρὸς θεὸν τιμὴν τούτοις ἀπονέμομεν· οὔτε γὰρ ὁ θεὸς τοῦτο βούλεται, οὔτ' αὐτοὶ, οἱ τὰ τοιάδε ἐγκεχειρισμένοι. Καὶ ἀποδέχονταί[3]) γε ἡμᾶς φυλασσομένους αὐτοῖς θύειν, ἢ θύοντας· οὐδὲ γὰρ χρῄζουσιν ἐκεῖνοι τῶν ἀπὸ γῆς ἀναθυμιωμένων.

58. Μετὰ ταῦτά φησιν ὁ Κέλσος τοιαῦτα· »Ὅτι μὴν ἐν τοῖσδε μέχρι τῶν ἐλαχίστων ἐστὶν ὅτῳ δέδοται ἐξουσία, μάθοι τις ἂν ἐξ ὧν Αἰγύπτιοι[4]) λέγουσιν, ὅτι

---

[1]) Cfr. libri huj. num. 55.

[2]) Libri editi (v. c. edd. Spenc.) in marg. perperam: αὐτοῖς μεθύοντες. R.

[3]) Ruaeus in notis: »Positum est pro: ἀποδέχονταί γε μᾶλλον ἡμᾶς, similiter plane ut Luc. XV, 7. XVII, 2. XVIII, 14. 1 Cor. XIV, 19., et ut Homer. Iliad. lib. I. vers. 117.

Βούλομ' ἐγὼ, λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι.

Tacitus quoque Annal. lib. I. *Pacem quam bellum probabam.*« Item Boherellus: »Subaudi μᾶλλον, ut lib. VII. contra Cels. num. 19. et 42., et lib. huj. VIII. num. 62.«

[4]) Salmasius in fine libri de annis climactericis: »Climacterici vero dies sunt, in quibus pericula ex morbis, aut ex casibus, qui extrinsecus eveniunt, vitae nostrae intentantur, quibusque in discrimen et metum interitus adducitur, ac pene subvertitur. Et climacteres illos, sive pericula, quae annis, vel diebus climactericis, vel etiam horis inde appellatis, accidunt, a Decanis fieri crediderunt, ut dictum est, et per ipsos Decanos omnia vitia valetudinesque colligebant antiquissimi Aegyptii, ut ex Firmico supra docuimus.« Vide ibidem pag. 610—13. »Triginta sex numero hi fuere. In totidem partes corpus humanum distribuerunt, et singulis Decanis singulas

ἀρα τοῦ ἀνθρώπου τὸ σῶμα ἐξ καὶ τριάκοντα διειλημφότες δαίμονες, ἢ θεοί τινες αἰθέριοι, εἰς τοσαῦτα μέρη νενεμημένον, (οἱ δὲ καὶ πολὺ πλείους λέγουσιν,) ἄλλος ἄλλο τι αὐτοῦ νέμειν ἐπιτέτακται. Καὶ τῶν δαιμόνων ἴσασι τὰ ὀνόματα ἐπιχωρίῳ φωνῇ, ὥσπερ Χνουμὴν, καὶ Χναχουμὴν,[1]) καὶ Κνὰτ, καὶ Σικὰτ, καὶ Βιοὺ, καὶ Ἐροὺ, καὶ Ἐρεβίου, καὶ Ῥαμανὸρ, καὶ Ῥειανοὸρ, ὅσα τε ἄλλα τῇ ἑαυτῶν γλώσσῃ ὀνομάζουσι· καὶ δὴ ἐπικαλοῦντες αὐτοὺς ἰῶνται τῶν μερῶν τὰ παθήματα. Τί οὖν κωλύει τούτους τε καὶ τοὺς ἄλλους δεξιούμενον,

---

attribuerunt, earumque partium morbos, quarum et proprii fuere climacteres. Insignis de ea re locus Celsi apud Origenem contra ipsum in haec verba lib. VIII. Ὅτι μὴν ἓν τοῖσδε κτλ. De Decanis eum loqui ipse numerus indicat, et quod θεοὺς αἰθερίους Deos aetheri affixos nominat. Sed illud magis, quod sequitur de eorum nominibus Aegyptiacis: Καὶ τῶν δαιμόνων ἴσασι κτλ. Haec esse nomina Decanorum ex eorum, quae superius exposuimus, catalogo patet. Sed nonnulla hic corrupta sunt, aut aliter appellata, quam apud eos mathematicos, ex quibus ea depromsi. Χνοῦμις Decanus ibi est tertius Cancri, et Χαρχνοῦμις primus Leonis, qui hic perperam Χναχουμὶς (Χναχουμὴν) vocatur. Σιχέτ (Σικέτ) ibi dicitur, qui apud Origenem Σικάτ. In vulgatis Firmici ASICATII legitur, quod videtur confirmare scripturam libri Origenis. Pro Κνάτ scribitur Σμάτ apud Hephaestionem, qui primus est Decanus Capricorni. Ἐρού Celsi, Ἐρώ est Hephaestionis, et secundus Tauri Decanus. Ἐρεβιού (Ἐρεβίου) nullus est in nostro Catalogo, sed pro eo vel Πτιβιού, vel Ῥηνού, qui est primus Decanus Sagittarii. Pro Βιού est Ἀβιού in nostro, primus Decanus Piscium; qui Ῥαμανὼρ (Ῥαμανόρ) dicitur apud Origenem, esse puto, qui Ῥομβόμαρε Hephaestioni vocatur. Ῥειανόρ (Ῥειανοὸρ) etiam corruptum liquet pro Χόνταχρε aut Οὔαρε, aut pro Σρὼ Ἰσιού. Sed haec non tanti. Hoc tantum hic voluimus, de Decanis ibi locutum esse Celsum, quibus singulae partes corporis attributae, tanquam diis praesidibus, earumque partium morbi tanquam climacteres morbiferos facientibus, aut depellentibus potius.« Spenc.

[1]) Cfr. de hoc voc. et seqq. pag. 195. not. 4.

ἂν χρήζῃ τις ὑγιαίνειν μᾶλλον ἢ νοσεῖν, καὶ εὐτυχεῖν μᾶλλον ἢ δυστυχεῖν, καὶ βασανιστηρίων καὶ κολαστηρίων, ὡς[1]) οἷόν τε, ἀπηλλάχθαι;« Καὶ διὰ τούτων δὴ κατάγειν ἡμῶν πειρώμενος τὴν ψυχὴν ὁ Κέλσος ἐπὶ τοὺς δαίμονας, ὡς λαχόντας ἡμῶν τὰ σώματα, καὶ ἕνα ἕκαστον ἐπιστατεῖν ἀποφαινόμενος μέρος[2]) τοῦ σώματος ἡμῶν, θέλει ἡμᾶς πιστεύειν μὲν οἷς λέγει δαιμονίοις, καὶ θεραπεύειν αὐτά· ἵνα ὑγιαίνωμεν μᾶλλον ἢ νοσῶμεν, καὶ εὐτυχῶμεν μᾶλλον ἢ δυστυχῶμεν, καὶ, ὅση δύναμις, βασανιστηρίων,[3]) ὡς οἷόν τέ ἐστιν, ἀπαλλαγῶμεν. Τοσοῦτον δ' ἄρα κατέγνωκε τῆς εἰς τὸν θεὸν τῶν ὅλων ἀσχίστου καὶ ἀδιαιρέτου τιμῆς, ὡς μὴ αὐτάρκη πιστεύων[4]) τὸν θεὸν μόνον προσκυνούμενον, καὶ μεγαλοφώνως[5]) (417) τιμώμενον[6]) παρέχειν τῷ τιμῶντι ἀπ' αὐτοῦ τοῦ σέβειν αὐτὸν δύναμιν κωλυτικὴν τῆς τῶν δαιμόνων κατὰ τοῦ ὁσίου ἐπιβουλῆς. Οὐ γὰρ ἑώρακε, τίνα τρόπον τὸ ἐν ὀνόματι τοῦ Ἰησοῦ ὑπὸ τῶν γνησίως πιστευόντων καλούμενον οὐκ ὀλίγους ἀπὸ νόσων καὶ δαιμονισμῶν καὶ ἄλλων περιστάσεων ἰάσατο.

59. Εἰκὸς δ', ὅτι γελάσεται μὲν ὁ τὰ Κέλσου ἀσπαζόμενος, λεγόντων ἡμῶν, ὅτι »ἐν[7]) τῷ ὀνόματι τοῦ Ἰησοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων, καὶ ἐπιγείων,

---

[1]) Edd. Spenc. et Ruaei in textu: *ὡς οἵονται*, ed. vero Ruaei in notis: »Libri antea editi (v. c. edd. Spenc.) *ὡς οἵονται*. Sed videtur legendum: *ὡς οἷόν τε*. Nam paulo infra Origenes habet: *βασανιστηρίων, ὡς οἷόν τέ ἐστιν, ἀπαλλαγῶμεν*.« — Jam Boherellus: Ex seqq. legendum videtur: *ὡς οἷόν τε*.«

[2]) Libri antea editi (v. c. edd. Spenc.) *μέρους*. At Cod. Reg. *μέρος*, et recte quidem, ut jungatur cum praecedenti: *ἕκαστον*. R.

[3]) Cfr. pag. huj. not. 1.

[4]) Boherellus: »Malim: *πιστεύειν*.«

[5]) Boherellus: »Malim: *μεγαλοφρόνως*.«

[6]) Edd. Spenc. perperam: *τιμωμένων*.

[7]) Cfr. Philipp. II, 10. 11.

καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ὑπάγεται τῷ ἐξομολογεῖσθαι, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός.« Γελάσας δὲ ἐναργεστέρας ἀποδείξεις λήψεται ταῦτ' οὕτως ἔχειν, ἢ περὶ ὧν ὀνομάτων ἱστορεῖ τοῦ Χνουμὴν, καὶ τοῦ Χναχουμὴν, καὶ τοῦ Κνὰτ,[1]) καὶ τοῦ Σικὰτ, καὶ τῶν λοιπῶν τοῦ Αἰγυπτιακοῦ καταλόγου, ὡς καλουμένων, καὶ ἰωμένων τὰ τῶν μερῶν παθήματα. Καὶ ὅρα γε, τίνα τρόπον ἡμᾶς ἀποτρέπων πιστεύειν ἐπὶ τὸν τῶν ὅλων Θεὸν διὰ Ἰησοῦ τοῦ Χριστοῦ, ἐπὶ πίστιν, διὰ τὴν τοῦ σώματος ἡμῶν θεραπείαν, καλεῖ ἐξ καὶ τριάκοντα βαρβαρικῶν δαιμόνων· οὓς μόνοι Αἰγυπτίων μάγοι καλοῦντες, οὐκ οἶδ' ὅπως, ἐπαγγέλλονται ἡμῖν τὰ κρείττονα. Ὥρα δ' ἡμῖν, κατὰ τὸν Κέλσον, μαγγανεύειν μᾶλλον, καὶ γοητεύειν, ἤπερ Χριστιανίζειν· καὶ ἀπείρῳ τινὶ ἀριθμῷ δαιμόνων μᾶλλον πιστεύειν ἢ τῷ αὐτόθεν ἐμφανεῖ, καὶ ζῶντι, καὶ ἐναργεῖ θεῷ τῷ ἐπὶ πᾶσι, διὰ τοῦ πολλῇ δυνάμει ἐπισπείραντος τὸν καθαρὸν τῆς θεοσεβείας λόγον τῇ πάσῃ τῶν ἀνθρώπων οἰκουμένῃ· οὐ ψεύσομαι δὴ προστιθεὶς καὶ λέγων, ὅτι καὶ τῶν ἄλλων[2]) λογικῶν καὶ δεομένων διορθώσεως καὶ θεραπείας καὶ μεταβολῆς τῆς ἀπὸ τῆς κακίας.

60. Ὑπειδόμενος γοῦν ὁ Κέλσος τὸν εἰς μαγείαν ὅλισθον τῶν τὰ τοιαῦτα μεμαθηκότων, καὶ συναισθηθεὶς[3]) πως βλάβης περὶ τοὺς ἀκούοντας ἐσομένης, φησίν· »Ἐκεῖνο μέντοι φυλακτέον, ὅπως μή τις συνὼν τούτοις, τῇ θεραπείᾳ τῇ περὶ αὐτὰ συντακῇ, φιλοσωματήσας τε, καὶ τῶν κρειττόνων ἀποστραφεὶς, λήθῃ κατα-

---

[1]) Hoeschel. in textu, Spenc. ad marg. *Κὰτ, καὶ τοῦ Σίκι.* Spenc. in textu: *Κνὰτ, καὶ τοῦ Σκάι.* — Cfr. pag. 195. not. 4. coll. pag. 196. not. 1.

[2]) Vide Huetium Origenianor. lib. II. quaest. III. num. XX. XXI. et XXII.

[3]) Edd. Spenc., uncis voc. ὡς appositis: *συναισθηθείς πως ὡς βλάβης.*

σχεθῇ. Χρὴ γὰρ ἴσως οὐκ ἀπιστεῖν ἀνδράσι σοφοῖς, οἳ δή φασι, διότι [1]) τῶν μὲν περιγείων δαιμόνων [2]) τὸ πλεῖστον γενέσει συντετηκὸς, καὶ προσηλώμενον αἵματι, καὶ κνίσσῃ, καὶ μελῳδίαις, καὶ ἄλλοις τισὶ τοιούτοις προσδεδεμένον, κρεῖττον οὐδὲν δύναιτ' ἂν τοῦ θεραπεῦσαι σῶμα, καὶ μέλλουσαν τύχην ἀνθρώπῳ καὶ πόλει προειπεῖν, καὶ ὅσα περὶ τὰς θνητὰς πράξεις ταῦτα ἴσασί τε καὶ δύνανται.« Τηλικούτου οὖν ὀλίσθου περὶ τὸν τόπον ὄντος, ὡς καὶ ὁ ἐχθρὸς τῇ τοῦ θεοῦ ἀληθείᾳ μαρτυρεῖ· πόσῳ βέλτιον, χωρὶς πάσης ὑφοράσεως ὑπὲρ τοῦ συντακῆναι τοιούτοις δαίμοσιν, ἢ φιλοσωματῆσαι, καὶ τὰ κρείττονα ἀποστραφῆναι, καὶ ὑπὸ λήθης τῆς τῶν κρειττόνων κατασχεθῆναι, τὸ ἑαυτὸν ἐμπιστεῦσαι, τῷ ἐπὶ πᾶσι θεῷ, διὰ τοῦ τὴν τοιαύτην ἡμῖν διδασκαλίαν ὑποθεμένου Ἰησοῦ Χριστοῦ, καὶ ἀπ' ἐκείνου αἰτεῖν πᾶσαν (418) βοήθειαν, καὶ φρουρὰν τὴν ἀπὸ ἁγίων ἀγγέλων καὶ δικαίων· ἵν ἡμᾶς ῥύσωνται ἀπὸ τῶν περιγείων δαιμόνων, καὶ γενέσει συντετηκότων, καὶ αἵματι καὶ κνίσσῃ προσηλωμένων, καὶ ἀλλοκότοις μελῳδίαις ἀγομένων, καὶ ἄλλοις τοιούτοις προσδεδέμενων· ὁμολογουμένως μὲν, καὶ κατὰ τὸν Κέλσον, κρεῖττον οὐδὲν δυναμένων τοῦ θεραπεῦσαι τὸ σῶμα. Ἐγὼ δ' εἰποιμ' ἄν, ὅτι οὐδ' ἐναργές ἐστι τὸ, τοὺς δαίμονας τούτους, ὅπως ποτὲ θεραπευομένους, δύνασθαι θεραπεύειν τὰ σώματα· ἀλλὰ χρὴ τὴν θεραπείαν τῶν σωμάτων, εἰ μὲν ἁπλούστερον βούλοιτό τις ζῆν καὶ κοινότερον, ἐφόδῳ [3]) ἰατρικῇ θεραπεύειν· εἰ δὲ βέλτιον παρὰ τοὺς πολλοὺς, εὐσεβείᾳ [4]) τῇ εἰς τὸν ἐπὶ πᾶσι θεὸν καὶ [3]) ταῖς πρὸς ἐκεῖνον εὐχαῖς.

---

[1]) Boherellus: »Malim: ὅτι.«

[2]) Libri editi (v. c. edd. Spenc.) in marg. habent: δαιμονίων. R.

[3]) Cfr. Sap. Sirac. XXXVIII, 1.

[4]) Hoeschel. in notis: »Exemplo Gorgoniae sororis Greg. Nazianzen. admirando; quae ossibus et membris,

61. *Καὶ σὺ γὰρ σκόπησον παρὰ σαυτῷ, ποῖον παραδέξεται μᾶλλον ἦθος ὁ ἐπὶ πᾶσι θεὸς, καὶ δυνάμενος ὅσα ἄλλος οὐδεὶς πρὸς πάντα καὶ πρὸς εὐεργεσίαν ἀνθρώπων, εἴτε περὶ ψυχὴν, εἴτε περὶ σῶμα, εἴτε περὶ τὰ ἐκτός· πότερον τὸν αὐτῷ περὶ πάντων ἀνακείμενον, ἢ τὸν περιεργαζόμενον δαιμόνων ὀνόματα, καὶ δυνάμεις, καὶ πράξεις, καὶ ἐπῳδὰς, καὶ βοτάνας οἰκείας δαίμοσι, καὶ λίθους, καὶ τὰς ἐν αὐτοῖς γλυφὰς, καταλλήλως*[1] *ταῖς παραδεδομέναις εἴτε συμβολικαῖς, εἴτε ὑπώσποτε μορφαῖς δαιμόνων. Ἀλλὰ δῆλον τῷ καὶ ἐπ' ὀλίγον παρακολουθεῖν δυναμένῳ, ὅτι τὸ ἁπλαστον μὲν καὶ ἀπερίεργον ἦθος διὰ τοῦτο θεῷ τῷ ἐπὶ πᾶσιν ἀνακείμενον, ἀποδεκτὸν ἔσται θεῷ, καὶ πᾶσι τοῖς ἐκείνῳ οἰκειουμένοις· τὸ*[2] *δὲ δι' ὑγείαν σώματος, καὶ φιλοσωματίαν, καὶ τὴν ἐν μέσοις πράγμασιν εὐτυχίαν, περιεργαζόμενον δαιμόνων ὀνόματα, καὶ ζητοῦν πῶς κηλήσει*[3] *τισὶν ἐπῳδαῖς τοὺς δαίμονας, ὡς μοχθηρὸν καὶ ἀσεβὲς, καὶ δαιμονικὸν μᾶλλον, ἢ ἀνθρωπικὸν, καταλείψει ὁ θεὸς ὁ*[4] *Ἰησοῦς εἶλετο ὁ τὰ τοιάδε λέγων δαι-*

---

de vehiculo praecipitata, fractis et comminutis, absque omni medico, sanitati a Deo, cui sese consecrarat, legitur restituta «

[5]) Ita Codd. Reg. et Basil. rectius quam libri antea editi (v. c. edd. Spenc.) *ἐν ταῖς πρὸς ἐκεῖνον κτλ.* R.

[1]) Sic Codd. Reg. et Basileensis. Libri editi (v. c. edd. Spenc.) *καταλλήλως ταῖς παραδιδομέναις.* R. — Boherellus: »Malim: *καταλλήλους.*«

[2]) Edd. Spenc. ad marg. *τό, τε.*

[3]) Cfr. lib. VII. contra Cels. num. 64.

[4]) Ruaeus non male in notis: »Post voces· *ὁ Ἰησοῦς*, libri antea editi (v. c. edd. Spenc.) addunt intra uncos: *εἶλετο ὁ τὰ τοιάδε λέγων*, quae cum evidenter corrupta sint, Boherellus legendum putat: *οἷς Ἰησοῦ εἶλετο ὁ τὰ τοιάδε λέγων, δαίμοσι*, id est: *iis, quos Jesu praefert ille, qui talia dicit, daemonibus.* Ego vero haec: *ὁ Ἰησοῦς εἶλετο ὁ τὰ τοιάδε λέγων*, ut spuria et peregrina, negligenda esse duxerim. Forte istud in margine

μοσι διασπαραχθησόμενον, ὑπὸ τῶν ἐφ' [1]) ἑκάστου ὑποβαλλομένων λογισμῶν, ἢ καὶ ἄλλων κακῶν. Εἰκὸς γὰρ αὐτοὺς, ἅτε φαύλους ὄντας, καὶ, ὡς Κέλσος ὡμολόγησε, προσηλωμένους αἵματι, καὶ κνίσσῃ, καὶ μελῳδίαις, καὶ ἄλλοις τισὶ τοιούτοις, μηδὲ πρὸς τοὺς ταῦτα αὐτοῖς χαριζομένους πίστιν τηρεῖν καὶ οἱονεὶ δεξιάς. Ἄλλων γὰρ αὐτοὺς καλούντων κατὰ τῶν θεραπευσάντων, καὶ πλείονος αἵματος, καὶ κνίσσης, καὶ ἧς δέονται θεραπείας, ὠνουμένων αὐτῶν τὴν δουλείαν, ἐπιβουλεύσαιεν ἂν τῷ χθὲς αὐτοὺς θεραπεύσαντι, καὶ τῆς φίλης αὐτοῖς θοίνης μεταδιδόντι.

62. Πολλὰ δὲ Κέλσος ἐν τοῖς πρὸ τούτων εἰπὼν, μέχρι χρηστηρίων, καὶ ἐπὶ τὰ μαντεῖα αὐτῶν ἀναπέμψας ἡμᾶς ὡς θεῶν, νῦν κρεῖττον πεποίηκεν, ὁμολογήσας ὅτι οἱ μέλλουσαν τύχην ἀνθρώπῳ καὶ πόλει προλέγοντες, καὶ ὅσοι περὶ τὰς θνητὰς πράξεις, περίγειοι δαίμονές εἰσι, γενέσει συντετηκότες, καὶ προσηλωμένοι αἵματι, καὶ κνίσσῃ, καὶ μελῳδίαις, καὶ ἄλλοις τισὶ τοιούτοις προσδεδεμένοι, κρεῖττον τούτων οὐδὲν δυνάμενοι. Καὶ (419) εἰκὸς, ὅτι, ἡνίκα ἱστάμεθα πρὸς Κέλσον θεολογοῦντα τὰ χρηστήρια, καὶ τὰς παρὰ [2]) τοῖς νομιζομένοις θεοῖς θεραπείας, ἀσεβεῖς τις ἡμᾶς ὑπελάμβανε, τοὺς λέγοντας δαιμόνων εἶναι ταῦτ' ἔργα, κατασπώντων εἰς τὰ γενέσεως πράγματα τὰς τῶν ἀνθρώπων ψυχάς· ἀλλὰ νῦν ὁ ἐκεῖνα περὶ ἡμῶν ὑπολαβὼν πειθέσθω καλῶς [3]) λεγομένοις τοῖς ὑπὸ Χριστιανῶν κα-

---

fuerat aliquando adnotatum, et postea in textum irrepsit. Certe a Gelenio non agnoscitur.«

[1]) Hoeschel. in textu, Spenc. ad marg. ὑφ' ἑκάστου ὑποβαλλομένων.

[2]) Hoeschel. in textu, Spencer. ad marg. παρ' αὐτοῖς νομιζομένας θεοῖς θεραπείας.

[3]) Boherellus: »Hic, quemadmodum lib. huj. num. 51. ab initio, addendum puto ὡς, et legendum: ὡς καλῶς λεγομένοις. Vide lib. huj. num. 76. in fine.«

ταγγελλομένοις, ὁρῶν ὅτι καὶ ὁ κατὰ Χριστιανῶν γράψων ταῦτα νῦν ἐπὶ τέλει, ὥσπερεὶ νικώμενος ὑπὸ τοῦ τῆς ἀληθείας πνεύματος, ἀνέγραψε. Κἂν οὖν[1]) λέγῃ Κέλσος τούτοις ἀφοσιωτέον, ἐφ' ὅσον συμφέρει· πάντῃ γὰρ τοῦτο ποιεῖν, οὐχ αἱρεῖ λόγος· οὐκ ἀφοσιωτέον[2]) δαιμονίοις συντετηκόσι κνίσσαις καὶ αἵμασιν· οὔτε τὸ θεῖον, ὅσον ἐφ' ἡμῖν, μολυντέον, κατάγουσιν αὐτὸ ἐπὶ μοχθηροὺς δαίμονας. Εἰ δ' ἠχριβώκει Κέλσος τὴν τοῦ συμφέροντος ἔννοιαν, καὶ ἐωράκει, ὅτι τὸ κυρίως συμφέρον ἀρετή ἐστι, καὶ ἡ κατ' ἀρετὴν πρᾶξις· οὐκ ἂν τό· »ἐφ' ὅσον συμφέρει·« ἔταξεν ἐπὶ τῶν τοιῶνδε, καὶ, ὡς αὐτὸς ὡμολόγησε, δαιμόνων. Ἡμεῖς οὖν αἱρούμεθα, εἰ μέλλοι διὰ θεραπείας τοιούτων δαιμόνων ἡ ὑγίεια ἡμῖν παραγίγνεσθαι, καὶ ἡ ἐν βιωτικοῖς εὐτυχία, νοσεῖν μᾶλλον, καὶ ἐν βιωτικοῖς δυστυχεῖν μετὰ συνειδότος τοῦ πρὸς τὸν θεὸν τῶν ὅλων καθαρῶς εὐσεβοῦς, ἤπερ μετὰ τοῦ σχίζεσθαι καὶ ἀποπίπτειν τοῦ θεοῦ καὶ τὴν ψυχὴν ἐσχάτως νοσεῖν καὶ κακοδαιμονεῖν, ὑγιαίνειν τῷ σώματι, καὶ ἐν βιωτικοῖς ἀπαλλάσσειν εὐτυχέστερον. Καὶ τῷ ἀπροσδεεῖ γε παντὸς οὐτινοσοῦν, πλὴν τῆς ἀνθρώπων σωτηρίας καὶ παντὸς[3]) λογικοῦ, προσελευστέον,[4]) ἢ[5]) τοῖς χρῄζουσι κνίσσης καὶ αἵματος.

63. Κέλσος μὲν οὖν[6]) μετὰ τοσούτους, οὓς εἶπε

---

[1]) Edd. Spenc. ad marg. λέγῃ οὖν.

[2]) Hoeschel. in textu, Spenc. ad marg. ἀποσιωπητέον.

[3]) Vide Huetium Origenianor. libro II. quaest. III. num. XX. XXI. et XXII.

[4]) Hoeschel. et Spencer. in textu, ille: προσελθετέον, hic: προσελευστέον. Iidem in marg., ille: προσελευστέον, vel προσελθεῖν δέον, hic vero: προσελθετέον, vel προσελθεῖν δέον.

[5]) Boherellus: »Subaudi μᾶλλον Vide lib. VII. contra Cels. num. 19.

[6]) Post οὖν libri antea editi (v. c. edd. Spenc.) habent: οἴεται, quam vocem ut superfluam expunximus. Et certe in Cod. Joliano deleta est punctis inferius appositis.

περὶ δαιμόνων δεομένων κνίσσης καὶ αἵματος, λόγους, ὡσπερεὶ ἐπὶ μοχθηρίας ἐρχόμενος παλινῳδίαν, φησίν· »ὅτι μᾶλλον οἰητέον τοὺς δαίμονας μηδενὸς χρῄζειν, μηδὲ δεῖσθαί τινος· ἀλλὰ χαίρειν τοῖς τὸ εὐσεβὲς δρῶσι πρὸς αὐτούς.« Ἐχρῆν δ', εἰ [1]) τοῦτο ᾤετο εἶναι ἀληθὲς, ἐκεῖνα αὐτὸν μὴ τεθεικέναι, ταῦτα [2]) δ' ὑπειληφέναι. Ἀλλὰ γὰρ οὐ πάντη ἡ ἀνθρωπίνη φύσις ὑπὸ τοῦ θεοῦ καὶ τῆς μονογενοῦς αὐτῷ ἀληθείας καταλείπεται. Διόπερ καὶ Κέλσος εἶπε μὲν ἐν τῷ περὶ κνίσσης καὶ αἵματος, ὧν χρῄζουσι δαίμονες, τἀληθῆ· πάλιν δ' ὑπὸ τῆς ἰδίας κακίας κατώλισθεν ἐπὶ τὰ ψευδῆ, καὶ ἐξομοιοῖ τοὺς δαίμονας ἀνθρώποις τοῖς τελέως [3]) δικαίως πράττουσι τὰ δίκαια, κἂν μηδεὶς αὐτοῖς γιγνώσκῃ χάριν· τὰ ἀγαθὰ δὲ ποιοῦσι τοῖς ἀμειβομένοις τὸ εὐχάριστον. Δοκεῖ δέ μοι συγχεῖσθαι κατὰ τὸν τόπον, καὶ ὁτὲ μὲν τὸ ἡγεμονικὸν ὑπὸ τῶν δαιμόνων ταράττεσθαι, ἔσθ' ὁτὲ δὲ καὶ ἀνανήφων ἀπὸ τῆς ὑπ' [4]) ἐκείνοις ἀλογιστίας, ἐπ' ὀλίγον τι βλέπειν [5]) τοῦ ἀληθοῦς. Πάλιν γὰρ ἐπιφέρει· »Θεοῦ δὲ οὐδαμῇ οὐδαμῶς ἀπολειπτέον, οὔτε μεθ' ἡμέραν, οὔτε νύκτωρ, οὔτ' ἐς κοινὸν, οὔτ' ἰδίᾳ, λόγῳ τε ἐν παντὶ (420) καὶ ἔργῳ διηνεκῶς· ἀλλά γε καὶ μετὰ τῶνδε, καὶ χωρὶς, ἡ ψυχὴ ἀεὶ τετάσθω πρὸς τὸν θεόν.« Ἐγὼ δ' ἀκούω του· »μετὰ τῶνδε·« τουτέστι μετὰ τοῦ κοινοῦ, καὶ μετὰ παντὸς ἔργου, καὶ μετὰ

R. — Jam Boherellus: »Haec vox (scil. οἴεται) abundat. Nata autem videtur ex iis, quae sequuntur: Ὅτι μᾶλλον οἰητέον — χρῄζειν, μηδὲ δεῖσθαί τινος· ἀλλὰ χαίρειν — πρὸς αὐτούς. Ἐχρῆν δ', εἰ τοῦτο ᾤετο εἶναι« κτλ.

[1]) Codd. Reg. et Basil. εἰ τοῦτο ἦν ἀληθές. R.

[2]) Edd. Spenc. et Ruaei in textu, illae: ταῦτα ἀπειληφέναι, haec: ταῦτα δ' ἀπειληφέναι. Ed. vero Ruaei in notis: »Cum Guieto et Boherello lego: ὑπειληφέναι.«

[3]) Legendum videtur: τελέως καὶ δικαίως.

[4]) Forte legendum: ὑπ' ἐκείνων, uti conjicit Guietus. R.

[5]) Codd. Reg. et Basil. κλέπτειν. R.

παντὸς λόγου. Εἶτα πάλιν, ὥσπερεὶ παλαίων τῷ λογισμῷ πρὸς τὰς ἀπὸ τῶν δαιμόνων ἐκστάσεις, καὶ τὰ πολλὰ νικώμενος, ἐπιφέρει, καὶ λέγει· »Εἰ ὦδε ἔχοιεν· τί τὸ δεινὸν, τοὺς τῇδε ἄρχοντας εὐμενίζεσθαι, τούς τε ἄλλους, καὶ τοὺς ἐν ἀνθρώποις δυνάστας καὶ βασιλέας; ὡς οὐδὲ τούτους ἄνευ δαιμονίας ἰσχύος τῶν τῇδε ἠξιωμένους.« Ἐν μὲν οὖν τοῖς ἀνωτέρω κατῆγεν, ὅσον ἐφ' ἑαυτῷ, τὴν ψυχὴν ἡμῶν πρὸς δαίμονας· νῦν δὲ βούλεται ἡμᾶς ἐξευμενίζεσθαι, καὶ τοὺς ἐν ἀνθρώποις δυνάστας καὶ βασιλέας, ὧν[1]) ἐπεὶ μεστὸς ὁ βίος καὶ αἱ ἱστορίαι, οὐχ ἡγησάμην ἀναγκαῖον ἐκθέσθαι τὰ παραδείγματα.

64. Ἕνα οὖν τὸν ἐπὶ πᾶσι θεὸν ἡμῖν ἐξευμενιστέον, καὶ τοῦτον ἵλεω[2]) ἔχειν εὐκτέον, ἐξευμενιζόμενον εὐσεβείᾳ καὶ πάσῃ ἀρετῇ. Εἰ δὲ καὶ ἄλλους τινὰς βούλεται μετὰ τὸν ἐπὶ πᾶσιν ἐξευμενίζεσθαι θεόν· κατανοησάτω, ὅτι ὥσπερ τῷ κινουμένῳ σώματι ἀκολουθεῖ ἡ τῆς σκιᾶς αὐτοῦ κίνησις· τὸν αὐτὸν τρόπον τῷ ἐξευμενίζεσθαι τὸν ἐπὶ πᾶσι θεὸν, ἕπεται εὐμενεῖς ἔχειν[3]) πάντας τοὺς[4]) ἐκείνου φίλους ἀγγέλους, καὶ ψυχὰς, καὶ πνεύματα. Συναίσθονται[5]) γὰρ τῶν ἀξίων τοῦ παρὰ τοῦ θεοῦ εὐμενισμοῦ· καὶ οὐ μόνον καὶ αὐτοὶ εὐμενεῖς

---

[1]) Ita Codd. Reg. et Basileensis. Libri vero antea editi (v. c. edd. Spenc.) ὧν ἐστι μεστὸς ὁ βίος καὶ ἱστορίαι, ὧν οὐχ ἡγησάμην κτλ. R. — Hoeschel. et Spenc. in marg. ὧν ἐπίμεστος ὁ βίος καὶ ἱστορίαι, ὧν οὐχ ἡγησάμην κτλ.

[2]) Sic recte habent Codd. Reg. et Basileensis. Libri autem editi (v. c. edd. Spenc.) in textu omittunt ἔχειν, et in marg. pro εὐκτέον habent: ἐκτέον. R.

[3]) Edd. Spenc. ad marg. ἔχειν τοὺς ἐκείνου πάντας φίλους κτλ.

[4]) Codd. Reg. et Basil. τοὺς ἐκείνῳ φίλους ἀγγέλους. R.

[5]) Guieto scribendum videtur: Συναισθάνονται γὰρ τῶν ἀξίων τοῦ παρὰ τῷ θεῷ εὐμενισμοῦ. R.

τοῖς ἀξίοις γίνονται, ἀλλὰ καὶ συμπράττουσι τοῖς βουλομένοις τὸν ἐπὶ πᾶσι θεὸν θεραπεύειν, καὶ ἐξευμενίζονται, καὶ συνεύχονται, καὶ συναξιοῦσιν· ὥστε τολμᾶν ἡμᾶς λέγειν, ὅτι ἀνθρώποις, μετὰ προαιρέσεως προτιθεμένοις τὰ κρείττονα, εὐχομένοις τῷ θεῷ, μυρίαι ὅσαι ἄκλητοι συνεύχονται δυνάμεις ἱεραί· συμπαρέχουσαι [1]) τῷ ἐπικήρῳ ἡμῶν γένει, καὶ, ἵν' οὕτως εἴπω, συναγωνιῶσαι, [2]) δι' οὓς ὁρῶσιν ἀντιστρατευομένους καὶ ἀνταγωνιζομένους δαίμονας τῇ σωτηρίᾳ μάλιστα τῶν ἑαυτοὺς ἀνατιθέντων θεῷ, καὶ μὴ φροντιζόντων τῆς τῶν δαιμόνων ἔχθρας· ἐὰν ἐκεῖνοι ἐξαγριαίνωσι πρὸς τὸν ἄνθρωπον, φεύγοντα μὲν αὐτῶν τὰς διὰ κνίσσης καὶ αἵματος θεραπείας, παντὶ δὲ τρόπῳ λόγων καὶ πράξεων σπεύδοντα οἰκειοῦσθαι καὶ [3]) ἑνοῦσθαι τῷ ἐπὶ πᾶσι θεῷ, διὰ τοῦ καταλύσαντος μυρίους δαίμονας Ἰησοῦ, ἡνίκα περιῆει »ἰώμενος« [4]) καὶ ἐπιστρέφων »τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου.«

65. Ἡμῖν μέντοι γε καταφρονητέον ἐξευμενισμοῦ ἀνθρώπων καὶ βασιλέων, οὐ μόνον ἐὰν διὰ μιαιφονιῶν, καὶ ἀσελγειῶν, καὶ ὠμοτάτων πράξεων ἐξευμενιζώμεθα αὐτούς· ἀλλὰ καὶ ἐὰν διὰ τῆς εἰς τὸν θεὸν τῶν ὅλων ἀσεβείας, ἤ τινος μετὰ δουλοπρεπείας καὶ ταπεινότητος φωνῆς, ἀλλοτρίας ἀνδρείων καὶ μεγαλοψύχων ἀνδρῶν, καὶ τὴν καρτερίαν ὡς μεγίστην ἀρετὴν συναναλαβεῖν ταῖς ἄλλαις ἐθελόντων. Ἔνθα μέντοι οὐδὲν ἐναντίον πράττομεν νόμῳ καὶ λόγῳ θεοῦ, οὐ μεμήναμεν, οὐδ' ὁρμῶμεν καθ' ἑαυτῶν ἐγείρειν βασιλέως ἢ δυνάστου

---

[1]) Vox: συμπαρέχουσαι Guieto hic locum habere non videtur. Itaque legit: συμπαρηχοῦσαι. R.

[2]) Edd. Spenc. in textu: συναγωνιοῦσαι, ad marg. vero: συναγωνιῶσαι.

[3]) Haec suo loco restituuntur e Codd. Reg. et Basileensi. Alias (v. c. in edd. Spenc.) οἰκειοῦσθαι τῷ ἐπὶ πᾶσι καὶ ἑνοῦσθαι θεῷ. R.

[4]) Cfr. Act. X, 38.

θυμὸν, ἐπὶ αἰκίας καὶ βασανιστήρια, ἢ (421) καὶ θανάτους ἡμᾶς φέροντα. Ἀνέγνωμεν γὰρ καὶ τό· »Πᾶσα[1]) ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. Οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ ἀπὸ θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι,[2]) ὑπὸ τοῦ[3]) θεοῦ τεταγμέναι εἰσίν· ὥστε οἱ[4]) ἀνθεστηκότες τῇ ἐξουσίᾳ, τῇ τοῦ θεοῦ διαταγῇ ἀνθίστανται.« [5]) Ἐν μέντοι γε τοῖς εἰς τὴν πρὸς Ῥωμαίους Ἐξηγητικοῖς,[6]) ὡς δυνατὸν ἦν ἡμῖν, ἐπὶ πλεῖον καὶ ταῦτα τὰ ῥήματα ποικίλως ἐξητάσαμεν·[7]) νῦν δ' αὐτὰ εἰς τὸ προκείμενον, ἁπλούστερον, κατὰ τὴν κοινοτέραν ἐκδοχὴν, παρειλήφαμεν· ἐπείπερ φησὶν ὁ Κέλσος· »οὐκ ἄνευ δαιμονίας ἰσχύος τῶν τῇδε εἶναι ἠξιωμένους.« Καὶ ἐπεὶ πολὺς ἦν ὁ λόγος ὁ περὶ τῆς τῶν βασιλευόντων καὶ δυναστῶν καταστάσεως· πολλῆς ζητήσεως οὔσης κατὰ τὸν τόπον, διὰ τοὺς ὠμότερον καὶ τυραννικώτερον ἄρξαντας, ἢ τοὺς ἐκ τοῦ ἄρχειν ἐπὶ θρύψιν καὶ τρυφὴν ἐξοκείλαντας· διὰ τοῦτο ἐπὶ τοῦ παρόντος τὸ πρόβλημα ἐξετάσαι ὑπερεθέμεθα. Τύχην[8]) μέντοι βασιλέως οὐκ ὄμνυμεν, ὡς οὐδ' ἄλλον νομιζόμενον[9])

---

[1]) Cfr. Rom. XIII, 1. 2.

[2]) In edd. Spenc. uncis inclusum legitur: ἐξουσίαι.

[3]) Uncis inclusum legitur τοῦ in edd. Spenc.

[4]) Sic habent omnes Codd. Mss. et Hoeschel. in textu, quo neglecto lectionem vulgatorum bibliorum Apostoli arripuit Spencerus: ὁ ἀντιτασσόμενος τῇ κτλ. R. — Spencer. in marg. οἱ ἀνθεστηκότες.

[5]) Spenc. in textu: ἀνθέστηκεν, ad marg. ἀνθίστανται.

[6]) Vide Origenem lib. IX. Explanat. in cap. XIII. ad Romanos. [7]) Edd. Spenc. ἐξετάσαμεν.

[8]) Libri antea editi (v. c. edd. Spenc.) in marg. habent: Τύχῃ.

[9]) Hoeschel. in textu, Spenc. ad marg. νομίζομεν θεόν. R. — Euseb. lib. IV. cap. 15. (ed. Heinichen Tom. I. pag. 348. seq.) Ἀνηρώτα ὁ ἀνθύπατος, εἰ αὐτὸς εἴη Πολύκαρπος. Καὶ ὁμολογήσαντος ἔπειθεν ἀρνεῖσθαι, λέγων· αἰδέσθητί σου τὴν ἡλικίαν· καὶ ἕτερα τούτοις ἀκό-

θεόν· εἴτε γὰρ, ὡς ὠνόμασάν τινες, ἐκφορὰ μόνον ἐστὶν ἡ τύχη, ὁμοίως [1]) δοκήσει καὶ διαστάσει· [2]) οὐκ ὄμνυ-

---

λουθα, ἃ σύνηθες αὐτοῖς ἐστι λέγειν· ὅμοσον τὴν Καίσαρος τύχην, μετανόησον, εἶπον· αἶρε τοὺς ἀθέους. Ὁ δὲ Πολύκαρπος ἐμβριθεῖ τῷ προσώπῳ εἰς πάντα τὸν ὄχλον τὸν ἐν τῷ σταδίῳ ἐμβλέψας, ἐπισείσας αὐτοῖς τὴν χεῖρα, στενάξας τε καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, εἶπεν· αἶρε τοὺς ἀθέους. Ἐγκειμένου δὲ τοῦ ἡγουμένου, καὶ λέγοντος· ὅμοσον, καὶ ἀπολύσω σε, λοιδόρησον τὸν Χριστόν· ἔφη ὁ Πολύκαρπος· ὀγδοήκοντα καὶ ἓξ ἔτη δουλεύω αὐτῷ, καὶ οὐδέν με ἠδίκησε. Καὶ πῶς δύναμαι βλασφημῆσαι τὸν βασιλέα μου, τὸν σώσαντά με; Ἐπιμένοντος δὲ πάλιν αὐτοῦ, καὶ λέγοντος· ὅμοσον τὴν Καίσαρος τύχην· ὁ Πολύκαρπος, εἰ κενοδοξεῖς, φησὶν, ἵνα ὀμόσω τὴν Καίσαρος τύχην, ὡς λέγεις προσποιούμενος ἀγνοεῖν ὅστις εἰμὶ, μετὰ παῤῥησίας ἄκουε· Χριστιανός εἰμι. Tertull. Apolog. cap. XXXII. »Sed et juramus, sicut non per genios Caesarum, ita per salutem eorum, quae est augustior omnibus geniis.« Et cap. XXXV. »Atque adeo omnes illi sub ipsa usque impietatis eruptione et sacra faciebant pro salute imperatoris, et genium ejus pejerabant.«

[1]) Ita legitur in Codd. Reg. et Basil. melius quam in editis (v. c. edd. Spenc.), ubi uncis inclusa haec leguntur: ὁμοίως δοκῶσι καὶ διαστάσεις. Itaque ἡ τύχη est tantum ἐκφορά, vox nuda, utpote quae nullam certam habet secum conjunctam ideam. Quidquid sane multi de fortuna dixerint, δόκησις erat, id est, *opinio mera*, quae nullam in animo evidentiam excitare poterat, et id, de quo quis ita opinatur, potius non esse quam esse respectu opinantis est existimandum. Διάστασις quoque, id est, diversitas opinionum, qua fit, ut nemo possit certo judicare, quid fortuna esse debeat, efficit, ut fortuna habeatur tantum ἐκφορά, *vox nihil significans*. Verum pro διαστάσει melius forte scripseris: διστάσει, *dubitatione*. Certe quod ὁμοίως δοκήσει καὶ διστάσει tantum est no-

[2]) Edd. Spenc. ad marg. διαστάσει.

μεν τὸ μηδαμῶς ὂν ὡς θεὸν, ἢ ὅλως ὑφεστηκὸς καὶ δυνάμενόν τι ποιῆσαι, ἵνα μὴ τὴν ὁμοιοκὴν δύναμιν εἰς ἃ μὴ δεῖ παραλαμβάνωμεν· εἴτε καὶ, — ὥς τισιν ἔδοξεν, εἰποῦσι·[1]) τοῦ Ῥωμαίων βασιλέως τὸν δαίμονα ὄμνυσιν[2]) οἱ τὴν τύχην αὐτοῦ ὀμνύοντες —, δαίμων[3]) ἐστὶν ἡ ὀνομαζομένη τύχη τοῦ βασιλέως· καὶ οὕτως ἀποθανητέον[4]) ἐστὶ μᾶλλον ἡμῖν ὑπὲρ τοῦ μὴ ὁμόσαι μοχθηρὸν δαίμονα καὶ ἄπιστον, πολλάκις συνεξαμαρτάνοντα ᾧ ἔλαχεν ἀνθρώπῳ, ἢ καὶ πλέον αὐτοῦ ἁμαρτάνοντα.

66. *Εἶτα πάλιν ὁ Κέλσος, ὁμοίως τοῖς ἀπὸ δαιμονισμοῦ, ἐσθ' ὅτε ἀναφέρουσιν, εἶτα πάλιν καταπίπτουσιν, ὥσπερ νήφων, τοιαῦτά τινα λέγει· »Ἐὰν μέντοι γε κελεύοι τις, εἰ τύχοι, θρησκεύοντα*[5]) *θεὸν ἢ ἀσεβεῖν, ἢ ἄλλο τι αἰσχρὸν εἰπεῖν, οὐδαμῇ οὐδαμῶς πιστευτέον·*[6]) *ἀλλὰ πρὸ τούτων πάσας*[7]) *βασάνοις ἐγκαρτερητέον, καὶ πάντας θανάτους ὑπομενητέον*[8]) *πρίν τι*

---

minatum, aliud esse nisi ἐγγοράν, meram vocem nihil omnino significantem, dicere non possumus. R. — Boherellus: »Si quem sensum ex istis depravatis verbis: ὁμοίως δοκοῦσι καὶ διαστάσεις, elicere cupias, legere potes: ὅμως δοκοῦσι καὶ διαστάσεις, id est: *qua tamen de re inter se dissentire videntur.*«

[1]) Boherellus: »Lego: εἰποῦσιν, ὅτι τοῦ Ῥωμαίων« κτλ. [2]) Edd. Spenc. ad marg. ὀμνύσιν.

[3]) Edd. Spenc. et Ruaei in textu: δαιμόνων ἐστὶ ἡ ὀνομαζομένη κτλ. Ed. vero Ruaei in notis: »Legendum vel cum Guieto: δαίμων ἐστὶν ἡ ὀνομαζομένη κτλ., vel cum Boherello: δαιμόνιόν ἐστιν ἡ ὀνομαζομένη« κτλ.

[4]) Sic Mss. Hoeschelius: ἀποθανετέον, Spenc. ἀποθανατέον. R.

[5]) Hoeschel. in textu, Spenc. ad marg. θρησκεύειν.

[6]) Libri editi (v. c. edd. Spenc.) in marg. πιστέον. R.

[7]) Hoeschel. in textu, Spenc. ad marg. πάσας βασάνους ἐγκαρτερητέον.

[8]) Edd. Spenc. ὑπομενετέον.

ἀνόσιον περὶ θεοῦ, μὴ ὅτι γε εἰπεῖν, ἀλλὰ μελετῆσαι.« Εἶτα πάλιν ἀπ' ἀγνοίας τῆς περὶ τοῦ ἡμετέρου λόγου, καὶ πρὸς ταύτῃ ἀπὸ τοῦ φύρειν τὰ πάντα, τοιαῦτά φησιν· »Ἐὰν δὲ κελεύῃ τις εὐφημῆσαι τὸν ἥλιον, ἢ τὴν Ἀθηνᾶν προθυμότατα μετὰ καλοῦ Παιᾶνος εὐφημεῖν· οὕτω τοι σέβειν μᾶλλον δόξεις[1]) τὸν μέγαν θεὸν, ἐὰν καὶ τοῦσδε ὕμνῃς· τὸ γὰρ θεοσεβὲς διὰ πάντων διεξιὸν, τελεώτερον γίνεται.« Φαμὲν οὖν, ὅτι οὐ περιμένομεν εὐφημῆσαι τὸν ἥλιον τὸν κελεύοντα,[2]) οἱ μαθόντες οὐ μόνον τοὺς τῇ διατάξει ὑποτεταγμένους εὐφημεῖν, ἀλλὰ καὶ τοὺς ἐχθρούς. Εὐφημοῦμεν οὖν ἥλιον, ὡς καλὸν θεοῦ δημιούργημα, καὶ τοὺς νόμους φυλάσσον θεοῦ, καὶ ἀκοῦον τοῦ· »Αἰνεῖτε[3]) τὸν κύριον ἥλιος καὶ σελήνη·« καὶ, ὅση (422) δύναμις, ὑμνεῖτε[4]) τὸν πατέρα καὶ τὸν δημιουργὸν τοῦ παντός. Ἀθηνᾶν[5]) μέντοι μετὰ Ἡλίου τασσομένην ἐμυθοποίησαν οἱ Ἑλλήνων λόγοι, εἴτ' ἐν[6]) ὑπονοίαις, εἴτε χωρὶς ὑπονοιῶν, φάσκοντες ἐκ τῆς τοῦ Διὸς γεγεννῆσθαι κεφαλῆς, καθωπλισμένην· καὶ διωκομένην ποτὲ[7]) ὑπὸ τοῦ Ἡφαίστου, βουλομένου αὐτῆς φθεῖραι τὴν παρθενίαν, ἐκπεφευγέναι μὲν αὐτὸν, τὴν δὲ ἐκ τῆς ἐπιθυμίας πεσοῦσαν ἐπὶ τὴν γῆν θορὴν ἀγαπήσασαν ἐκθρέψαι, καλέσασαν Ἐριχθόνιον,

— — — Τόν[8]) ποτε, φασὶν, Ἀθήνη
Θρέψε, Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος Ἄρουρα.

---

[1]) Libri editi (v. c. edd. Spenc.) in marg. *δόξῃς*. R.

[2]) Codd. Reg. et Basil. *ἀνατέλλοντα*. R.

[3]) Psalm. CXLVIII, 3.

[4]) Hoeschel. in textu male, Spenc. ad marg. *ὑμνοῦντα*.

[5]) Vide Didymum Homeri interpretem ad Iliad. lib. II.

[6]) Cfr. lib. IV. contra Cels. num. 38. coll. Tom. XIX. ed. nostr. pag. 58. not. 1.

[7]) Edd. Spenc. et Ruaei in textu: *τότε*. Jam Boherell. vero, quocum Ruaeus facit in notis: »Malim: *ποτέ*.«

[8]) Sic Mss. et Hoeschel. in textu (itemq. Spenc. ad marg.) Spencer. autem (in textu):

Καὶ ὁρῶμέν γε, ὅτι τῷ προσιεμένῳ τὴν Ἀθηνᾶν, Διὸς θυγατέρα, πολλοὺς μύθους καὶ πλάσματα παραδεκτέον[1] οὓς οὐκ ἂν παραδέχοιτο ὁ φεύγων μὲν μύθους, ζητῶν δ' ἀλήθειαν.

67. *Ἵνα δὲ καὶ τροπολογῆται καὶ λέγηται φρόνησις εἶναι ἡ Ἀθηνᾶ· παρασησάτω τις αὐτῆς τὴν ὑπόστασιν, καὶ τὴν οὐσίαν, ὡς ὑφεστηκυίας κατὰ τὴν τροπολογίαν ταύτην. Εἰ δὲ καὶ ἀρχαία τις γενομένη ἄνθρωπος ἡ Ἀθηνᾶ τετίμηται, παραδόντων*[2] τοῖς ὑποχειρίοις μυστήρια καὶ τελετὰς, τῶν βουληθέντων αὐτῆς τὸ ὄνομα παρὰ ἀνθρώποις ὡς θεοῦ ἄξεσθαι· πολλῷ μᾶλλον οὐ χρὴ ὑμνῆσαι καὶ ὡς θεὸν δοξάσαι τὴν Ἀθηνᾶν, εἴ γε οὐδὲ τὸν ηλικοῦτον ἥλιον προσκυνεῖν ἡμῖν θέμις, κἂν εὐφημῶμεν αὐτόν. Κέλσος μὲν οὖν φησι, μᾶλλον »δοκεῖν ἡμᾶς σέβειν τὸν μέγαν θεὸν, ἂν καὶ ἥλιον καὶ Ἀθηνᾶν ὑμνῶμεν·« ἡμεῖς δὲ τὸ ἐναντίον ἴσμεν. Ὕμνους γὰρ εἰς μόνον τὸν ἐπὶ πᾶσι λέγομεν θεὸν, καὶ τὸν μονογενῆ αὐτοῦ λόγον*[3] καὶ θεόν. Καὶ ὑμνοῦμέν γε θεὸν, καὶ τὸν μονογενῆ αὐτοῦ, ὡς καὶ ἥλιος,[4] καὶ σελήνη, καὶ ἄστρα, καὶ πᾶσα ἡ οὐρανία στρατιά. Ὑμνοῦσι γὰρ πάντες οὗτοι, θεῖος ὄντες χορὸς, μετὰ τῶν ἐν ἀνθρώποις δικαίων τὸν ἐπὶ πᾶσι θεὸν, καὶ τὸν μονογενῆ αὐτοῦ. Προείπομεν μὲν οὖν, μὴ δεῖν ὀμνύναι τὸν ἐν ἀνθρώποις βασιλέα, ἢ τὴν ὀνομαζομένην τύχην αὐτοῦ. Διὸ οὐκ ἀναγκαῖον ἡμᾶς

— — *Ὅν ποτ' (φασὶν) Ἀθήνη*
Θρέψε, κτλ.

Vide Iliad. lib. II. vers. 547. 548. R.

[1]) Ita Cod. Basil. Libri autem editi (v. c. edd. Spenc.) *παρεκδεκτέον*. R. — Jam Boherellus: »Lego: *παραδεκτέον*.«

[2]) Sic una voce Hoeschel. et Mss. (itemq. Spenc. ad marg.) Spencer. autem (in textu): *παρὰ δόντων*. R.

[3]) Mss. *λόγον καὶ θεόν*. Libri antea editi (v. c. edd. Spenc.) *θεὸν λόγον*. R.

[4]) Cfr. Psalm. CXLVIII, 3.

πάλιν ἀπολογεῖσθαι πρὸς τό· »Κἂν ἐν ἀνθρώποις βασιλέα κελεύσῃ σέ τις ὀρχωμοτεῖν· οὐδὲ τοῦτο δεινόν. Δέδοται γὰρ τούτῳ τὰ ἐπὶ γῆς· καὶ ὅ, τι ἂν λαμβάνῃς ἐν τῷ βίῳ, παρὰ τούτου λαμβάνεις.« Ἡμεῖς δέ φαμεν, ὅτι οὐ πάντη δέδοται τούτῳ τὰ ἐπὶ γῆς ὅλα· οὐδ' ὅ, τι ἂν λαμβάνωμεν ἐν τῷ βίῳ, παρὰ τούτου λαμβάνομεν. Δικαίως γὰρ καὶ καλῶς λαμβάνοντες, ἀπὸ τοῦ θεοῦ καὶ τῆς προνοίας αὐτοῦ λαμβάνομεν· οἷον ἡμέρους καρποὺς, καὶ ἄρτον [1]) στηρίζοντα καρδίαν ἀνθρώπου, καὶ [2]) τὴν προσηνῆ ἄμπελον, καὶ οἶνον [3]) εὐφραίνοντα καρδίαν ἀνθρώπου. Ἀλλὰ καὶ τοὺς τῆς ἐλαίας καρποὺς ἀπὸ τῆς προνοίας ἔχομεν τοῦ θεοῦ, τοῦ [4]) »ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ.«

68. Εἶθ' ἑξῆς φησιν ὁ Κέλσος, ὅτι »οὐ χρὴ ἀπιστεῖν ἀνδρὶ ἀρχαίῳ, πάλαι προειπόντι τό·

(423) Εἷς [5]) βασιλεὺς, ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω.«

Καὶ ἐπιφέρει· »Ὡς, ἂν τοῦτο λύσῃς τὸ δόγμα, εἰκότως ἀμυνεῖταί σε ὁ βασιλεύς. Εἰ γὰρ τὸ αὐτό σοι ποιήσειαν ἅπαντες· οὐδὲν κωλύσει τὸν μὲν καταλειφθῆναι μόνον καὶ ἔρημον· τὰ δ' ἐπὶ γῆς ἐπὶ τοῖς ἀνομωτάτοις τε καὶ ἀγριωτάτοις βαρβάροις γενέσθαι, καὶ μήτε τῆς σῆς θρησκείας, μήτε τῆς ἀληθινῆς σοφίας ἐν ἀνθρώποις ἔτι καταλείπεσθαι κλέος.« Εἰ μὲν οὖν

— — εἷς [6]) κοίρανος ἔστω,

Εἷς βασιλεύς· —

---

[1]) Cfr. Psalm. CIV, 15. (CIII.)

[2]) Verba: καὶ τὴν προσηνῆ ἄμπελον, καὶ οἶνον εὐφραίνοντα καρδίαν ἀνθρώπου, in antea editis (e. c. edd. Spenc.) desiderantur, sed in omnibus reperiuntur Mss. et erant Origeni restituenda. R.

[3]) Cfr. Psalm. CIV, 15. (CIII.)

[4]) Cfr. Psalm. CIV, 15. (CIII.)

[5]) Cfr. Iliad. lib. II. vers. 205.

[6]) Iliad. lib. II. vers. 204. 205.

οὐχ

ᾧ [1]) ἔδωκε [2]) *Κρόνου παῖς ἀγκυλομήτεω·*
ἀλλ' ᾧ ἔδωκεν ὁ καθιστῶν [3]) *βασιλεῖς καὶ μεθιστῶν,*
καὶ τὸν χρήσιμον [4]) *κατὰ καιρὸν ἐγείρων ἐπὶ τῆς γῆς·*
καὶ οὐχ ὁ τοῦ καταταρταρωθέντος, ὡς οἱ μῦθοι Ἑλλήνων λέγουσι, Κρόνου υἱὸς ἀπελάσας τοῦτον τῆς ἀρχῆς, καθίστησι βασιλεῖς, οὐδ' ἂν ἀλληγορῇ τις τὰ κατὰ τοὺς τόπους· ἀλλ' ὁ διοικῶν τὰ σύμπαντα θεὸς οἶδεν ὅ, τί ποτε ποιεῖ κατὰ τὸν τόπον τῆς τῶν βασιλέων κατασιάσεως. Λύομεν οὖν τὸ δόγμα·

— — ᾧ [5]) *ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω·*
οὐδὲν ἀγκύλον καὶ σκολιὸν βούλεσθαι πειθόμενοι θεὸν, ἢ πατέρα θεοῦ. Οὐ λύομεν δὲ τὸ δόγμα τὸ περὶ προνοίας, καὶ τῶν εἴτε προηγουμένως ὑπ' αὐτῆς γιγνομένων, εἴτε καὶ ἔκ τινων ἐπακολουθούντων. Ἀλλ' οὐδ' »εἰκότως ἡμᾶς ἀμύνεται βασιλεὺς,« φάσκοντας μέν, ὅτι οὐ

— — *Κρόνου* [6]) *παῖς ἀγκυλομήτεω*
ἔδωκεν αὐτῷ τὸ βασιλεύειν, ὁ δὲ μεθιστῶν [7]) *βασιλεῖς καὶ καθιστῶν. Καὶ τὸ αὐτό γε ποιείτωσάν* [8]) *μοι ἅπαντες, τὸ μὲν Ὁμηρικὸν καταλύοντες δόγμα, τὸ δὲ θεῖον περὶ βασιλείας τηροῦντες, καὶ τὸ τὸν βασιλέα τιμᾶν φυλάττοντες· καὶ τὸ* [9]) *ὡς ἐν ὑποθέσει γε τοιαύτῃ, οὔτε μόνος ὁ βασιλεὺς καταλειφθήσεται, οὔτ' ἔρημος ἔσται· οὔτε τὰ ἐπὶ γῆς ἐπὶ τοῖς ἀνομωτάτοις καὶ ἀγριωτάτοις*

---

[1]) Iliad. lib. II. vers. 205.

[2]) Mss. *ἔδωκε*. Libri antea editi (v. c. edd. Spenc.) *δέδωκε*. R. [3]) Cfr. Dan. II, 21.

[4]) Cfr. Sap. Sirac. X, 4. (Ecclesiastic.)

[5]) Cfr. Iliad. lib. II. vers. 205.

[6]) Cfr. Iliad. lib. II. vers. 205.

[7]) Cfr. Dan. II, 21.

[8]) Edd. Spenc. *ποιήτωσάν μοι*. Jam Boherell. vero: »Lege vel: *ποιείτωσάν μοι*, vel: *ποιησάτωσάν μοι*.«

[9]) Boherellus: »Legendum: *τὸ ὅσον*, vel delendum *τό*.« — Guietus legit: *τότε ὡς κτλ.*

βαρβάροις ἔσται. Εἰ γὰρ, ὡς λέγει Κέλσος, τὸ αὐτό μοι ποιήσειαν ἅπαντες· δηλονότι καὶ οἱ βάρβαροι, τῷ λόγῳ τοῦ θεοῦ προσελθόντες, νομιμώτατοι ἔσονται, καὶ ἡμερώτατοι, καὶ πᾶσα μὲν θρησκεία καταλυθήσεται, μόνη δὲ ἡ Χριστιανῶν κρατήσει· ἥτις καὶ μόνη ποτὲ κρατήσει, τοῦ λόγου ἀεὶ πλείονας νεμομένου ψυχάς.

69. Εἶτα ἑαυτοῦ μὴ ἀκούσας ὁ Κέλσος τὰ ἀνακόλουθα εἰπόντος, τῷ·[1] »Εἰ γὰρ τὸ αὐτό σοι ποιήσειαν ἅπαντες·« φησίν· »Οὐ μὴ δὴ τοῦτο φήσεις, ὡς ἂν πεισθέντες σοι Ῥωμαῖοι καὶ τῶν νενομισμένων αὐτοῖς πρὸς θεούς τε καὶ ἀνθρώπους ἀμελήσαντες, τὸν σὸν Ὕψιστον, ἢ ὅντινα βούλει προσκαλέσασθαι,[2] σέβοιντο,[3] καταβὰς ὑπερμαχεῖται αὐτῶν, καὶ οὐδεμιᾶς ἄλλης ἀλκῆς δεήσει. Καὶ γὰρ πρότερον ὁ αὐτὸς θεὸς τοῖς προσέχουσιν αὐτῷ ταῦτά τε καὶ πολὺ μείζω τούτων, ὡς ὑμεῖς φατε, ὑπισχνούμενος, ὁρᾶτε ὅσα ὠφέλησεν ἐκείνους τε καὶ ὑμᾶς. Ὧν τοῖς μὲν ἀντὶ τοῦ γῆς ἁπάσης εἶναι δεσπόταις, οὐδ' (424) ὁποία τις βῶλος οὐδ' ἑστία καταλείπεται· ὑμῶν δὲ κἂν πλανᾶταί τις ἔτι λανθάνων, ἀλλὰ ζητεῖται πρὸς θανάτου δίκην.« Ἐπεὶ δὲ καθ' ὑπόθεσιν ζητεῖ, εἰ πεισθέντες Ῥωμαῖοι τῷ Χριστιανῶν λόγῳ, τῶν πρὸς τοὺς νενομισμένους θεοὺς ἀμελήσαντες, καὶ τῶν κατὰ τοὺς ἀνθρώπους προτέρων νόμων, τὸν Ὕψιστον σέβοιντο, τί ἂν ἀπαντήσαι· ἄκουε τί ἀρέσκει περὶ τούτων ἡμῖν. Φαμὲν δ', ὅτι εἴπερ »ἂν[4] δύο

---

[1]) Edd. Spenc. in textu: τό, ad marg. vero: τῷ.

[2]) Edd. Spenc. προσκαλέσασθαι, καταβὰς ὑπερμαχεῖται αὐτῶν, καὶ οὐδεμιᾶς — δεήσει, omisso voc. σέβοιντο. Hinc Boherellus: »Lego: προσκαλέσονται καταβάντα ὑπερμαχεῖσθαι αὐτῶν, ὡς οὐδεμιᾶς ἄλλης ἀλκῆς δεήσειν.«

[3]) Vox σέβοιντο nec in antea editis (v. c. edd. Spenc.), nec in Mss. hoc loco reperitur, sed ex sequentibus patet esse restituendam. R. — Cfr. pag. huj. not. 2.

[4]) Cfr. Matth. XVIII, 19.

συμφωνῶσιν« ἐξ ἡμῶν »ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ ἐν τοῖς οὐρανοῖς πατρὸς« τῶν δικαίων· χαίρει γὰρ συμφωνίᾳ τῶν λογικῶν ζώων ὁ θεὸς, καὶ ἐκτρέπεται τὴν διαφωνίαν. Τί χρὴ νομίζειν εἰ μὴ μόνον, ὡς νῦν, πάνυ ὀλίγοι συμφωνοῖεν, ἀλλὰ πᾶσα ἡ ὑπὸ Ῥωμαίων ἀρχή; Εὔξονται γὰρ τῷ καὶ πρότερον εἰπόντι πρὸς τοὺς Ἑβραίους καταδιωκομένους ὑπὸ Αἰγυπτίων λόγῳ· »Κύριος [1]) πολεμήσει ὑπὲρ ὑμῶν, καὶ ὑμεῖς σιγήσεσθε·« καὶ μετὰ πάσης συμφωνίας εὐξάμενοι πολλῷ πλείονας δυνήσονται καταλῦσαι ἐχθροὺς ἐπιδιώκοντας, ἢ οὓς καθεῖλεν ἡ Μωϋσέως πρὸς τὸν θεὸν βοῶντος καὶ τῶν σὺν αὐτῷ εὐχή. Ἃ δ' ὑπέσχετο ὁ θεὸς τοῖς τηροῦσι τὸν νόμον, εἰ μὴ γεγένηται· οὐ τῷ ψεύδεσθαι τὸν θεὸν, οὐ γεγένηται, ἀλλὰ τῷ ἐπὶ συνθήκαις γεγονέναι τὰς ἐπαγγελίας, ταῖς [2]) περὶ τοῦ τηρεῖν τὸν νόμον, καὶ τὸν κατὰ τὸν νόμον βίον. Καὶ εἰ οὔτε βῶλος, οὔθ' ἑστία Ἰουδαίοις καταλείπεται τοῖς τὰς ἐπαγγελίας ἐπὶ συνθήκαις εἰληφόσιν· αἰτιατέον πᾶσαν μὲν αὐτῶν τὴν παρανομίαν, ἐξαιρέτως δὲ τὴν κατὰ τοῦ Ἰησοῦ.

70. Ἀλλ' οἱ καθ' ὑπόθεσιν Κέλσου πάντες ἂν πεισθέντες Ῥωμαῖοι, εὐχόμενοι περιέσονται τῶν πολεμίων· ἢ οὐδὲ τὴν ἀρχὴν πολεμήσονται, φρουρούμενοι ὑπὸ θείας δυνάμεως, τῆς διὰ πεντήκοντα [3]) δικαίους πέντε πόλεις ὅλας ἐπαγγειλαμένης διασῶσαι. Ἄλες γάρ εἰσι τηρητικοὶ [4]) τῆς ἐπὶ γῆς συστάσεως τοῦ κόσμου οἱ τοῦ

---

[1]) Exod. XIV, 14.

[2]) Mss. ταῖς. Libri editi (v. c. edd. Spenc.) τάς. Sed praestat ταῖς, ut referatur ad praecedentem vocem συνθήκαις. R. — Jam Boherellus: »Lego: ταῖς, ut referatur ad συνθήκαις.«

[3]) Cfr. Gen. XVIII, 26.

[4]) Edd. Spenc. et Ruaei in textu: τηρητικοὶ τῶν τῆς κτλ. Edd. vero Boherelli et Ruaei in notis, illa: »Τῶν abundat, ac delendum est,« haec: »Vox τῶν abundare, et recidenda videtur.«

θεοῦ ἄνθρωποι, καὶ συνέστηκε τὰ ἐπὶ γῆς, ὅσον[1]) οἱ ἄλες οὐ τρέπονται· »ἐὰν[2]) γὰρ τὸ ἅλας μωρανθῇ, οὔτ' εἰς γῆν, οὔτ' εἰς κόπρον ἰσχύει ἔτι, ἀλλὰ βληθὲν ἔξω καταπατηθήσεται ὑπὸ τῶν ἀνθρώπων. Ὁ δ' ἔχων ὦτα, ἀκουέτω« πῶς ταῦτα λέγεται. Καὶ ἡμεῖς δὲ, ὅτε μὲν ἐπιτρέπει ὁ θεὸς τῷ πειράζοντι, δοὺς ἐξουσίαν τὴν τοῦ διώκειν ἡμᾶς, διωκόμεθα· ὅτε δ' ὁ θεὸς βούλεται τοῦθ' ἡμᾶς μὴ πάσχειν, καὶ ἐν μισοῦντι ἡμᾶς τῷ κόσμῳ παραδόξως εἰρήνην ἄγομεν, καὶ θαῤῥοῦμεν ἐπὶ τῷ εἰπόντι· »θαρσεῖτε,[3]) ἐγὼ νενίκηκα τὸν κόσμον.« Καὶ ἀληθῶς νενίκηκε τὸν κόσμον, διόπερ[4]) εἰς ὅσον νικήσας αὐτὸν βούλεται, λαβὼν ἀπὸ[5]) τοῦ πατρὸς τὸ νικᾶν τὸν κόσμον· θαῤῥοῦμεν δὲ τῇ[6]) ἐκείνου νίκῃ. Εἰ δὲ βούλεται πάλιν ἡμᾶς ἀθλεῖν καὶ ἀγωνίζεσθαι ὑπὲρ[7]) εὐσεβείας· ἡκέτωσαν ἀνταγωνισταὶ, πρὸς οὓς ἐροῦμεν· »πάντα[8]) ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.« Καὶ γὰρ δύο[9]) στρουθίων (425) πιπρασκομένων, ὡς ὠνόμασεν ἡ γραφὴ, ἀσσαρίου, ἓν εἰς[10]) παγίδα οὐ πίπτει ἄνευ τοῦ ἐν οὐρανοῖς πατρός. Καὶ ἐπὶ τοσοῦτον πάντα ἡ θεία περιείληφε πρόνοια,

---

[1]) Sic Mss. (itemq. edd. Spenc. ad marg.) Libri editi (v. c. edd. Spenc.) in textu: ὅσον μὴ οἱ ἄλες τρέπονται. R.

[2]) Cfr. Luc. XIV, 34. 35. coll. Matth. V, 13.

[3]) Ev. Joann. XVI, 33.

[4]) Boherellus: »Aliquid deesse videtur, quod sic suppleo: *διόπερ ἰσχύει ὁ κόσμος εἰς ὅσον ὁ νικήσας αὐτὸν βούλεται.*«

[5]) Edd. Spenc. ὑπό.

[6]) Hoeschel. in textu, Spenc. ad marg. τῇ ἐκείνων νίκῃ.

[7]) Codd. Reg. et Basil. περὶ εὐσεβείας. R.

[8]) Cfr. Philipp. IV, 13. coll. 1 Tim. I, 12.

[9]) Cfr. Matth. X, 29.

[10]) Sic et affert Chrysostomus, ut post Erasmum et Bezam observat Millius. Vulgo: ἐπὶ τὴν γῆν.

ὡς μηδὲ τὰς τρίχας [1]) τῆς κεφαλῆς ἡμῶν ἐκπεφευγέναι τὸ ὑπ' αὐτοῦ ἠριθμῆσθαι.

71. Εἶτα πάλιν, ὡς ἔθος τῷ Κέλσῳ, φύρει ἐν τοῖς ἑξῆς, λέγων ἃ οὐδεὶς ἡμῶν ἀνέγραψε, καί φησι τοιαῦτα· »Οὐ μὴν οὐδὲ ἐκεῖνο ἀνεκτόν σου λέγοντος, ὡς, ἂν οἱ νῦν βασιλεύοντες ἡμῶν σοι πεισθέντες ἁλῶσι, [2]) τοὺς αὖθις βασιλεύοντας πείσεις· εἶτ' [3]) ἄλλους, ἂν κἀκεῖνοι ἁλῶσι, καὶ ἄλλους ἐπ' ἄλλοις, μέχρι πάντων τῶν σοι πειθομένων ἁλισκομένων· ἅμα [4]) τις ἀρχὴ σωφρονήσασα, [5]) καὶ προειδομένη τὸ συμβαῖνον, πάντας ὑμᾶς, πρὶν [6]) αὐτὴν προαπολέσθαι, παγγενεὶ διολέσει.« Ἐπεὶ [7])

---

[1]) Cfr. Matth. X, 30.

[2]) Boherellus: »Verte: *ab hostibus capti fuerint.* Loquitur enim Celsus e Christianorum sui temporis sententia, qui bellum gerere, Christiano homini illicitum esse putabant. Vide verba, quae paulo infra leguntur: *διὰ τὸ μὴ ἀμύνεσθαι τοὺς πολεμίους.*« — Cfr. pag. 217. not. 1.

[3]) Edd. Spenc. et Ruaei in textu: *Εἰ δ' ἄλλους ἂν κἀκεῖνοι ἁλῶσι.* Jam Boherellus vero, quocum Ruaeus facit in notis: »εἶτ' ἄλλους, ἂν κἀκεῖνοι ἁλῶσι.«

[4]) Boherell. non male: »Lego: *εἰ μή τις ἀρχή*, vel: *ἢ μία τις ἀρχή*, e verbis, quae infra leguntur: *διὰ τὸ μὴ ἀμύνεσθαι τοὺς πολεμίους, μία τις ἀρχὴ σωφρονήσασα κτλ.* — Cfr. pag. 217. not. 2.

[5]) Hoeschel. in textu, Spenc. ad marg. *σωφροσύνης.*

[6]) Edd. Spenc. et Ruaei in textu: *πρὶν αὐτή.* Jam Boherell. vero, quem Ruaeus sequitur in notis: »Lego: *πρὶν αὐτήν.*«

[7]) Boherellus et Ruaeus in notis, ille: »Quum nullus sit horum verborum sensus, lubens legerim: *ἀπολογεῖσθαι περὶ τούτων οὐχ αἱρεῖ λόγος.* De hoc dicendi modo: *οὐχ αἱρεῖ λόγος*, vide lib. VII. contra Cels. num. 7.,« hic vero: »Forte legendum: *Εἰπεῖν δὲ περὶ τούτων οὐχ αἱρεῖ λόγος.* Guietus autem dubitat an sit scribendum: *Ἐπεὶ δὲ πρὸς ταῦτα οὐχ αἱρεῖ λόγος*, an sic: *Ἐπεὶ δὲ πρὸς ταῦτα ἀποκρίνεσθαι οὐχ αἱρεῖ λόγος.* Neutrum placet.«

δὲ πρὸς τούτων οὐκ ἐρεῖ λόγος, οὐ γὰρ λέγει τις ἡμῶν περὶ τῶν νῦν βασιλευόντων· ὅτι ἐὰν πεισθέντες ἀλῶσι, τοὺς μετ' αὐτοὺς πάλιν πείσομεν, κἀκείνων ἀλόντων, πάλιν τοὺς ἑξῆς πείσομεν. Πόθεν δὲ καὶ ἀπέρρῖψεν, ὅτι κατὰ διαδοχὴν ἀεὶ τῶν ὑστέρων πειθομένων ἡμῖν καὶ ἁλισκομένων, διὰ τὸ μὴ ἀμύνεσθαι τοὺς πολεμίους, [1]) μία [2]) τις ἀρχὴ σωφρονήσασα, καὶ προειδομένη τὸ συμβαῖνον, παγγενεὶ ἡμᾶς διολέσει; Ἀλλ' ἔοικε φλυαρίας ἐν τούτοις ἑξῆς συνάπτων, καὶ τοῦτ' ἀφ' ἑαυτοῦ ἀπερρῖφθαι.

72. Μετὰ δὲ ταῦτα εὐχήν τινα εἰπὼν τήν· »Εἰ γὰρ δὴ οἷόν τε εἰς ἕνα συμφρονῆσαι νόμον τοὺς τὴν Ἀσίαν, καὶ Εὐρώπην, καὶ Λιβύην κατοικοῦντας [3]) Ἕλληνάς τε καὶ βαρβάρους, ἄχρι περάτων νενεμημένους,« ἀδύνατον τοῦτο νομίσας εἶναι· ἐπιφέρει, ὅτι »ὃ τοῦτο οἰόμενος οἶδεν οὐδέν.« Εἰ δὲ χρὴ καὶ τοῦτ' εἰπεῖν, λελέξεται ὀλίγα εἰς τὸν τόπον, δεόμενον πολλῆς ἐξετάσεως καὶ κατασκευῆς, εἰς τὸ φανῆναι οὐ μόνον δυνατὸν, ἀλλὰ καὶ ἀληθὲς τὸ λεγόμενον περὶ τοῦ εἰς ἕνα συμφρονῆσαι νόμον πᾶν τὸ λογικόν. Οἱ μὲν οὖν ἀπὸ τῆς Στοᾶς, ἐπικρατήσαντος ὡς οἷόν τε τοῦ ἰσχυροτέρου τῶν ἄλλων στοιχείου, τὴν ἐκπύρωσιν ἔσεσθαι [4]) πάντων εἰς πῦρ μεταβαλλόντων. Ἡμεῖς δὲ τῆς λογικῆς φύσεώς φαμεν ὅλης κρατῆσαί [5]) ποτε τὸν λόγον, καὶ μεταποιῆσαι πᾶσαν ψυχὴν εἰς τὴν ἑαυτοῦ τελειότητα· ἐπὰν ἕκαστος ψιλῇ χρησάμενος τῇ ἐξουσίᾳ ἕληται ἃ βούλε-

---

[1]) Cfr. pag. 216. not. 2.

[2]) Cfr. pag. 216. not. 4.

[3]) Vocem: κατοικοῦντας, quae in antea editis (v. c. edd. Spenc.) desideratur, Origeni reddunt Codd. Mss. Reg. et Basileensis. R.

[4]) Post ἔσεσθαι addit Spencer. (in textu) intra uncinulos λέγουσι. Quod cum ab omnibus absit Mss., nec necessarium sit, recidimus. R.

[5]) Guieto scribendum videtur: κρατήσειν ποτὲ τὸν λόγον καὶ μεταποιήσειν. R.

ται, καὶ γέννηται ἐν οἷς εἴλετο· καί φαμεν, ὅτι οὐκ ἔστιν εἰκὸς, ὥσπερ ἐπὶ τῶν ἐν[1]) τοῖς σώμασι νοσημάτων καὶ τραυμάτων τινὰ τῶν[2]) συμβαινόντων ἰσχυρότερά[3]) ἐστι πάσης ἰατρικῆς τέχνης· οὕτως ἐπὶ τῶν ψυχῶν εἶναί τι τῶν ἀπὸ κακίας, ἀδύνατον ὑπὸ τοῦ ἐπὶ πᾶσι λόγου καὶ θεοῦ θεραπευθῆναι. Πάντων γὰρ τῶν ἐν τῇ ψυχῇ κακῶν δυνατώτερος ὢν ὁ λόγος, καὶ ἡ ἐν αὐτῷ θεραπεία, προσάγει κατὰ βούλησιν θεοῦ ἑκάστῳ αὐτήν· καὶ τὸ τέλος τῶν πραγμάτων ἀναιρεθῆναί ἐστι τὴν κακίαν· πότερον δὲ, ὥστε μηδαμῆ μηδαμῶς ἔτι αὐτὴν (426) ἐπιτραπῆναι[4]) δύνασθαι, ἢ μή· οὐ τοῦ παρόντος ἐστὶ λόγου διδάξαι. Πολλὰ μὲν οὖν αἱ προφητεῖαι περὶ τῆς παντελοῦς ἀναιρέσεως τῶν κακῶν, καὶ διορθώσεως πάσης ψυχῆς, ἐν ἀποῤῥήτοις[5]) λέγουσιν· ἀρκεῖ δ' ἐπὶ τοῦ παρόντος παραθέσθαι τὴν ἀπὸ τοῦ Σοφονίου λέξιν οὕτως ἔχουσαν· »ἑτοιμάζου,[6]) ὄρθρισον· διέφθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν. Διὰ τοῦτο ὑπόμεινόν με,[7]) λέγει κύριος, ἐν[8]) ἡμέρᾳ ἀναστάσεώς μου, εἰς μαρτύριον· διότι τὸ κρίμα μου εἰς συναγωγὰς ἐθνῶν, τοῦ εἰσδέξασθαι βασιλεῖς, τοῦ ἐκχέαι ἐπ' αὐτοὺς πᾶσαν ὀργὴν θυμοῦ μου. Ἐν[9]) γὰρ πυρὶ ζήλου μου καταναλωθήσεται πᾶσα ἡ γῆ· ὅτι τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰν αὐτῆς, τοῦ

---

[1]) Deest ἐν in edd. Spenc.

[2]) Ed. Ruaei perperam: τόν.

[3]) Libri antea editi (v. c. edd. Spenc.) male: ἰσχυρότερα εἶναι. R.

[4]) Boherellus: »Malim: ἐπιστραφῆναι.« — Ceterum de hac quaestione Origenis sententia exponitur apud Huetium Origenianorum lib. II. quaest. XI.

[5]) Codd. Reg. et Basil. ἐν ἀποῤῥήτοις. Libri editi (v. c. edd. Spenc.) ἐν ἀποῤῥήτῳ. R.

[6]) Cfr. Zephan. III, 7—13.

[7]) In edd. Spenc. uncis inclusum legitur με

[8]) Vulgata Biblia: εἰς ἡμέραν.

[9]) Vulgata Biblia: διότι ἐν πυρὶ ζήλου κτλ.

ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα κυρίου, τοῦ δουλεύειν αὐτῷ [1]) ὑπὸ ζυγὸν ἕνα. Ἐκ περάτων ποταμῶν Αἰθιοπίας [2]) θύσουσι θυσίας μοι. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὐ μὴ καταισχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου, ὧν ἠσέβησας εἰς ἐμέ· ὅτι τότε περιελῶ ἀπὸ σοῦ τὰ φαυλίσματα τῆς ὕβρεώς σου, καὶ οὐκέτι μὴ προσθῇς [3]) τοῦ μεγαλαυχῆσαι ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου. Καὶ ὑπολείψομαι [4]) ἐν σοὶ λαὸν πραῢν καὶ ταπεινόν· καὶ εὐλαβηθήσονται ἀπὸ τοῦ ὀνόματος κυρίου οἱ κατάλοιποι τοῦ Ἰσραὴλ, καὶ οὐ ποιήσουσιν ἀδικίαν, καὶ οὐ λαλήσουσι μάταια, καὶ οὐ μὴ εὑρεθῇ ἐν τῷ στόματι αὐτῶν γλῶσσα δολία· διότι αὐτοὶ νεμήσονται, καὶ κοιτασθήσονται, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς.« Ὁ [5]) δυνάμενος δ', εἰς ταῦτα ὅλα μὲν κατανοήσας, τὴν σαφήνειαν τῆς προφητείας παραστησάτω, μάλιστα δ' ἐξετασάτω, τί τὸ, ἀναλουμένης πάσης τῆς γῆς, μεταστραφῆναι [6]) »ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰν αὐτῆς,« ἀνάλογον τοῖς πρὸ τῆς συγχύσεως πράγμασι· καὶ κατανοησάτω, τί τὸ ἐπικαλεῖσθαι [7]) »πάντας τὸ ὄνομα κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα,« ὡς περιαιρεθῆναι [8]) »τὰ τῆς ὕβρεως φαυλίσματα,« καὶ μηκέτι εἶναι ἀδικίαν, [9]) μηδὲ λόγους ματαίους, μηδὲ γλῶσσαν δολίαν. Ταῦτα δ' ἔδοξέ μοι μετρίως, καὶ οὐ μετὰ τῆς

---

[1]) In edd. Spenc. uncis inclusum legitur: αὐτῷ.

[2]) Vulgata Biblia: Αἰθιοπίας προσδέξομαι ἐν διεσπαρμένοις μου, οἵσουσι θυσίας μοι. Atque ita legendum.

[3]) Mss. August. πρόσχῃς. R.

[4]) Vulgata Biblia: ὑπολήψομαι (al. ὑπολήψωμαι.)

[5]) Guietus dubitat, an scribendum sit: Ὁ δυνάμενος δὴ ταῦτα ὅλα κατανοῆσαι. R.

[6]) Cfr. Zephan. III, 9.

[7]) Cfr. Zephan. III, 9.

[8]) Cfr. Zephan. III, 11.

[9]) Cfr. Zephan. III, 13.

ἀκριβοῦς διηγήσεως, παραθέσθαι, διὰ τὴν Κέλσου λέξιν, οἰομένου τὸ συμφρονῆσαι τοὺς τὴν Ἀσίαν, καὶ Εὐρώπην, καὶ Λιβύην, Ἕλληνάς τε καὶ βαρβάρους οἰκοῦντας, ἀδύνατον εἶναι. Καὶ τάχα ἀληθῶς ἀδύνατον μὲν τὸ τοιοῦτον τοῖς ἔτι ἐν σώματι, οὐ μὴν ἀδύνατον καὶ ἀπολυθεῖσιν αὐτοῦ.

73. Εἶθ' ἑξῆς προτρέπεται ἡμᾶς ὁ Κέλσος »ἀρήγειν τῷ βασιλεῖ παντὶ σθένει, καὶ συμπονεῖν αὐτῷ τὰ δίκαια, καὶ ὑπερμαχεῖν αὐτοῦ, καὶ συστρατεύειν αὐτῷ ἂν ἐπείγῃ καὶ συστρατηγεῖν.« Λεκτέον δὲ καὶ πρὸς ταῦτα, ὅτι ἀρήγομεν κατὰ καιρὸν τοῖς βασιλεῦσι θείαν, ἵν' οὕτως εἴπω, ἄρηξιν, καὶ πανοπλίαν [1]) ἀναλαμβάνοντες θεοῦ. Καὶ ταῦτα ποιοῦμεν, πειθόμενοι ἀποστολικῇ φωνῇ, λεγούσῃ· »παρακαλῶ [2]) οὖν ὑμᾶς πρῶτον [3]) ποιεῖσθαι δεήσεις, προσευχὰς, (427) ἐντεύξεις, εὐχαριστίας, ὑπὲρ πάντων ἀνθρώπων· ὑπὲρ βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων.« Καὶ ὅσῳ γέ τις εὐσεβέστερός ἐστιν, τοσούτῳ ἀνυτικώτερος ἐν τῷ ἀρήγειν τοῖς βασιλεύουσι παρὰ τοὺς εἰς τὰς παρατάξεις ἐξιόντας στρατιώτας, καὶ ἀναιροῦντας οὓς ἂν δύνωνται τῶν πολεμίων. Εἶτα δὲ καὶ ταῦτ' εἰποιμεν ἂν πρὸς τοὺς ἀλλοτρίους τῆς πίστεως, καὶ ἀξιοῦντας ἡμᾶς στρατεύεσθαι ὑπὲρ τοῦ κοινοῦ, καὶ ἀνθρώπους ἀναιρεῖν· ὅτι καὶ οἱ καθ' ὑμᾶς [4]) ἱερεῖς ἁγαλμάτων τινῶν, καὶ νεωκόροι ὧν νομίζετε θεῶν, τηροῦσιν ἑαυτῶν ἀμίαντον τὴν δεξιὰν, διὰ τὰς θυσίας, ἵν' ἀναιμάκτοις χερσὶ, καὶ καθαραῖς ἀπὸ φόνων, προσάγωσι τὰς νενομισμένας θυσίας οἷς φατε θεοῖς· καὶ οὐ δή που, πολέμου κατα-

---

[1]) Cfr. Ephes. VI, 11.

[2]) Cfr. I Tim. II, 1. 2.

[3]) Post vocem πρῶτον libri antea editi (v. c. edd. Spenc.) addunt intra uncos: πάντων, sed abest πάντων ab omnibus Mss. R.

[4]) Hoeschel. in textu male, Spenc. ad marg. ἡμᾶς.

λαβόντος, καὶ τοὺς ἱερεῖς [1]) στρατεύετε. [2]) Εἰ οὖν τοῦτ' εὐλόγως γίνεται· πόσῳ μᾶλλον, ἄλλων στρατευομένων, καὶ [3]) οὗτοι στρατεύονται ὡς ἱερεῖς τοῦ θεοῦ καὶ θεραπευταί· καθαρὰς μὲν τηροῦντες τὰς δεξιὰς, ἀγωνιζόμενοι δὲ διὰ τῶν πρὸς θεὸν εὐχῶν, ὑπὲρ τῶν δικαίως στρατευομένων, καὶ ὑπὲρ τοῦ δικαίως βασιλεύοντος, ἵνα τὰ ἐναντία πάντα, καὶ ἐχθρὰ τοῖς δικαίως πράττουσι, καθαιρεθῇ. Ἡμεῖς δὲ καὶ ταῖς εὐχαῖς πάντας δαίμονας, τοὺς ἐγείροντας τὰ πολεμικὰ, καὶ ὅρκους συγχέοντας, καὶ τὴν εἰρήνην ταράσσοντας, καθαιροῦντες, μᾶλλον βοηθοῦμεν τοῖς βασιλεύουσιν, ἢπερ οἱ δοκοῦντες στρατεύεσθαι. Συμπονοῦμεν δὲ τοῖς κοινοῖς πράγμασιν, οἱ μετὰ δικαιοσύνης ἀναφέροντες προσευχὰς, σὺν ἀσκήσεσι καὶ μελέταις διδασκούσαις καταφρονεῖν ἡδονῶν, καὶ μὴ ἄγεσθαι ὑπ' αὐτῶν. Ἡμεῖς καὶ μᾶλλον ὑπερμαχοῦμεν τοῦ βασιλέως· καὶ [4]) οὐ συστρατευόμεθα μὲν

---

[1]) Hoeschel. in textu, Spenc. ad marg. *ἱερούς*.

[2]) Ed. Ruaei, Boherello praeeunte, in notis: »Vox *στρατεύειν* hoc loco est: *militem legere, in militem adsciscere, militem conscribere.* Male ergo pro: *στρατεύετε*, Guietus hic scribendum putat: *ἀγγαρεύετε*.«

[3]) Forte (?!) legendum: *καὶ οὗτοι οὐ στρατεύονται*. Observandum insuper Christianos ab Origene hoc loco vocari *θεραπευτάς*, quo nomine Philo Judaeus appellat eos, quorum vitam sanctam in libro *περὶ βίου θεωρητικοῦ* pluribus describit. R.

[4]) Tertullian. Apolog. cap. 37. »Externi sumus et vestra omnia implevimus, urbes, insulas, castella, municipia, conciliabula, castra ipsa, tribus, decurias, Palatium, Senatum, forum: sola vobis relinquimus templa.« Et cap. 42. Navigamus et nos vobiscum, et militamus, et rusticamur, et mercamur, proinde miscemus artes, opera nostra publicamus usui vestro.« Et de corona militis, cap. 1. Ad Scapulam, cap. 1V. »Marcus quoque Aurelius in Germanica expeditione, Christianorum militum ora-

αὐτῷ, κἂν ἐπείγῃ· στρατευόμεθα δὲ ὑπὲρ αὐτοῦ, ἴδιον στρατόπεδον εὐσεβείας συγχροτοῦντες, διὰ τῶν πρὸς τὸ θεῖον ἐντεύξεων.

74. *Εἰ δὲ βούλεται ἡμᾶς ὁ Κέλσος καὶ στρατηγεῖν* [1])

---

tionibus ad Deum factis, imbres in siti illa impetravit.« Eundem vide in Apolog. cap. V. Euseb. Chron. et lib. V. cap. V. eccles. Hist., et Marci Imp. epistolam apud Justinum, in fine Apolog. II. At in libris de Idololatria, cap. XIX., de Corona militis, cap. XI. haesitat, disputat, et ei tandem sententiae videtur plurimum favere, quae militiae adversatur. Lectu dignissima sunt, quae Hugo Grotius de hac quaestione disseruit lib. I. cap. II. sect. IX. de Jure belli et pacis: ubi gravissimum de Tertulliani et Origenis levitate judicium facit. »Solent autem, inquit, ab iis, qui bella impugnant, afferri dicta quaedam veterum Christianorum; ad quae tria dicenda habeo. Primum est ex iis dictis nihil amplius colligi, quam privatam quorumdam sententiam, non publicam ecclesiarum. Adde, quod ferme quorum ea dicta sunt, amant ab aliis seorsim ire, et docere quiddam magnificentius: quales sunt Origenes et Tertullianus, qui nec sibi satis constant. Nam idem Origenes apes ait a Deo documentum datas *πρὸς τὸ δικαίους καὶ τεταγμένους πολέμους, εἴ ποτε δέοι, γίγνεσθαι ἐν ἀνθρώποις*, cfr. Origen. contra Cels. lib. IV. num. 82., ut bella justa atque ordinata inter homines gerantur, si quando id jubeat necessitas: et idem ille Tertullianus, qui alibi supplicia capitalia minus probare videtur, dixit: bonum esse, cum puniuntur nocentes, nemo negat; et de militia haesitat. Nam libro de Idololatria: Quaeritur, inquit, an fideles ad militiam converti possint, et an militia ad fidem admitti.« Vide Origenem contra Cels. lib. IV. num. 81. 82. lib. V. num. 33. lib. VII. num. 26. Spenc. — Exempla vide in Ruinardi actis Martyrum p. 139. 216. 302. 310. 313. 459. coll. Arnolds Abbildung S. II. pag. 44.

[1]) Ruaeus, Boherello praeeunte, in notis: »Ita bene monuerat Hoeschelius legendum; nam *ὑπέρ*, quod in an-

ὑπὲρ πατρίδος· ἴστω, ὅτι καὶ ταῦτα ποιοῦμεν, οὐ πρὸς τὸ βλέπεσθαι ὑπὸ τῶν ἀνθρώπων, καὶ κενοδοξεῖν ἐπ' αὐτῶν, ταῦτα πράττοντες. Ἐν γὰρ τῷ κρυπτῷ ἡμῶν, κατ' αὐτὸ τὸ ἡγεμονικόν, εὐχαί εἰσιν, ἀναπεμπόμεναι ὡς ἀπὸ ἱερέων, ὑπὲρ τῶν ἐν τῇ πατρίδι ἡμῶν.[1] Χριστιανοὶ δὲ μᾶλλον εὐεργετοῦσι τὰς πατρίδας, ἢ οἱ λοιποὶ τῶν ἀνθρώπων, παιδεύοντες τοὺς πολίτας, καὶ εὐσεβεῖν διδάσκοντες[2] εἰς τὸν τῶν ὅλων θεὸν, ἀναλαμβάνοντες εἰς θείαν τινὰ καὶ ἐπουράνιον πόλιν τοὺς ἐν ταῖς ἐλαχίσταις πόλεσι καλῶς βιώσαντας· πρὸς οὓς λέγοιτο ἄν· »ἐν[3] ἐλαχίστῃ πόλει πιστὸς ἐγένου, ἦκε καὶ ἐπὶ τὴν μεγάλην·« ὅπου »θεὸς[4] ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρίνει·« καὶ σὲ συναριθμῶν αὐτοῖς, ἐὰν[5] μηκέτι ὡς[6] ἄνθρωπος ἀποθνήσκῃς, μηδ' ὡς εἷς τῶν ἀρχόντων πίπτῃς.

---

tea editis (v. c. edd. Spenc.) deest, in marg. Cod. Joliani restituitur.« — Boherellus insuper: »Non possum autem consentire Henrico Valesio, qui in fine Erratorum et Omissorum ad Ammianum Marcellinum dicit, *στρατηγεῖν* hic positum pro: *magistratu fungi*. Hic enim agitur de militari praefectura. Vide lib. huj. num. 73. ab initio. At de civili demum sub initium numeri 75.«

[1]) Guieto placuisset *δήμων*. Mihi non item. R.

[2]) Sic optime habent Codd. Reg. et Basileensis, male vero libri antea editi (v. c. edd. Spenc.) *εἰς τὸν πολιέα θεόν*. Vox enim *πολιεύς* cognomentum fuit Jovis, ut docet Pausanias hic illic. Cui autem, qui legerit ea, quae habet Origenes lib. I. contra Celsum, erit verisimile ita ab eodem appellatum fuisse summum Deum? R.

[3]) Codd. Reg. et Basil. *ἐν ἐλαχίστῃ*. Libri editi (v. c. edd. Spenc.) omittunt *ἐν*. Ceterum ex memoria citat Evangelium, cujus non verba, sed sensum profert. R. — Cfr. Matth. XXV, 21. coll. Luc. XIX, 17.

[4]) Cfr. Psalm. LXXXII, 1. (LXXXI.)

[5]) Boherellus: »Legendum puto *ἵνα*.«

[6]) Cfr. Psalm. LXXXII, 7. (LXXXI.)

75. *Προτρέπει δ' ἡμᾶς Κέλσος καὶ »ἐπὶ τὸ ἄρχειν τῆς πατρίδος, ἐὰν δέῃ καὶ τοῦτο ποιεῖν ἕνεκεν σωτηρίας νόμων καὶ εὐσεβείας.« Ἡμεῖς δὲ* (428) *ἐν ἑκάστῃ πόλει ἄλλο σύστημα πατρίδος, κτισθὲν λόγῳ θεοῦ, ἐπιστάμενοι, τοὺς δυνατοὺς λόγῳ καὶ βίῳ ὑγιεῖ χρωμένους*[1] *ἐπὶ τὸ ἄρχειν ἐκκλησιῶν παρακαλοῦμεν· οὐκ ἀποδεχόμενοι μὲν τοὺς φιλάρχους, βιαζόμενοι δὲ τοὺς διὰ πολλὴν μετριότητα τὴν κοινὴν φροντίδα τῆς ἐκκλησίας τοῦ θεοῦ μὴ βουλομένους προπετῶς ἀναδέξασθαι. Καὶ οἱ καλῶς ἄρχοντες ἡμῶν βιασθέντες ὑπάρχουσι, τοῦ μεγάλου βασιλέως ἀναγκάζοντος· ὃν πεπείσμεθα εἶναι υἱὸν θεοῦ, λόγον θεόν. Καὶ*[2] *εἰ καλῶς ἄρχουσιν οἱ ἄρχοντες ἐν τῇ ἐκκλησίᾳ, τῆς κατὰ θεὸν πατρίδος, λέγω δὲ τῆς ἐκκλησίας λεγόμενοι προστάται, ἢ καὶ ἄρχουσι κατὰ τὰ ὑπὸ τοῦ θεοῦ προστεταγμένα,*[3] *οὐδὲν παρὰ τοῦτο μολύνονται*[4] *ὑπὸ τῶν θετῶν νόμων. Καὶ οὐ φεύγοντές γε τὰς κοινοτέρας τοῦ βίου λειτουργίας Χριστιανοὶ τὰ τοιαῦτα περιΐστανται· ἀλλὰ τηροῦντες ἑαυ-*

---

[1]) Libri antea editi (v. c. edd. Spenc.) *χρωμένους ἄρχειν ἐπὶ τὸ ἄρχειν κτλ.* At Codd. Reg. et Basil. prius *ἄρχειν* non agnoscunt, et sane melius e textu ejicitur. R.

[2]) Ita recte habent Codd. Reg. et Basileensis. In libris antea editis (v. c. edd. Spenc.), uncis praepos. *ὑπό* appositis, legitur: *Καὶ εἰ ἄρχουσιν οἱ καλῶς ἄρχοντες ἐν τῇ ἐκκλησίᾳ, ὑπὸ τῆς κατὰ θεὸν πατρίδος, λέγω δὲ τῆς ἐκκλησίας, ἐκλεγόμενοι· ἄρχουσι κατὰ τὰ ὑπὸ τοῦ θεοῦ προτεταγμένα, οὐδὲν παρὰ τοῦτο μολύνοντες τῶνδε τῶν νόμων. Καὶ οὐ φεύγοντές γε τὰς κοινοτέρας κτλ.* R. — Jam Boherellus: »Lego: *Καὶ εἰ καλῶς ἄρχουσιν οἱ ἄρχοντες« κτλ.*

[3]) Jam Boherellus: *προστεταγμένα.* — Cfr. pag. huj. not. 2.

[4]) Boherellus, qui legebat: *μολύνοντες τῶνδε τῶν νόμων*, in notis: »Malim: *μολύνοντες τόνδε τὸν νόμον*, vel: *τούσδε τοὺς νόμους.*« — Cfr. pag. huj. not. 2.

τοὺς θειοτέρᾳ καὶ ἀναγκαιοτέρᾳ λειτουργίᾳ ἐκκλησίας θεοῦ, ἐπὶ σωτηρίᾳ ἀνθρώπων. Καὶ ἀναγκαίως ἅμα καὶ δικαίως ἡγούμενοι,[1]) καὶ πάντων πεφροντικότες, τῶν μὲν ἔνδον, ἵν' ὁσημέραι βέλτιον βιῶσι· τῶν δὲ δοκούντων ἔξω, ἵνα γένωνται ἐν τοῖς σεμνοῖς τῆς θεοσεβείας λόγοις καὶ ἔργοις· καὶ οὕτω θεὸν ἀληθῶς σέβοντες, καὶ πολλοὺς, ὅση δύναμις, παιδεύοντες, ἀνακραθῶσι τῷ τοῦ θεοῦ λόγῳ, καὶ τῷ θείῳ νόμῳ· καὶ οὕτως ἑνωθῶσι τῷ ἐπὶ πᾶσι θεῷ, διὰ τοῦ ἑνοῦντος αὐτῷ υἱοῦ θεοῦ λόγου, καὶ σοφίας, καὶ ἀληθείας, καὶ δικαιοσύνης, πάντα τὸν προτεταμμένον ἐπὶ τὸ κατὰ θεὸν ἐν πᾶσι ζῆν.

76. Ἔχεις δ' ἐν τούτοις, ἱερὲ Ἀμβρόσιε, τὸ τέλος, κατὰ τὴν παροῦσαν ἡμῖν καὶ δοθεῖσαν δύναμιν, τῶν προστεταγμένων ὑπὸ σοῦ. Καὶ περιεγράψαμεν ἐν ὀκτὼ βιβλίοις πάντα, ὅσα πρέπον εἶναι ἐνομίσαμεν ὑπαγορεῦσαι πρὸς τὸν ἐπιγεγραμμένον Κέλσου ἀληθῆ λόγον. Τοῦ δ' ἐντυγχάνοντός ἐστι τῷ ἐκείνου συγγράμματι, καὶ οἷς ἡμεῖς κατ' αὐτοῦ ὑπηγορεύσαμεν, κρῖναι ὁπότερα μᾶλλον πνεῖ τοῦ ἀληθινοῦ θεοῦ, καὶ τοῦ τρόπου τῆς εἰς αὐτὸν εὐσεβείας, καὶ τῆς εἰς ἀνθρώπους φθανούσης ὑγιῶν δογμάτων προτρεπομένων ἐπὶ τὸν ἄριστον βίον ἀληθείας. Ἴσθι μέντοι ἐπαγγελλόμενον τὸν Κέλσον ἄλλο σύνταγμα μετὰ τοῦτο ποιήσειν, ἐν ᾧ διδάξειν ἐπηγγείλατο, ὅπη βιωτέον τοὺς βουλομένους αὐτῷ καὶ δυναμένους πείθεσθαι. Εἰ μὲν οὖν οὐκ ἔγραψεν ὑποσχόμενος τὸν δεύτερον λόγον, εὖ ἂν ἔχοι[2]) ἀρκεῖσθαι ἡμᾶς τοῖς ὀκτὼ πρὸς τὸν λόγον αὐτοῦ ὑπαγορευθεῖσι βιβλίοις. Εἰ δὲ κἀκεῖνον ἀρξάμενος συνετέλεσε, ζήτησον, καὶ πέμψον τὸ σύγγραμμα, ἵνα καὶ

---

[1]) Boherellus: »Eodem sensu, quo Hebr. XIII, 7.« etc.

[2]) Mss. ἔχοι. Libri antea editi (v. c. edd. Spenc.) ἔχει. R.

πρὸς ἐκεῖνο, ἅπερ ἂν ὁ τῆς ἀληθείας διδῷ ἡμῖν πατὴρ, ὑπαγορεύσαντες, καὶ τὴν ἐν ἐκείνῳ ψευδοδοξίαν ἀναιρέψωμεν· εἰ δέ πού τι ἀληθὲς λέγεται, τούτῳ ἀμιλονείκως, ὡς καλῶς εἰρημένῳ, μαρτυρήσωμεν.

ΤΕΛΟΣ.

Δόξα σοὶ, ὁ θεὸς ἡμῶν, δόξα σοί.

IN EXHORTATIONEM
AD MARTYRIUM
ADMONITIO.

Nulla [1]) prorsus est inter Eruditos controversia de sinceritate hujus aurei Opusculi, quod apud Veteres passim celebratur. Eusebius non solum librum de Martyrio commemorat, sed et qua occasione Origenes ad eum scribendum permotus sit, narrat libr. VI. Histor. Ecclesiast. cap. 28. *Τόν* [2]) *γε μὴν Ῥωμαίων αὐτοκράτορα Ἀλέξανδρον τρισὶν ἔτεσιν ἐπὶ δέκα τὴν ἀρχὴν διανύσαντα, Μαξιμῖνος Καῖσαρ διαδέχεται· ὃς δὴ κατὰ κότον τὸν πρὸς τὸν Ἀλεξάνδρου* [3]) *οἶκον ἐκ πλειόνων πιστῶν συνεστῶτα, διωγμὸν ἐγείρας, τοὺς τῶν ἐκκλησιῶν ἄρχοντας μόνους, ὡς αἰτίους τῆς κατὰ τὸ εὐαγγέλιον διδασκαλίας ἀναιρεῖσθαι προστάττει. Τότε καὶ Ὠριγένης τὸν περὶ μαρ-*

[1]) Cfr. Origenis Opp. ed. de la Rue Tom. I. pag. 273. seqq.

[2]) Cfr. ed. Heinichen. Tom. II. pag. 230.

[3]) Cfr. Lamprid. in Alex. cap. 29. 43. 45. 49. 51. Jablonski *de Alexandro Severo Christianorum sacris per Gnosticos initiato* in Menken. Miscellan. Lips. Tom. IV. P. I. p. 56—94. Vid. Moshem. *Commentt.* p. 463—467. Schroeckh. christ. K. G. Tom. IV. pag. 6—8. Heyne diss. II. *Alex. Sever. imp. religiones miscellas probantis judicium illustratum et ad causas suas revocatum* in Opuscc. Acad. Vol. VI. pag. 169.

τυρίου συντάττει, Ἀμβροσίῳ καὶ Πρωτοκτήτῳ, πρεσβυτέρῳ τῆς ἐν Καισαρείᾳ παροικίας, ἀναθεὶς τὸ συγγραμμα· ὅτι δὴ ἅμφω περίστασις οὐχ ἡ τυχοῦσα ἐν τῷ διωγμῷ κατειλήφει. Ἐν ᾗ καὶ διαπρέψαι κατέχει λόγος ἐν ὁμολογίᾳ τοὺς ἄνδρας, οὐ [1]) πλείονος ἢ τριετοῦς χρόνου τῷ Μαξιμίνῳ διαγενομένου. Rufinus posteriora verba sic παραιρράζει: »Tunc Origenes librum de Martyrio ad Ambrosium scribit: qui cum ad plurimos pervenisset, tanquam nervis quibusdam validissimis stabiliti, sponte se ad confessionem Christi nominis offerebant.« Pamphilus martyr in Apologia Origenis, ejusdem libri meminit his verbis: »Denique in tam multis et tam diversis ejus libris nusquam invenitur unus ab eo liber proprie de Anima conscriptus, sicut habet vel de Martyrio, vel de Oratione, vel de Resurrectione.« Hieronymus de Scriptor. Eccles. in Ambrosio: »Ambrosius, inquit, primum Marcionites, deinde ab Origene correctus, ecclesiae diaconus, et confessionis Dominicae gloria insignis fuit: cui pro Theoctisto presbytero liber Origenis de Martyrio scribitur.« Ex ipsomet Origenis libello, et Eusebii loco supra laudato, nec non ex altero Nicephori Callisti mox laudando, liquet in hunc Hieronymi textum gravem irrepsisse Amanuensium errorem, qui Theoctistum Caesariensem episcopum cum Protocteto Caesariensi presbytero confuderunt; et quamvis antiquissima sit exemplarium corruptela, ut patet ex graeca Sophronii versione, recte observat Halloixius in Notis ad Origen. defens. p. 23. omnino legendum esse: »Cui et Protocteto:« aut si Freculfum praeferre lubeat: »cui cum Protocteto:« legemus. Nicephorus Callistus lib. V. Hist. Eccl. cap. 19. de nostro libello sic loquitur: Ἐν τοίνυν τῷ τότε καιρῷ τὸν προτρεπτικὸν εἰς μαρτύριον γενναῖον λόγον συντάττει, Ἀμβροσίῳ καὶ Πρωτοκτήτῳ πρεσβυτέρῳ τῆς ἐν

[1]) Vide Baronium ad annum Christi 237.

Καισαρείᾳ παροικίας τὸ σύγγραμμα προσφωνῶν· εἰς-ῆει γὰρ ἐκείνοις οὐ μειρία τις ἀγωνία τῇ τοῦ διωγμοῦ ἐκείνου σφοδρότητι. Ἐν ᾧ καὶ ἄμφω λόγον ἔχειν, τὸν ὑπὲρ Χριστοῦ ἆθλον λαμπρῶς ἀγωνίσασθαι. Joannes Langus sic vertit: »Eo itaque tempore praeclaram illam orationem, qua ad Martyrium cohortatur, composuit, eamque Ambrosio et Protocteto Caesariensibus presbyteris inscripsit: magna enim iis sollicitudo et anxietas propter persecutionis ejus vehementiam incesserat. In qua oratione ambo illi rationes explicatas habuerunt, ut fortiter in martyrii stadio certamen pro Christo sustinerent atque perferrent.« Duplex, ni fallor, in hujus loci versione peccatum est interpretis: primum dum ista verba: *Ἀμβροσίῳ καὶ Πρωτοκτήτῳ, πρεσβυτέρῳ τῆς ἐν Καισαρείᾳ παροικίας, τὸ σύγγραμμα προσφωνῶν·* sic reddit: »eamque Ambrosio et Protocteto Caesariensibus presbyteris inscripsit.« Ambrosius enim solum ecclesiae diaconus fuit, uti supra ex Hieronymo audivimus. Itaque Langus vertere debuerat: »Ambrosio et Protocteto Caesariensis ecclesiae presbytero.« Alterum, dum haec posteriora verba: *Ἐν ᾧ καὶ ἄμφω λόγον ἔχειν, τὸν ὑπὲρ Χριστοῦ ἆθλον λαμπρῶς ἀγωνίσασθαι·* vertit: »In qua oratione ambo illi rationes explicatas habuerunt, ut fortiter in martyrii stadio certamen pro Christo sustinerent atque perferrent.« Vertenda erant: »In qua persecutione ambo perhibentur illustre pro Christo certamen sustinuisse.« Nihil enim aliud hic vult Nicephorus Callistus, quam quod ait Eusebius loco supra laudato: *Ἐν ᾗ καὶ διαρρέψαι κατέχει λόγος ἐν ὁμολογίᾳ τοὺς ἄνδρας.* Quam utile vero etiam aliis fuerit hoc Origenis scriptum, Wetstenio idem Nicephorus Callistus tradere videtur lib. V. Histor. Eccles. cap. 31. *Ἐπὶ Παλαιστίνης οὐ μείους οἱ ἆθλοι καὶ τὰ παλαίσματα, ὧν οἱ πλεῖστοι τοῖς προτρεπτικοῖς τῶν Ὠριγένους λόγων τὸν ἀγῶνα διέφερον* in Deciana scilicet persecutione. Verum Nicephorus Cal-

listus non loqui videtur de Origenis exhortatione ad Martyrium Ambrosio sub Maximini persecutione nuncupata, sed de aliis ejus sermonibus, quos iis, qui consolatione indigent, furente Decii persecutione, ipsum reliquisse plurimae ejus epistolae commemorabant, teste Eusebio lib. VI. Hist. Eccles. cap. 39. Ut ut est, Freculphus Chron. tom. II. lib. 3. cap. 7. pag. 511. haec habet: »Ambrosius primum Marcioneus, deinde ab Adamantio correctus, ecclesiae diaconus et confessionis Dominicae gloria insignis fuit, cui cum Protheotisto (*lege*: Protocteto) presbytero liber ab Adamantio de Martyrio scribitur.« Otto Frisingensis lib. III. Chron. cap. 32. »His, inquit, diebus, (*nimirum imperante Maximino,*) fervente tribulatione persecutionis Origenes necessarium et egregium de Martyrio librum conscripsit.« Is fortasse libellus est, quem Trithemius lib. de script. eccles. inter opera Origenis recenset, ac se latinum vidisse testatur, videlicet de Martyribus lib. 1.

ΩΡΙΓΕΝΟΥΣ

ΕΙΣ

ΜΑΡΤΥΡΙΟΝ

ΠΡΟΤΡΕΠΤΙΚΟΣ[1]) ΛΟΓΟΣ.

1. »Οἱ[2]) ἀπογεγαλακτισμένοι ἀπὸ γάλακτος, οἱ ἀπεσπασμένοι ἀπὸ μαστοῦ. Θλίψιν ἐπὶ θλίψει προσδέχου· προσδέχου ἐλπίδα ἐπ' ἐλπίδι· ἔτι μικρὸν, ἔτι μικρὸν, διὰ φαυλισμὸν χειλέων· διὰ γλώσσης[3]) ἑτέρας.« Καὶ ὑμεῖς τοίνυν, κατὰ τὸν Ἡσαΐαν ὡς οὐκέτι σάρκινοι, οὐδὲ ἐν Χριστῷ νήπιοι, προκόψαντες ἐν τῇ νοητῇ ὑμῶν ἡλικίᾳ,[4]) Ἀμβρόσιε[5]) θεοπρεπέστατε, καὶ Πρωτόκτητε[6]) εὐσεβέστατε, καὶ μηκέτι »χρείαν[7]) ἔχοντες γάλακτος,«

---

[1]) Cfr. Orig. Opp. ed. de la Rue Tom. I. pag. 274. seqq. coll. ed. Wetsten. pag. 162. seqq.

[2]) Cfr. Jesai. XXVIII, 9. 10. 11. coll. Hieronym. lib. IX. Commentar. in Isaiam.

[3]) Corrupte in Cod. Wetsten. legitur: *γλώσης*. R. — Wetsten. in textu: *γλώσης*, ad marg. vero: »lege: *γλώσσης*.«

[4]) Corrupte in Cod. Wetsten. legitur: *ἡκιλικίᾳ*. R. — Wetsten. in textu: *ἡκιλικίᾳ*, ad marg. vero: »lege: *ἡλικίᾳ*.«

[5]) De Ambrosio vide fragmentum primum Epistolarum Origenis.

[6]) Vide cum Admonitionem, tum Monitum Tomo huic praefixum.

[7]) Wetsten. in textu: *χρεία*, ad marg. vero: *χρείαν*. — Cfr. Hebr. V, 12. coll. 13. 14.

ἀλλὰ »στερεᾶς τροφῆς,« ἀκούετε, ὡς »ἀπογεγαλακτισμένοι[1]) ἀπὸ γάλακτος,« καὶ »ἀπεσπασμένοι ἀπὸ μαστοῦ,« τίνα τρόπον ὡς ἀθληταῖς τοῖς ἀπογεγαλακτισμένοις, οὐχ ἁπλῆ θλῖψις, ἀλλά τις θλῖψις[2]) ἐπὶ θλίψει προφητεύεται. Ὁ δὲ μὴ ἀπωθούμενος τὴν »ἐπὶ θλίψει θλῖψιν,« ἀλλ' ὡς γενναῖος ἀθλητὴς αὐτὴν προσδεχόμενος, εὐθέως προσδέχεται καὶ »ἐλπίδα[3]) ἐπ' ἐλπίδι·« ἧς μετ' οὐ πολὺ τῆς ἐπ' ἐλπίδι θλίψεως ἀπολαύσει. Τοιοῦτο γάρ ἐστι τό· »ἔτι[4]) μικρὸν, ἔτι μικρόν.«

2. Ἀλλὰ καὶ εἰ φαυλίζοιεν ἡμᾶς, καὶ ἐξευτελίζοιεν, ἤτοι ἀσεβεῖς, ἢ μωροὺς ἀποκαλοῦντες οἱ ἀλλότριοι, τῆς κατὰ τὰς ἁγίας γραφὰς διαλέκτου ὑπομιμνησκώμεθα, ὅτι ἡ ἐπ' ἐλπίδι ἐλπὶς,[5]) ἡ »ἔτι[6]) μικρὸν« ἀποδοθεῖσα ἡμῖν, ἀποδοθήσεται »διὰ[7]) φαυλισμὸν χειλέων, διὰ γλώσσης ἑτέρας.« Καὶ τίς οὐκ ἂν προσδέχοιτο »θλῖψιν[8]) ἐπὶ θλίψει,« ἵνα εὐθέως προσδέξηται καὶ »ἐλπίδα[9]) ἐπ' ἐλπίδι;« λογισάμενος μετὰ Παύλου, ὅτι[10]) »οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ,« ὧν ὡσπερεὶ ὠνούμεθα τὴν μακαριότητα, πρὸς[11]) »τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς·« καὶ μάλιστα, ἐπεὶ »τὸ[12]) παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν,« ἐλαφρὸν τοῖς μὴ βαρουμένοις ὑπὸ τῶν περιεστηκότων καὶ τυγχάνον καὶ λεγόμενον, ὅσῳ πλεῖον ὑπερβάλλον γίνεται, τοσούτῳ μεῖζον καὶ πλεῖον »βάρος[13]) αἰώνιον[14])

---

[1]) Cfr. Jesai. XXVIII, 9.
[2]) Cfr. Jesai. XXVIII, 10.
[3]) Cfr. Jesai. XXVIII, 10.
[4]) Jesai. XXVIII, 10.
[5]) Cfr. Jesai. XXVIII, 10.
[6]) Jesai. XXVIII, 10. [7]) Jesai XXVIII, 11.
[8]) Jesai. XXVIII, 10. [9]) Jesai. XXVIII, 10.
[10]) Rom. VIII, 18. [11]) Rom. VIII, 18.
[12]) II Cor. IV, 17. [13]) Cfr. II Cor. IV, 17.
[14]) Wetsten. ad marg. »lege: αἰωνίου,« Ruaeus in notis: »Forte legendum: αἰωνίου.«

δόξης κατεργάζεται ἡμῖν,« εἰ παρὰ τὸν καιρὸν τῶν θλιβόντων, καὶ ὡσπερεὶ πιέζειν τὰς ψυχὰς ἡμῶν ἐθελόντων, ἀποστρέψαντες τὸ ἡγεμονικὸν ἀπὸ τῶν ἐπιπόνων, σκοπῶμεν οὐ τὰ ἐνεστηκότα ἐπίπονα, ἀλλὰ τὰ διὰ τὴν ἐν τούτοις ὑπομονὴν τοῖς νομίμως [1]) ἐν Χριστῷ ἀθλήσασι χάριτι θεοῦ ἀποκείμενα, πολλαπλασιάζοντος τὰς εὐεργεσίας, καὶ ὑπὲρ τὴν ἀξίαν τῶν τοῦ ἀγωνισαμένου καμάτων τοσαῦτα δωρουμένου, ὅσα ἂν πρέπῃ μὴ γλισχρολογουμένῳ διδόναι, τῷ μεγαλοδώρῳ καὶ ἐπισημόνως τὰς ἑαυτοῦ χάριτας μεγεθύνοντι θεῷ, ἐπὶ τοὺς, τῷ [2]) ὅση δύναμις καταπεφρονηκέναι τοῦ ὀστρακίνου σκεύους, ἐπιδειξαμένους τὴν ὅλῃ ψυχῇ πρὸς αὐτὸν ἀγάπην.

3. Ὅλῃ δὲ ψυχῇ νομίζω ἀγαπᾶσθαι τὸν θεὸν ὑπὸ τῶν ἀποσπώντων καὶ διϊστάντων [3]) αὐτὴν διὰ πολλὴν τὴν πρὸς τὸ κοινωνῆσαι τῷ θεῷ προθυμίαν, οὐ [4]) μόνον ἀπὸ τοῦ γηΐνου σώματος, ἀλλὰ καὶ ἀπὸ παντὸς

---

[1]) Cfr. II Tim. II, 5.

[2]) Deest τῷ in ed. Wetsten.

[3]) Ed. Wetsten. διϊστύντων.

[4]) Origenes lib. I. περὶ ἀρχῶν cap. VIII. num. 4. »Tertius vero creaturae rationabilis ordo est earum, quae ad humanum genus replendum aptae judicantur a Deo, id est animae hominum, per profectum etiam in illum angelorum ordinem assumtae: ex quibus quosdam videmus assumi, illos videlicet, qui filii Dei facti fuerint, vel filii resurrectionis, vel hi, qui dereliquerint tenebras, et dilexerint lucem, et facti fuerint filii lucis; vel hi, qui omnem pugnam superantes, et pacifici effecti, filii pacis et filii Dei fuerint; vel qui mortificantes membra sua, quae sunt super terram, et transscendentes non solum corpoream naturam, verum etiam animae ipsius ambiguos fragilesque motus adjunxerint se Domino, facti ex integro spiritus, ut sint cum illo unus spiritus semper, cum ipso singula quaeque discernentes, usque quo perveniant in hoc, ut perfecte effecti spirituales omnia discernant per hoc, quod in omni sanctitate illuminati sensu per verbum et sapientiam Dei a nullo penitus possint discerni.« Cfr. ed. Redepenning. pag. 158. seq

σώματος· οἷς οὐδὲ μετὰ περισπασμοῦ καὶ περιελκυσμοῦ τινος γίνεται, τὸ ἀποθέσθαι »τὸ[1]) τῆς ταπεινώσεως σῶμα,« ὅταν καιρὸς διδῷ διὰ τοῦ νομιζομένου θανάτου ἐκδύσασθαι τὸ σῶμα τοῦ θανάτου, καὶ ἐπακουσθῆναι ἀποστολικῶς εὐξάμενον καὶ εἰπόντα· »ταλαίπωρος[2]) ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;« *Τίς γὰρ τῶν ἐν τῷ σκήνει*[3]) στενα-ζόντων διὰ τὸ βαρεῖσθαι ὑπὸ τοῦ φθαρτοῦ σώματος, οὐχὶ καὶ εὐχαρισήσει πρότερον εἰπών· »τίς[4]) με ῥύ-σεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;« βλέπων ὅτι διὰ τῆς ὁμιλίας ῥυσθεὶς ἐκ τοῦ σώματος τοῦ θανά-του, ἁγίως ἀναφθέγξεται τό· »χάρις[5]) τῷ θεῷ διὰ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν.« Εἰ δέ τινι τὸ τοι-οῦτο χαλεπὸν φαίνεται· οὐκ »ἐδίψησε[6]) πρὸς τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα,« οὐδὲ »ἐπεπόθησε[7]) πρὸς τὸν θεὸν, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων·« οὐδὲ εἶπε· »πότε[8]) ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ θεοῦ;« οὐδὲ ἐν ἑαυτῷ ἐλογίσατο, ἃ δια-λογισάμενος ὁ προφήτης λεγομένου τοῦ· »ποῦ[9]) ἐστιν ὁ θεός σου;« αὐτῷ, καθ' ἑκάστην ἡμέραν ἐξέχεεν ἐφ' ἑαυτὸν τὴν ψυχὴν αὐτοῦ, ἐπιπλήσσων αὐτῇ ἔτι καὶ ἀσθένειαν περιλύπῳ[10]) γινομένῃ καὶ συνταρασσομένῃ, καὶ λέγων· »ὅτι[11]) διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυ-μαστῆς, ἕως τοῦ οἴκου τοῦ θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἦχου ἑορτάζοντος.«

---

[1]) Cfr. Philipp. III, 21. [2]) Rom. VII, 24.
[3]) Cfr. II Cor. V, 4. [4]) Rom. VII, 24.
[5]) Cfr. Rom. VII, 25.
[6]) Cfr. Psalm. XLII, 2. (XLI.)
[7]) Cfr. Psalm. XLII, 1. (XLI.)
[8]) Psalm. XLII, 2. (XLI.)
[9]) Psalm. XLII, 10. (XLI.)
[10]) Cfr. Psalm. XLII, 5. coll. 11. (XLI.)
[11]) Cfr. Psalm. XLII, 4. (XLI.)

4. *Εὐχόμην οὖν ὑμᾶς, παρ' ὅλον τὸν ἑστηκότα ἀγῶνα μεμνημένους τοῦ ἀποκειμένου πολλοῦ*[1] *ἐν οὐρανοῖς μισθοῦ τοῖς διωχθεῖσι*[2] *καὶ ὀνειδισθεῖσιν ἕνεκεν δικαιοσύνης, καὶ ἕνεκεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου, χαίρειν καὶ ἀγαλλιᾶν καὶ σκιρτᾶν, ὥσπερ οἱ ἀπόστολοι ἐχάρησάν*[3] *ποτε, καταξιωθέντες ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. Εἰ δέ ποτε καὶ αἰσθάνοισθε συστολῆς περὶ τὴν ψυχὴν ὑμῶν, εἰπάτω αὐτῇ ὁ ἐν ἡμῖν*[4] *Χριστοῦ νοῦς, θελούσῃ τὸ ὅσον ἐφ' ἑαυτῇ καὶ αὐτὸν συγχεῖν· »ἵνα*[5] *τί περίλυπος εἶ ψυχή; καὶ ἵνα τί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ.« Καὶ πάλιν.*[6] *... Εἴθε μὲν μηδαμῶς ταραχθείη ἡ ψυχὴ, ἀλλὰ καὶ παρ' αὐτοῖς τοῖς δικαστηρίοις, καὶ παρὰ γυμνοῖς τοῖς ξίφεσιν ἐπιφερομένοις τῷ τραχήλῳ, φρουροῖτο*[7] *ὑπὸ τῆς ὑπερεχούσης πάντα νοῦν εἰρήνης τοῦ θεοῦ, καὶ γαληνιάζοι, λογιζομένη, ὅτι οἱ ἐκδημοῦντες*[8] *ἐκ τοῦ σώματος ἐνδημοῦσιν αὐτῷ τῷ τῶν ὅλων κυρίῳ. Εἰ δὲ μὴ τηλικοῦτοί ἐσμεν, ὡς ἀεὶ τὸ ἀτάραχον διατηρεῖν, κἂν μὴ ἐχχέοιτο, μηδὲ τοῖς ἔξω ἐμφαίνοιτο ἡ τῆς ψυχῆς ταραχὴ, ἵνα ἀπολογίας ὥραν ἔχωμεν πρὸς θεὸν, λέγοντες αὐτῷ· »ὁ*[9] *θεός μου, πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη.« Μεμνῆσθαι δὲ ἡμᾶς ὁ λόγος παρακαλεῖ καὶ τοῦ ἐν Ἡσαΐᾳ τοῦτον εἰρημένου τὸν τρόπον· »Μὴ*[10] *φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων,*

---

[1]) Cfr. Matth. V, 12.

[2]) Cfr. Matth. V, 10. 11.

[3]) Cfr. Act. V, 41.

[4]) Forte legendum: *ὑμῖν*. R. (?!)

[5]) Psalm. XLII, 5. coll. 11. (XLI.)

[6]) Suspicor consecutum fuisse aliquem Scripturae locum priori similem, quem Amanuensis in Cod. Mscr. omiserit. R.

[7]) Cfr. Philipp. IV, 7. [8]) Cfr. II Cor. V, 8.

[9]) Cfr. Psalm. VI, 2. 3.

[10]) Jesai. LI, 7.

καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἠτιᾶσθε.« [1]) Καὶ γὰρ ἄτοπον, ἐναργῶς ἐφεστῶτος Θεοῦ τῇ τοῦ οὐρανοῦ καὶ τῶν ἐν αὐτῷ κινήσει, καὶ τοῖς ἐν γῇ καὶ θαλάσσῃ ὑπὸ τῆς θείας τέχνης αὐτοῦ ἐπιτελουμένοις ἐν παντοδαπῶν ζώων καὶ φυτῶν γενέσεσι καὶ συστάσεσι, καὶ τροφαῖς καὶ αὐξήσεσι, καμμύσαι μὲν καὶ μὴ ἐνορᾶν θεῷ, τρέψαι δὲ τοὺς ὀφθαλμοὺς ἐπὶ φύβον τῶν μετ' ὀλίγον τεθνηξομένων καὶ παραδοθησομένων τῇ καθ' ἀξίαν αὐτῶν δίκῃ.

5. Τῷ μὲν οὖν Ἀβραάμ ποτε ὑπὸ Θεοῦ εἴρηται »ἔξελθε [2]) ἐκ τῆς γῆς σου·« ἡμῖν δὲ τάχα μετ' ὀλίγον λεχθήσεται· Ἐξέλθετε ἀπὸ τῆς ὅλης γῆς· ᾧ πείθεσθαι καλὸν, ἵνα ἡμῖν ταχέως δείξῃ τοὺς οὐρανοὺς, ἐν οἷς ἐστιν ἡ καλουμένη τῶν οὐρανῶν βασιλεία. Περὶ μὲν οὖν πολλῶν ἀρετῶν ἐστιν ἰδεῖν τὸν βίον ἀγώνων πεπληρωμένον τοὺς ἀγωνιζομένους. Δόξουσι γὰρ περὶ μὲν σωφροσύνης καὶ ἕτεροι τῶν ἀπὸ τῆς τοῦ Θεοῦ μερίδος ἠγωνίσθαι πολλοί· καὶ μετὰ ἀνδρείας ἐναποτεθνηκέναι τινὲς, τηροῦντες τὴν ὑπὲρ τοῦ κοινοῦ δεσπότου πρόθεσιν· φρονήσεώς τε ἐπιμελεῖσθαι οἱ περὶ τοὺς ἐξεταζομένους λόγους δεινοί· καὶ δικαιοσύνῃ ἑαυτοὺς ἐπιδεδωκέναι οἱ δικαίως ζῆν προτεθυμημένοι. Καὶ στρατεύεταί γε καθ' ἑκάστης ἀρετῆς, ἤτοι τὸ τῆς σαρκὸς φρόνημα καὶ τὰ πολλὰ τῶν ἐκτός· περὶ δὲ εὐσεβείας μόνον »τὸ ἐκλεκτὸν« [3]) ἀγωνίζεται »γένος, τὸ βα-

[1]) Wetsten. in textu: ἰτιᾶσθε, ad marg. vero: »Lege: ἠτιᾶσθε.« [2]) Gen. XII, 1.

[3]) Cfr. I Petr. II, 9. coll. Exod. XIX, 6. — Cfr. Orig. lib. II. contra Cels. num. 44. a verbis: οὗτοι δι' εὐσέβειαν πάσχοντες ταῦτα κιλ., coll. ejusd. lib. num. 45. a verbis: ὑπεραίροντες πολλὰ τῶν παρ' Ἕλλησιν ἱστορουμένων ἐπὶ τῇ καρτερίᾳ καὶ ἀνδρείᾳ τῶν φιλοσοφησάντων, et lib. VII. num. 39., ubi haec leguntur: καὶ οὕτω προχείρως ὑπὲρ εὐσεβείας τιθέντας τὸ σῶμα, ὡς οὐδὲ τὸ ἱμάτιον ἀποδύσαιτ' ἂν εὐχερῶς φιλόσοφος.

σίλειον ἱεράτευμα, τὸ ἔθνος τὸ ἅγιον, ὁ λαὸς ὁ εἰς περιποίησιν·« οὐδὲ μέχρι τοῦ δοκεῖν δεικνύντων τῶν λοιπῶν ἀνθρώπων, ὅτι εἰ ἔστιν τὰ ἀνταγωνιζόμενα τοῖς εὐσεβέσι, προτίθενται ὑπὲρ εὐσεβείας ἀποθνήσκειν, προτιμῶντες [1]) τὸν μετ' εὐσεβείας θάνατον, τοῦ μετὰ ἀσεβείας ζῆν. Διόπερ »καρδίᾳ« [2]) μὲν ὁ θεὸς τοῖς τοιούτοις »πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν,« καταλαμβάνουσιν, ὅτι οὔτε δικαιωθήσονται, ἐὰν μὴ οὕτω πιστεύσωσι [3]) τῷ θεῷ τῆς καρδίας αὐτῶν οὕτω διακειμένης, οὔτε [4]) ἐν σωτηρίᾳ ἔσον-

---

[1]) Etiam Ethnicis hoc tritum. Isocrates ad Nicoclem: *Αἴροῦ καλῶς τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς.* Et in laud. Helenae: *Κρεῖττόν ἐστι τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς.* Origenes lib. II. contra Cels. num. 17. *Καὶ Σωκράτης γοῦν ᾤδει τὸ κώνειον πιόμενος καὶ τεθνηξόμενος, καὶ ἐδύνατο, εἴπερ ἐπείσθη τῷ Κρίτωνι, ὑπεξελθὼν τὴν φυλακὴν μηδὲν τούτων παθεῖν· ἀλλ' εἵλετο, κατὰ τὸ φαινόμενον αὐτῷ εὔλογον, κρεῖττον αὐτῷ εἶναι φιλοσόφως ἀποθανεῖν, ἢ ἀφιλοσόφως ζῆν.* Philosophice, sed parum pie, moriatur, qui cicutam bibit. Longe aliter Christiani, quibus ipse Imperator Christianus, in epistola ad Commune Asiae, testimonium perhibet: *Εἴη δ' ἂν κἀκείνοις αἱρετὸν τὸ δοκεῖν κατηγορουμένους τεθνάναι μᾶλλον, ἢ ζῆν, ὑπὲρ τοῦ οἰκείου θεοῦ. Ὅθεν καὶ νικῶσι, περιέμενοι τὰς ἑαυτῶν ψυχάς, ἅπερ πειθόμενοι οἷς ἀξιοῦτε πράττειν αὐτούς.* Cfr. Euseb. lib. IV. Hist. Eccles. cap. 13. Sic de iisdem Prudentius *περὶ Στεφάνων*, hymno 10. canit:

Fixa et statuta est omnibus sententia,
Fidem tueri, vel libenter emori. Wetsten.

[2]) Cfr. Rom. X, 10.

[3]) Wetsten. in textu: *στεύσωσι*, ad marg. vero: »lege: *πιστεύσωσι*.«

[4]) Wetsten. in textu, uncis voc *ἐν* appositis: *οὔτε εἰς ἔν* (sic) *σωτηρίᾳ κιλ.*, ad marg. vero: »lege: *οὔτε ἐν σωτηρίᾳ*« *κιλ.*

ται, ἐὰν μὴ ὁποία ἡ διάθεσις ᾖ, τοιοῦτος καὶ ὁ λόγος. Ἑαυτοὺς γὰρ ἀπατῶσιν οἱ νομίζοντες ἀρκεῖν πρὸς τὸ τυχεῖν ἐν Χριστῷ τέλους, τό· »καρδίᾳ[1] *γὰρ πιστεύεται εἰς δικαιοσύνην·« κἂν μὴ προσῇ τό· »στόματι*[2] *δὲ ὁμολογεῖται εἰς σωτηρίαν.« Καὶ ἔστι γε εἰπεῖν, ὅτι μᾶλλόν ἐστι τοῖς χείλεσι*[3] *τιμᾷν, τὴν καρδίαν πόρρω ἔχοντα ἀπὸ Θεοῦ, ἢπερ τῇ καρδίᾳ τιμᾷν αὐτὸν, τοῦ στόματος μὴ ὁμολογοῦντος εἰς σωτηρίαν.*

6. *Καὶ εἴποιμ' ἄν, ὅτι οἱ ἐπὶ δικαστηρίου ἐξομνύμενοι τὸν Χριστιανισμὸν, ἢ πρὸ δικαστηρίου, οὐ λατρεύουσι*[4] *μὲν, προσκυνοῦσι δὲ τοῖς εἰδώλοις, λαμβά-*

---

[1]) Rom. X, 10. [2]) Rom. X, 10.

[3]) Cfr. Matth. XV, 8. coll. Jesai. XXIX, 13.

[4]) Distinguit Origenes *προσκύνησιν* et *λατρείαν*, adducitque locum Num. XXV, 2., ubi Hebraea verba a LXX. viris redduntur: *καὶ προσεκύνησε τοῖς εἰδώλοις αὐτῶν.* Itaque secundum Origenem *λατρεία* cultum cordis, s. intimum cordis affectum, quo supremum rei adoratae in nos imperium agnoscitur et colitur, *προσκύνησις* vero cultum externum, s. cultus ejusmodi exteriorem professionem denotat. Alterutrum cultum hoc strictiori sensu sumtum ne idolis praestemus, aut ulli creatae rei, manifeste vetat praeceptum Decalogi secundum, Exod. XX. Vide Origen. hom. VIII. in Exodum. Sed et ad politicum civilemque honoris cultum *προσκύνησις* trahitur, II Sam. XVIII, 21., atque alibi passim. Sic in Can. XVI. Concil. Carthag. sancitur: *οἱ ἀναγνώσται τὸν δῆμον μὴ προσκυνῶσιν.* Id est, Zonara explicante, ut honorem hunc sacerdotibus debitum illis solis deferant, neque ad populum salutandi gratia se pariter vertant. Imo interdum *προσκύνησις* religiosum quoddam obsequium et observantiam erga angelos et sanctos denotat. Sic Anastasius Antiochenus in epist. ad scholasticos quosdam: *Προσκυνοῦμεν καὶ ἀνθρώπους καὶ ἀγγέλους, καὶ ἁγίους, οὐ μὴν λατρεύομεν αὐτοῖς· »κύριον γὰρ, φησὶ Μωϋσῆς, καὶ τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ*

νοντες τὸ ὄνομα κυρίου τοῦ θεοῦ ἐπὶ ματαίῳ, καὶ ἀψύχῳ ὕλῃ. Προσεκύνουν δὲ οὕτω, καὶ οὐκ ἐλάτρευον εἰδώλοις ὁ βεβηλωθεὶς λαὸς εἰς τὰς θυγατέρας Μωάβ· γέγραπται γοῦν αὐταῖς λέξεσιν, ὅτι »ἐκάλεσαν[1] *αὐτοὺς ἐπὶ ταῖς θυσίαις τῶν εἰδώλων αὐτῶν· καὶ ἔφαγεν ὁ λαὸς τῶν θυσιῶν αὐτῶν· καὶ προσεκύνησαν τοῖς εἰδώλοις αὐτῶν· καὶ ἐτελέσθη Ἰσραὴλ τῷ Βεελφεγώρ.« Καὶ παρατήρει, ὅτι οὐκ εἴρηται· »καὶ ἐλάτρευσαν τοῖς εἰδώλοις αὐτῶν·« οὐδὲ γὰρ οἷόν τε ἦν, μετὰ τοσαῦτα σημεῖα καὶ τέρατα, ὑπὸ μίαν καιροῦ ῥοπὴν πεισθῆναι ὑπὸ τῶν γυναικῶν, μεθ' ὧν ἐξεπόρνευον, πρὸς τὸ νομίσαι θεοὺς τὰ εἴδωλα. Τάχα δὲ οὕτω καὶ κατὰ τὴν ἐν τῇ Ἐξόδῳ μοσχοποιΐαν*[2] *»προσεκύνησαν,« οὐ λατρεύσαντες τῷ μόσχῳ, ὃν γινόμενον ἐθεάσαντο. Δοκίμιον οὖν καὶ ἐξεταστήριον τῆς πρὸς τὸ θεῖον ἀγάπης νομιστέον ἡμῖν γεγονέναι τὸν ἑστηκότα πειρασμόν. Πειράζει*[3] *γὰρ ὁ κύριος ἡμᾶς,*[4] *ὡς ἐν Δευτερονομίῳ*

λατρεύσεις.« Ὅρα, πῶς ἐπὶ τοῦ· »λατρεύσεις·« προσέθηκε τό· »μόνον·« ἐπὶ δὲ τοῦ· »προσκυνήσεις·« οὐδαμῶς· ὥστε προσκυνεῖν μὲν ἔξεστι, — τιμῆς γὰρ ἔμφασίς ἐστιν ἡ προσκύνησις —, λατρεύειν δὲ οὐδαμῶς· οὐκοῦν οὐδὲ προσεύξασθαι. Observatio haec Anastasii de verbo: *λατρεύειν*, non magni momenti videtur Suicero, quod exempla dentur in contrarium. Sed et idem me monuit, recentioribus Graecis *προσκυνεῖν*, vel *προσκύνησιν ποιεῖν*, esse *κλίνειν τὸν αὐχένα*, vel *κλίνειν τὴν κεφαλήν*. Vid. ejusd. observat. sacrar. cap. I. pag. 24. Cautius tamen Veteres de *προσκυνήσει* fuisse locutos, inferius monebitur. Wetst.

[1]) Cfr. Num. XXV, 2. 3.

[2]) Eleganter vocem deducit a biblica voce: *μοσχοποιέω*, qua utitur Stephanus *πρωτομάρτυς*, Act. VII, 41., et ab eo mutuatur Origenes, lib. I. contra Cels. num. 4. *τὰς ἐντολὰς συνέτριψεν ἡ κακία τῶν μοσχοποιησάντων.* Wetsten. — Cfr. Exod. XXXII, 8.

[3]) Cfr. Deut. XIII, 3.

[4]) Forte legendum: *ὑμᾶς*. R.

γέγραπται, εἰδέναι, εἰ »ἀγαπᾶτε κύριον τὸν θεὸν ὑμῶν ἐξ ὅλης τῆς καρδίας ὑμῶν, καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν.« Ἀλλ' ὑμεῖς πειραζόμενοι, ὀπίσω[1]) »κυρίου τοῦ θεοῦ ὑμῶν πορεύσεσθε, καὶ αὐτὸν φοβηθήσεσθε, καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάξεσθε·« καὶ μάλιστα τό· »οὐκ[2]) ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ·« »καὶ[3]) τῆς φωνῆς αὐτοῦ ἀκούσεσθε, καὶ αὐτῷ προστεθήσεσθε,« λαμβάνοντι μὲν ὑμᾶς ἀπὸ τῶν τῇδε χωρίων, προστιθέντι δὲ αὐτῷ εἰς »τὴν, ὡς ὁ ἀπόστολος ὠνόμασεν, αὔξησιν[4]) τοῦ θεοῦ« ἐν αὐτῷ.

7. Ἀλλὰ καὶ εἴπερ πᾶν ῥῆμα πονηρὸν »βδέλυγμα[5]) κυρίῳ« τῷ θεῷ σού ἐστι, πηλίκον βδέλυγμα νομιστέον εἶναι τὸ πονηρὸν τῆς ἀρνήσεως ῥῆμα, καὶ τὸν πονηρὸν τῆς ἄλλου θεοῦ ἀναγορεύσεως λόγον, καὶ τὸν πονηρὸν κατὰ τύχης ἀνθρώπων πράγματος ἀνυποστάτου ὅρκον; Οὗ προτεινομένου ἡμῖν, μνημονευτέον τοῦ διδάξαντος· »ἐγὼ[6]) δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως.« Εἴπερ γὰρ ὁ ὀμνὺς οὐρανὸν[7]) παρανομεῖ τὸν θρόνον τοῦ θεοῦ· καὶ ὁ ὀμνὺς γῆν,[8]) ἀσεβεῖ τὸ λεγόμενον ὑποπόδιον τοῦ θεοῦ θεοποιῶν· καὶ ὁ ὀμνὺς εἰς Ἱεροσόλυμα[9]) ἁμαρτάνει, καί[10]) τοί γε πόλις μεγάλου βασιλέως ἐστίν· καὶ ὁ ὀμνὺς τὴν ἑαυτοῦ κεφαλὴν[11]) πλημμελεῖ· πηλίκον ἁμάρτημα εἶναι νομιστέον, τὸ ὀμνύναι[12])

---

[1]) Cfr. Deut. XIII, 4. [2]) Exod. XX, 3.
[3]) Deut. XIII, 4. [4]) Cfr. Coloss. II, 19.
[5]) Prov. XV, 26. [6]) Matth. V, 34.
[7]) Cfr. Matth. V, 34. [8]) Cfr. Matth. V, 35.
[9]) Cfr. Matth. V, 35.

[10]) Cod. Mscr. corrupte habet: *καί τογε*. R. — Wetsten. in textu: *καί τογε*, ad marg. vero: »lege: *καί τοί γε*.«

[11]) Cfr. Matth. V, 36.

[12]) Ὀμνύναι τύχην τινός, est *jurare per Fortunam*, alias: *per Genium alicujus*. Alludit Origenes ad impium paganorum morem, *per Fortunam*, perque *Genios Caesarum* jurantium. Minucius, in Octavio: »Etiam principibus et regibus turpiter adulatio falsa blanditur. Sic eo-

τύχην τινός; Μνημονευτέον δὲ τότε καὶ τοῦ· »πε-

---

rum numen vocant, ad imagines supplicant, Genium, id est, daemonem ejus implorant; et est iis tutius per Jovis genium pejerare, quam regis.« Tertullianus, Apolog. cap. XXVIII. »Citius apud vos per omnes Deos, quam per unum Genium Caesaris pejeratur.« Iterum, cap. XXXII »Sed et juramus, sicut non per Genios Caesarum, ita per salutem eorum, quae est augustior omnibus Geniis. Nescitis Genios daemones dici, et inde diminutiva voce daemonia?« Et lib. ad Scapulam cap. II. »Idem ipsi, qui per Genios eorum in pridie usque juraverant, qui pro salute eorum hostias fecerant, et voverant, qui Christianos saepe damnaverant, hostes eorum sunt reperti.« Idem jurare Christianos frequenter jussere persecutores. Proconsul Smyrnensis S. Polycarpo, cum ad martyrium raperetur, imperat: Ὄμοσον τὴν Καίσαρος τύχην. Vide Euseb. Hist. eccles. lib. IV. cap. 15., et Niceph. lib. III. cap. 35. Sed nec sanctus ille vir, nec alii Christianorum, hanc impietatem admisere. Rationes gravissimas affert Origenes lib. VIII. contra Cels. num. 65. Τύχην μέντοι βασιλέως οὐκ ὄμνυμεν, ὡς οὐδ' ἄλλον νομιζόμενον θεόν· εἴτε γὰρ, ὡς ὠνόμασάν τινες, ἐκφορὰ μόνον ἐστὶν ἡ τύχη, ὁμοίως δοκήσει καὶ διαστάσει· οὐκ ὄμνυμεν τὸ μηδαμῶς ὂν ὡς θεὸν, ἢ ὕλως ὑφεστηκὸς καὶ δυνάμενόν τι ποιῆσαι, ἵνα μὴ τὴν ὁμοτικὴν δύναμιν εἰς ἃ μὴ δεῖ παραλαμβάνωμεν· εἴτε καὶ, — ὥς τισιν ἔδοξεν, εἰποῦσι· τοῦ Ῥωμαίων βασιλέως τὸν δαίμονα ὄμνυσιν οἱ τὴν τύχην αὐτοῦ ὀμνύοντες —, δαιμόνων ἐστὶν ἡ ὀνομαζομένη τύχη τοῦ βασιλέως· καὶ οὕτως ἀποθανητέον ἐστὶ μᾶλλον ἡμῖν ὑπὲρ τοῦ μὴ ὁμόσαι μοχθηρὸν δαίμονα καὶ ἄπιστον, πολλάκις συνεξαμαρτάνοντα ᾧ ἔλαχεν ἀνθρώπῳ, ἢ καὶ πλέον αὐτοῦ ἁμαρτάνοντα. Cfr. ed. nostr. Tom. XX. coll. notis. Hinc Tertullianus, Apologet. cap. XXXII. »Daemonas, id est, Genios adjurare consuevimus, ut illos de hominibus exigamus; non dejerare, ut illis honorem divinitatis conferamus.« Dissimulare hic non debeo insignem observationem Sebastiani

ρὶ [1]) παντὸς ἀργοῦ ῥήματος δώσετε λόγον ἐν ἡμέρᾳ κρίσεως.« Τίς γὰρ ἄλλος οὕτως ἀργὸς λόγος, ὡς ὁ ἐν

Feschii, dignam, quae hic apponatur: »Sublatum esse per imperatores Christianos Geniorum nomen et cultum, inde liquet, quod frequens illud veterum nummorum symbolum: GENIO AUGUSTI, GENIO CAESARIS, GENIO IMPERATORIS, GENIO POP. ROMANI, ab imperatoribus Ethnicis, atque inprimis Diocletiano, Maximiano, Maximino, Severo, Constantino, etc ubique usurpatum, in sequentium Christianorum principum nummis nusquam appareat.

Nec desiit prava consuetudo, etiam abolito ferme Gentilismo, jurandi vel *per vitam*, vel *per salutem*, vel *per caput* regum atque principum. Aben Ezra de antiquo more: »Si quis juraverit per caput regis, nec ratum habuerit juramentum suum, id ei capitale est. Hic mos obtinet hodieque in Aegypto. Quod si dederit pondo auri, non liberatur, quia sprevit regem palam.« Balsamon in Can. 82. Basilii ad Amphiloch. pag. 1012. *Εἶδον ἀγοράφως ὀμόσαντας εἰς τὴν κεφαλὴν τοῦ βασιλέως, καὶ πικρῶς κολασθέντας.* Jurarunt quoque *per vitam regis*. Unde interdictum Caroli Magni in Capitul. lib. III. cap. 42. »Ut nullus praesumat per vitam regis, et filiorum ejus jurare.« Jurarunt itidem *per principis veneration*em: lib. II. Cod. de rebus creditis: quod Graece dicitur: *ὀμνύειν κατὰ βασιλέως*. Qua de re duo §. habentur apud Harmenopulum, in Prompt. Juris, lib. I. cap. 7. §. 19. et 20. pag. 75. Item *per salutem principum*, uti patet ex rescripto Arcadii et Honorii impp. lib. XLI. in fine Cod. de Transaction. Ad cujus imitationem C. Caligula per equi cujusdam sui nomine incitati, *τήν τε σωτηρίαν καὶ τύχην ὤμνυε*, teste Dione Cassio Roman. hist. lib. LIX, pag. 747.

Donatistae etiam quid singulare habebant, utpote per suos episcopos jurare soliti. Qua de re ab Optato Milevitano merito acerrime reprehenduntur, lib II. advers.

[1]) Cfr. Matth. XII, 36.

ἀρνήσει ὅρκος; Οὐδαμῶς [1]) γὰρ προσκυνητέον τὰ κτίσματα, παρόντος τοῦ κτίσαντος καὶ διαρκοῦντος καὶ

Parmenianum pag. 58. »Et ut in errorem vos vester populus mittat, laudando felices appellat, et bene nominat, et *per vos* jurant, et personas vestras jam pro Deo habere noscuntur. Solet Deus ad probandam fidem in juratione ab hominibus nominari: sed cum *per vos* juratur, jam apud vestros de Deo et Christo silentium est. Si ad vos divina migravit de coelo religio, quia *per vos* juratur, nemo vestrum aut vestrorum langueat, nolite mori, imperate nubibus, pluite si potestis, ut per vos plenius juretur, et de Deo sileatur. Nam et prioribus saeculis, ut templa fabricarentur, et idola fierent, quid vestro populo diabolus potuit amplius facere?« Wetst.

[1]) Non dubium, quin προσκύνησις omnibus omnino creaturis sit deneganda, cum sumitur pro externo cultu, quo supremum rei, quae προσκυνεῖται, in nos imperium agnoscitur. Verum in notis ad num. 6. jam observatum est, προσκύνησιν non semper tam stricto sensu usurpari, sed interdum ea voce denotari simplicem cultum honoris et observantiae erga angelos et sanctos viros non tanquam dominos, et bonorum coelestium auctores, sed tanquam amicos Dei, quorum pro nobis apud ipsum intercessio multum valeat. Hoc sensu προσκύνησιν hominibus, angelis, et sanctis ecclesia Graeca multis abhinc saeculis concedit. Neque alienus ab ejusmodi προσκυνήσει putandus est Origenes, quippe qui lib. VIII. contra Cels num. 57. de angelis dicat: Εὐφημοῦμεν αὐτοὺς καὶ μακαρίζομεν ἐγχειρισθέντας ὑπὸ τοῦ θεοῦ τὰ χρήσιμα τῷ γένει ἡμῶν, οὐ μὴν τὴν ὀφειλομένην πρὸς θεὸν τιμὴν τούτοις ἀπονέμομεν. Ubi vides, ab angelis tantum excludi honorem Deo debitum. Praeterea Homil. I. in Ezech. sine ambage angelum prece veneratur: »Omnia, inquit, angelis plena sunt. Veni angele: suscipe sermone conversum ab errore pristino, a doctrina daemoniorum, ab iniquitate in excelsum loquente: suscipiens eum quasi medicus bonus confove atque institue.« Vide lib. II. Origenianor. quaest. V. num. XXXVI. R. — Cfr. Wetsten.

φθάνοντος πρὸς τὴν πάντων εὐχήν. Καὶ οὐδ' αὐτός γ' ἂν θέλοι ὁ ἥλιος προσκυνεῖσθαι ὑπὸ τῶν ἀπὸ τῆς τοῦ θεοῦ μερίδος· εἰκὸς δὲ, ὅτι οὔτε ἀπὸ ἄλλου τινός· ἀλλὰ μιμούμενος τὸν εἰπόντα· »Τί[1]) με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ θεὸς ὁ πατήρ·« ὡσπερεὶ φήσει τῷ προσκυνεῖν αὐτὸν ἐθέλοντι· Τί με λέγεις θεόν; Εἷς ἐστι θεὸς ἀληθινός. Καὶ τί με προσκυνεῖς; »Κύριον[2]) γὰρ τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.« Γενητός εἰμι κἀγώ· τί[3]) βούλει προσκυνεῖν τὸν προσκυνοῦντα; Κἀγὼ γὰρ τῷ θεῷ καὶ πατρὶ προσκυνῶ καὶ λατρεύω, καὶ αὐτοῦ πειθόμενος τοῖς ἐπιτάγμασι, τῇ[4]) »ματαιότητι« ὑποτέταγμαι »διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι·« καὶ ἐλευθερωθήσομαι »ἀπὸ τῆς δουλείας τῆς φθορᾶς,« καὶ αὐτὸς ἐνδεδεμένος φθαρτῷ σώματι, εἰς »τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ.«

8. Ἔστι προσδοκῆσαι καὶ τῆς ἀσεβείας τινὰ προφήτην, τάχα οὐχ ἕνα, ἀλλὰ πλείονας. Λαλήσονται ἡμῖν »ὡς[5]) κυρίου ῥῆμα, ὃ οὐ προσέταξε κύριος·« ἢ ὡς σοφίας[6]) λόγον, τὸν ἀλλότριον τῆς σοφίας· ἵν' ἡμᾶς ἀποκτείνῃ τῷ λόγῳ τοῦ στόματος αὐτοῦ. Ἀλλ' ἡμεῖς δὲ τότε ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον ἡμῶν, εἴπωμεν· »ἐγὼ[7]) δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. Καὶ ἐγενόμην

---

[1]) Cfr. Matth. XIX, 17. coll. Luc. XVIII, 19. Vide quoque Orig. lib. de Oratione num. 15.

[2]) Cfr. Deut. VI, 13. coll. X, 20. et Matth. IV, 10.

[3]) Solem loquentem inducit, quem, sicut et cetera astra omnia, animam habere ἐνδεδεμένην φθαρτῷ σώματι, non solum hic, sed passim in scriptis suis tradidit. Vide lib. II. Origenianor. quaest. VIII. R. — Cfr. Wetsten.

[4]) Cfr. Rom. VIII, 20. 21.

[5]) Cfr. Deut. XVIII, 20. coll. 22.

[6]) Cfr. I Cor. XII. 8.

[7]) Cfr. Psalm. XXXVIII, 13. 14. (XXXVII.)

ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων.« *Καλὴ γὰρ ἡ πρὸς τοὺς ἀσεβεῖς λόγους κώφωσις, ἐπὰν ἀπογινώσκωμεν τὴν τῶν τὰ χείρονα λεγόντων ἐπανόρθωσιν.*

9. *Χρήσιμον δὲ ἡμᾶς ἐννοεῖν ἐν τοῖς καιροῖς τῶν ἐπὶ τὰ ἐναντία προκαλουμένων, τί διδάξαι βουλόμενος ὁ θεός φησι τό·* »ἐγώ[1]) εἰμι κύριος ὁ θεός σου ζηλωτής.« *Καὶ οἶμαί γε, ὅτι ὃν τρόπον νυμφίος ἐπισιτίζων τὴν νύμφην πρὸς τὸ σεμνῶς βιοῦν, συνάγουσαν μὲν πᾶσαν ἑαυτὴν πρὸς τὸν νυμφίον, παντὶ[2]) δὲ τρόπῳ φυλαττομένην ἐκχεῖσθαι πρὸς ἕτερόν τινα παρὰ τὸν νυμφίον· κἂν σοφὸς ᾖ, ἐμφαίνοι ἂν ζῆλον, ὡς φαρμάκῳ τῇ τοιαύτῃ ἐμφάσει πρὸς τὴν νύμφην χρώμενος· οὕτω ὁ χρηματίζων, καὶ μάλιστα ἐὰν φαίνεται ὁ »πρωτότοκος«[3]) εἶναι »πάσης κτίσεως,« φησὶ πρὸς τὴν νύμφην, ψυχήν, θεὸς εἶναι ζηλωτὴς,[4]) πάσης τῆς πρὸς τὰ δαιμόνια πορνείας καὶ τοὺς νομιζομένους εἶναι θεοὺς ἀφισιὰς τοὺς ἀκροωμένους. Καὶ ὡς θεὸς οὕτω ζηλωτὴς φησι περὶ τῶν ὅπως ποτὲ ὀπίσω θεῶν ἑτέρων ἐκπεπορνευκότων·* »αὐτοὶ[5]) παρεζήλωσάν με ἐπ' οὐ θεῷ· κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει· ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς, ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου· καυθήσεται ἕως ᾅδου κατωτάτου.«

10. *Κἂν μὴ δι' ἑαυτὸν δὲ ὡς σοφὸς ὁ νυμφίος καὶ ἀπαθὴς ἀποστρέφῃ παντὸς μολυσμοῦ τὴν μεμνηστευμένην, ἀλλά γε δι' ἐκείνην ὁρῶν αὐτῆς τὸν μολυ-*

---

[1]) Cfr. Exod. XX, 5.

[2]) Vitiose in Cod. Mscr. legitur: *παντὶ δὲ τροφυλαττομένην*. R. — Wetsten. in textu: *παντὶ δὲ τρὸ φυλαττομένην*, ad marg. vero: »lege: *παντὶ δὲ τρόπῳ φυλαττομένην*.«

[3]) Cfr. Coloss. I, 15.

[4]) Vitiose in Cod. Mscr. legitur: *ζωλωτὴς*. R. — Wetsten. in textu: *ζωλωτὴς*, ad marg. vero: »lege: *ζηλωτὴς*.«

[5]) Cfr. Deut. XXXII, 21. 22. coll. Rom. X, 19.

σμὸν καὶ τὸν βδελυγμὸν, πάντα τὰ ἰάσασθαι καὶ ἐπιστρέψαι αὐτὴν δυνάμενα ποιήσει, ὡς αὐτεξουσίῳ [1]) φύσει προσάγων λόγους ἀποτρεπτικοὺς τοῦ πορνεύειν. Ποῖον ἂν οὖν μιασμὸν νοήσαις χείρονα γίνεσθαι ψυχῇ ὅπως ποτὲ ἄλλον ἀγορευούσῃ θεὸν, καὶ μὴ ὁμολογούσῃ τὸν ἀληθῶς ἕνα καὶ μόνον κύριον; Καὶ οἶμαί γε, ὅτι ὥσπερ »ὁ [2]) κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν,« οὕτως ὁ μὲν ὁμολογῶν τινα, καὶ μάλιστα ἐν καιρῷ βασάνου καὶ ἐξετάσεως τῆς πίστεως, ἀνακιρνᾶται καὶ ἑνοῦται [3]) τῷ ὁμολογουμένῳ· [4]) ὁ δὲ ἀρνούμενος, ὑπ' αὐτῆς τῆς ἀρνήσεως τρύπον μαχαίρας διακοπτούσης, ἀπ' ἐκείνου, ὃν ἀρνεῖται, πάσχει τὴν διαίρεσιν, χωριζόμενος ἐκείνου, ὃν ἠρνήσατο. Διόπερ ἐπίστησον, μήποτε, ὡς ἀκόλουθον καὶ ἀναγκαῖον συμβῆναι τῷ ὁμολογοῦντι τὸ ὁμολογηθῆναι, καὶ τῷ ἀρνουμένῳ τὸ ἀρνηθῆναι, εἴρηται τό· »ὃς [5]) ἐὰν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ὁμολογήσω ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.« Καὶ εἶποι δ' ἂν ὁ αὐτολόγος καὶ ἡ αὐτοαλήθεια τῷ τε ὁμολογήσαντι καὶ τῷ ἀρνησαμένῳ· »ᾧ [6]) μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν·« σὺ μὲν οὖν ὁ μετρήσας μέτρῳ τῆς πρὸς μὲ ὁμολογίας, ἀπολήψῃ »μέτρον« [7]) τῆς ἀπ' ἐμοῦ ὁμολογίας »σεσαλευμένον, πεπιεσμένον, ὑπερεκχυνόμενον·« ὅπερ δοθήσεται »εἰς τὸν κόλπον σου.« Καὶ σὺ δὲ, ὁ μετρήσας τῷ τῆς ἀρνήσεως μέτρῳ, καὶ ἀρνησάμενός με,

---

[1]) Wetsten. in textu: ἀντεξουσίῳ, ad marg. vero: »lege: αὐτεξουσίῳ.«

[2]) Cfr. I Cor. VI, 16.

[3]) Wetsten. in textu: ἑνοῦται, ad marg. vero: »lege: ἑνοῦται.«

[4]) Corrupte in Cod. Mscr. scribitur: ὁλογουμένῳ. R. — Wetsten. in textu: ὁλογουμένῳ, ad marg. vero: »lege: ὁμολογουμένῳ.«

[5]) Cfr. Matth. X, 32. [6]) Cfr. Matth. VII, 2.

[7]) Cfr. Luc. VI, 38.

τὸ ἀνάλογον τῷ μέτρῳ τῆς ἀρνήσεως ἀπολήψῃ μέτρον τῆς ἀπ' ἐμοῦ περὶ σοῦ ἀρνήσεως.

11. Πῶς δὲ πληροῦται μέτρον ὁμολογίας, ἢ οὐ πληροῦται, ἀλλ' ἐλλείπει, οὕτως ἂν θεωρήσαιμεν. Εἰ παρ' ὅλον τὸν τῆς ἐξετάσεως καὶ τοῦ πειρασμοῦ χρόνον, μὴ διδῶμεν τόπον τῷ διαβόλῳ ἐν ταῖς καρδίαις ἡμῶν, μολύνειν ἡμᾶς διαλογισμοῖς πονηροῖς θέλοντι ἀρνήσεως, ἢ διψυχίας, ἤ τινος πιθανότητος προκαλουμένης ἐπὶ τὰ ἐχθρὰ τῷ μαρτυρίῳ καὶ τῇ τελειότητι· καὶ πρὸς τούτῳ, εἰ [1]) μηδὲ λόγῳ ἀλλοτρίῳ τῆς ὁμολογίας ἑαυτοὺς μιαίνοιμεν, [2]) καὶ εἰ πάντα φέροιμεν τὸν ἀπὸ τῶν ἐναντίων ὀνειδισμὸν, καὶ χλεύην, καὶ γέλωτα, καὶ δυσφημίαν, καὶ ἔλεον, ὃν δοκοῦσιν ἡμᾶς ἐλεεῖν, πεπλανημένους καὶ μωροὺς ὑπολαμβάνοντες, καὶ ἐσφαλμένους ἀποκαλοῦντες· ἔτι δὲ, εἰ μὴ περιελκοίμεθα περισπώμενοι καὶ ὑπὸ τῆς περὶ τὰ τέκνα, ἢ τὴν τούτων μητέρα, ἤ τινα τῶν νομιζομένων εἶναι ἐν τῷ βίῳ φιλτάτων φιλοστοργίας, πρὸς τὴν κτῆσιν, ἢ πρὸς τὸ ζῆν τοῦτο· ἀλλ' ὅλα ταῦτα ἀποστραφέντες, ὅλοι γενοίμεθα τοῦ θεοῦ, καὶ τῆς μετ' αὐτοῦ καὶ παρ' αὐτῷ ζωῆς, ὡς κοινωνήσοντες τῷ μονογενεῖ αὐτοῦ, καὶ τοῖς μετόχοις αὐτοῦ· τότ' [3]) ἂν εἴποιμεν, ὅτι ἐπληρώσαμεν τὸ μέτρον τῆς ὁμολογίας· εἰ δὲ, κἂν ἑνί τινι λείποιμεν, οὐκ ἐπληρώσαμεν, ἀλλ' ἐμολύναμεν τὸ τῆς ὁμολογίας μέτρον. Διὸ δεησόμεθα, ὧν δέονται οἱ ἐποικοδομήσαντες [4]) »τῷ θεμελίῳ ξύλα, ἢ χόρτον, ἢ καλάμην.«

12. Καὶ τοῦτο δὲ ἡμᾶς εἰδέναι χρὴ, ὅτι τὰς καλουμένας τοῦ θεοῦ διαθήκας, ἐπὶ συνθήκαις παρεδεξάμεθα αἷς πρὸς αὐτὸν ἐποιησάμεθα, ἀναδεχόμενοι τὸ

---

[1]) Wetsten. εἰ μὴ δὲ λόγῳ κτλ.

[2]) Cod. Mscr. male: μαίνομεν. R. — Wetsten. in textu: μαίνομεν, ad marg. vero: »lege: μιαίνομεν.«

[3]) Wetsten. τό τ' ἂν εἴποιμεν.

[4]) Cfr. I Cor. III, 12.

κατὰ Χριστιανισμὸν βιοῦν· καὶ ἐν ταῖς πρὸς θεὸν συνθήκαις ἡμῶν ἣν πᾶσα ἡ κατὰ τὸ εὐαγγέλιον πολιτεία, λέγον· »εἴ[1]) τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ,[2]) καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ[3]) σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ αὐτοῦ[4]) τὴν ψυχὴν ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν. Τί γὰρ ὠφεληθήσεται ἄνθρωπος, ὃς ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ,[5]) τὴν δὲ ψυχὴν αὐτοῦ[6]) ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;[7]) Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ[8]) μετὰ τῶν ἀγγέλων αὐτοῦ· καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.« Τὸ δὲ δεῖν ἀρνεῖσθαι ἑαυτὸν, καὶ αἴρειν τὸν ἑαυτοῦ σταυρὸν, καὶ τῷ Ἰησοῦ ἀκολουθεῖν, οὐ μόνος Ματθαῖος, οὗ τὴν λέξιν παρεθέμεθα, ἀνέγραψεν, ἀλλὰ καὶ Λουκᾶς, καὶ Μάρκος. Ἄκουε γὰρ Λουκᾶ λέγοντος· »Εἴ[9]) τις θέλει ὀπίσω μου ἔρχεσθαι, ἀρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ,[10]) καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ ἂν θέλῃ τὴν[11]) ἑαυτοῦ ψυχὴν σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ[12]) ἕνεκεν ἐμοῦ, οὗτος σώσει αὐτήν. Τί γὰρ ὠφελεῖται ἄνθρωπος κερ-

---

[1]) Cfr. Matth. XVI, 24—27.

[2]) Wetsten. αὐτοῦ. [3]) Wetsten. αὐτοῦ.

[4]) Wetsten. αὐτοῦ.

[5]) Cod. Mscr. male: κελδήσῃ. R. — Wetsten. in textu: κελδήσῃ, ad marg. vero: »lege: κερδήσῃ.«

[6]) Wetsten. αὐτοῦ. [7]) Wetsten. αὐτοῦ.

[8]) Wetsten. αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ.

[9]) Cfr. Luc. IX, 23—25.

[10]) Wetsten. αὐτοῦ.

[11]) Wetsten. et Ruaeus in textu, ille: τὴν ἑαυτοῦ *σῶσαι, hic: τὴν ἑαυτοῦ σῶσαι. Idem vero, ille ad marg. *ψυχὴν, hic in notis: »Ante σῶσαι deest in Cod. Mscr. vox ψυχὴν, quae tamen videtur necessaria.«

[12]) Wetsten. αὐτοῦ.

δήσας τὸν κόσμον ὅλον, ἑαυτὸν δὲ ἀπολέσας, ἢ ζημιωθείς;« *Μάρκου δέ·* »*Καὶ*[1]) *προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ, εἶπεν αὐτοῖς·* »*Εἴ τις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ,*[2]) *καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ ἂν θέλῃ τὴν ἑαυτοῦ ψυχὴν σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ ἕνεκεν τοῦ εὐαγγελίου, σώσει αὐτήν. Τί δὲ ὠφελήσει τὸν ἄνθρωπον, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ;*[3]) *Τί γὰρ δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;*« [4]) *Πάλαι τοίνυν ὀφείλομεν ἀρνεῖσθαι ἑαυτοὺς, καὶ λέγειν·* »*ζῶ*[5]) *οὐκέτι ἐγώ·*« *καὶ νῦν δὲ φανείτω, εἰ ἄραντες ἑαυτῶν τὸν σταυρὸν, τῷ Ἰησοῦ ἠκολουθήσαμεν· ὅπερ γέγονεν, εἰ ζῇ*[6]) *ἐν ἡμῖν ὁ Χριστός. Εἰ θέλομεν ἡμῶν σῶσαι τὴν ψυχὴν, ἵνα αὐτὴν ἀπολάβωμεν*[7]) *κρείττονα ψυχῆς, μαρτυρίῳ ἀπολέσωμεν αὐτήν. Ἐὰν γὰρ ἀπολέσωμεν αὐτὴν ἕνεκεν Χριστοῦ, αὐτῷ ἐπιῤῥίπτοῦντες αὐτὴν ἐν τῷ δι' αὐτὸν θανάτῳ, τὴν ἀληθῆ σωτηρίαν*

---

[1]) Cfr. Marc. VIII, 34—37.

[2]) Wetsten. *αὐτοῦ.* [3]) Wetsten. *αὐτοῦ.*

[4]) Wetsten. *αὐτοῦ.* [5]) Cfr. Gal. II, 20.

[6]) Cfr. Galat. II, 20.

[7]) Id innuit Origenes, quod lib. II. *περὶ ἀρχῶν* cap. VIII. num. 3. sub finem scripsit: »Videndum ergo est, ne forte, sicut diximus ex ipso nomine declarari, ab eo quod refrixerit a fervore justorum, et divini ignis participatione *ψυχή*, id est anima, appellata sit, nec tamen amisit facultatem restituendi se in illum statum fervoris, in quo ex initio fuit. Unde et propheta tale aliquid videtur ostendere, cum dicit: *Revertere anima mea in requiem tuam.* (Psalm. CIV, 7.) Ex quibus omnibus illud videtur ostendi, quod mens de statu suo ac dignitate declinans, effecta vel nuncupata est anima; quae si reparata fuerit et correcta, redit in hoc ut sit mens.« (Cfr. ed. Redepenning. pag. 211. seq.) Graeca verba ibidem exhibentur, ex quibus satis liquet, quo pacto anima fiat Origeni anima melior; per martyrium nempe redit in hoc ut sit mens. Vide lib. II. Origenianor. quaest. VI. num. 5. R.

περιποιήσομεν αὐτῇ. Ἐὰν δὲ τὸ ἐναντίον, ἀκούσομεν, ὅτι οὐδὲν ὠφελεῖται [1]) ὁ τὸν ὅλον κερδήσας αἰσθητὸν κόσμον διὰ τῆς ἰδίας ἀπωλείας· ἅπαξ δὲ ἀπολέσας τις τὴν ἑαυτοῦ ψυχὴν, ἢ ζημιωθεὶς αὐτὴν, [2]) κἂν τὸν ὅλον κερδήσῃ κόσμον, οὐ δυνήσεται αὐτὸν [3]) δοῦναι ἀντάλλαγμα τῆς ἀπολλυμένης ψυχῆς. Ἡ γὰρ κατ' εἰκόνα θεοῦ δεδημιουργημένη, τιμιωτέρα ἐστὶ πάντων. Εἷς μόνος δεδύνηται δοῦναι ἀντάλλαγμα τῆς ἀπολλυμένης πρότερον ψυχῆς ἡμῶν, ὁ ὠνησάμενος ἡμᾶς τῷ ἑαυτοῦ »τιμίῳ [4]) αἵματι.«

13. Ἐὰν οὖν φιλομαθοῦντες ἐν Χριστῷ, καὶ ἤδη ποτὲ τὸ »δι' [5]) ἐσόπτρου« καὶ »ἐν αἰνίγματι« μανθάνειν ὑπερβαίνειν θέλοντες, σπεύδητε πρὸς τὸν καλέσαντα, ὅσον οὐδέπω »πρόσωπον [6]) πρὸς πρόσωπον« εἴσεσθε, ὡς φίλοι τοῦ ἐν οὐρανοῖς πατρός· οἱ γὰρ φίλοι, ἐν εἴδει, καὶ οὐ δι' αἰνιγμάτων μανθάνουσιν, ἢ γυμνῇ σοφίᾳ φωνῶν, καὶ λέξεων, καὶ συμβόλων, καὶ τύπων, προσβάλλοντες τῇ τῶν νοητῶν φύσει, καὶ τῷ τῆς ἀληθείας κάλλει. Εἴπερ πιστεύεται, ὅτι Παῦλος ἡρπάγη [7]) »εἰς τρίτον οὐρανὸν,« καὶ »ἤκουσεν [8]) ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι,« ἀκολούθως εἴσεσθε, [9]) ὅτι τῶν τότε Παύλῳ ἀποκαλυφθέντων ῥημάτων ἀῤῥήτων, μεθ' ἃ καταβέβηκεν ἀπὸ τοῦ τρίτου οὐρανοῦ, πλείονα καὶ μείζονα εὐθέως γνώσεσθε, μετὰ τὴν γνῶσιν οὐ καταβησόμενοι, ἐὰν αἴροντες τὸν σταυρὸν ὀπίσω τοῦ Ἰησοῦ ἀκολουθῆτε, ὃν ἔχομεν [10]) »ἀρχιερέα

---

[1]) Cfr. Matth. XVI, 26.
[2]) Ed. Ruaei perperam. αὐτήν.
[3]) Wetsten. male αὐτήν.
[4]) Cfr. I Petr. I, 19. [5]) Cfr. I Cor. XIII, 12.
[6]) Cfr. I Cor. XIII, 12. [7]) Cfr. II Cor. XII, 2.
[8]) Cfr. II Cor. XII, 4.
[9]) Cod. Mscr. εἴσεσθαι. R. — Wetsten. in textu: εἴσεσθαι, ad marg. vero: »lege: εἴσεσθε.«
[10]) Cfr. Hebr. IV, 14.

μέγαν διεληλυθότα τοὺς οὐρανούς.« Καὶ αὐτοὶ οὐκ ἀφιστάμενοι τῶν ὀπίσω αὐτοῦ, διελεύσεσθε τοὺς οὐρανούς, οὐ μόνον καὶ τὰ περὶ γῆν μυστήρια ὑπερβαίνοντες, ἀλλὰ καὶ οὐρανούς, καὶ τὰ περὶ αὐτῶν. Ἔστι γὰρ ἐν τῷ θεῷ ἐναποτεθησαυρισμένα πολλῷ μείζονα τούτων θεάματα, ἅτινα οὐδεμία φύσις τῶν ἐν σώματι μὴ πρότερον ἀπαλλαγεῖσα σώματος χωρῆσαι δύναται. Πέπεισμαι γὰρ, ὅτι ὧν εἶδεν ἥλιος καὶ σελήνη, καὶ ὁ τῶν ἀστέρων χορὸς, ἀλλὰ καὶ ἀγγέλων ἁγίων, οὓς ἐποίησεν ὁ θεὸς »πνεῦμα[1]) καὶ πυρὸς φλόγα,« πολλῷ μείζονα ταμιεύεται καὶ τηρεῖ παρ' ἑαυτῷ ὁ θεὸς, ἵνα αὐτὰ φανερώσῃ, ὅταν »πᾶσα[2]) ἡ κτίσις ἐλευθερωθῇ ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ.«

14. Σοὶ δὲ, ἱερὲ Ἀμβρόσιε, ἐνιδόντι ἐξητασμένως εὐαγγελικῇ φωνῇ, πάρεστιν ἰδεῖν, ὡς ἄρα τάχα ἢ οὐδεὶς τῶν πώποτε, ἢ πάνυ ὀλίγοι χύσεως μακαρισμοῦ ἐπιτεύξονται ἐξαιρέτου τινὸς καὶ πλείονος· ἐν ὁποίῳ ἔσῃ καὶ σὺ, εἰ τὸν ἀγῶνα ἀδιστάκτως διανήξαιο.[3]) Τὰ δὲ ῥήματα οὕτως ἔχει· ὁ Πέτρος εἶπέ ποτε τῷ σωτῆρι· »Ἰδοὺ,[4]) ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς,« δηλονότι τοῖς ἀποστόλοις· »Ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ θεὸς ἐπὶ θρόνου δόξης αὐτοῦ,[5]) καθήσεσθε καὶ αὐτοὶ ἐπὶ θρόνους δώδεκα, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ· καὶ πᾶς ὅστις ἀφῆκεν ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ γονεῖς, ἢ τέκνα, ἢ ἀγροὺς, ἢ οἰκίας, ἕνεκεν τοῦ ὀνόματός μου, πολλαπλασίονα λήψεται, καὶ ζωὴν

---

[1]) Cfr. Psalm. CIV, 4. [2]) Cfr. Rom. VIII, 21.

[3]) Sic Cod. Mscr. (itemq. Wetsten. in textu) Wetsten. (ad marg.) legi vult: διανύσαιο. R.

[4]) Cfr. Matth. XIX, 27—29. coll. Marc. X, 28—30.

[5]) Wetsten. αὐτοῦ.

αἰώνιον κληρονομήσει.« Τούτων[1]) δὲ ἕνεκεν τῶν ῥητῶν, ηὐξάμην ἂν τοσαῦτα κτησάμενος ἐπὶ γῆς, ὁπόσα ἔχεις, ἢ καὶ τούτων πλείονα, γενέσθαι μάρτυς ἐν Χριστῷ τῷ θεῷ, ἵνα πολλαπλασίονα λάβω, ἢ, ὡς ὁ Μάρκος ἡησίν· »ἑκατονταπλασίονα.« [2]) Πολλῷ πλείονά ἐστιν, ὀλίγων ὁποῖα καταλείψομεν, ἐὰν ἐπὶ μαρτύριον κληθῶμεν, ἑκατονταπλασιαζομένων. Τούτου δὲ ἕνεκεν, εἰ μαρτυρῶ, ἐβουλόμην καὶ τέκνα καταλιπεῖν μετὰ ἀγρῶν καὶ οἰκιῶν, ἵνα παρὰ τῷ θεῷ καὶ παρὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ[3]) »οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται,« πολλαπλασιόνων καὶ ἁγιωτέρων τέκνων χρηματίσω παιὴρ, ἢ, ἵν' ὡρισμένως εἴπω, ἑκατονταπλασιόνων.[4])

15. Ἐὰν δέ τις ὥσπερεὶ ζηλῶν χαρίσματα τὰ μείζονα, καὶ μακαρίζων πλουσίους μάρτυρας, καὶ πατέρας μάρτυρας ἑκατονταπλασίονα γεννήσονιας[5]) τέκνα, καὶ ἑκατονταπλασίονας ἀγροὺς καὶ οἰκίας ληψομένους, ζητεῖ, εἰ[6]) εὐλόγως ἐκεῖνοι παρὰ τοὺς ἐν βίῳ πένητας

---

[1]) Cod. Mscr. mendose: *Τοῦ τούτου.* R. — Wetsten. in textu: *Τοῦ τούτου*, ad marg. vero: »lege: *Τούτων.*«

[2]) Cfr. Marc. X, 30. coll. Matth. XIX, 29.

[3]) Ephes. III, 15.

[4]) Cod. Mscr. corrupte: *ἑκατονταπλαόνων.* R. — Wetsten. in textu: *ἑκατονται πλαόνων*, ad marg. vero: »lege: *ἑκατονταπλασιόνων.*«

[5]) Cod. Mscr. male: *γεννήσονται.* R. — Wetsten. in textu: *γεννήσονται*, ad marg. vero: »lege: *γεννήσοντας.*«

[6]) Quaestionem hanc: »An martyres divites prae pauperibus majorem in spiritualibus gloriam sint consecuturi,« affirmando expedit. Quid vero, si pauper divitias et honores, ab idololatris oblatos, veritatis amore repudiaret? Quid, inquam, responderet Adamantius? Obiter notemus Origenis et alibi usitatam *τῶν αἰσθητῶν καὶ τῶν νοητῶν* distinctionem, quam hic quoque inculcat, et divitiis seu possessionibus applicat: nempe, quod alia bona sunt *αἰσθητά*, quae sensibus, alia *νοητά*, quae sola

μάρτυρας πολυπλασιαζομένην ἔξουσι τὴν ἐν νοητοῖς κτῆσιν· λεκτέον πρὸς αὐτὸν, ὅτι ὥσπερ οἱ βασάνους καὶ πόνους ὑπομείναντες, τῶν μὴ ἐν τούτοις ἐξητασμένων λαμπροτέραν ἐπεδείξαντο τὴν ἐν τῷ μαρτυρίῳ ἀρετήν· οὕτως οἱ πρὸς τῷ[1]) φιλοσωματεῖν καὶ φιλοζωεῖν καὶ τοὺς τοσούτους δεσμοὺς διακόψαντες καὶ διαρρήξαντες, μεγάλῃ τῇ πρὸς τὸν θεὸν ἀγάπῃ χρησάμενοι, καὶ ἀληθῶς ἀνειληφότες τὸν ζῶντα[2]) τοῦ θεοῦ λόγον, καὶ ἐνεργῆ, καὶ τομώτερον ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, δεδύνηνται τοὺς τοσούτους διακόψαντες δεσμοὺς, καὶ κατασκευάσαντες ἑαυτοῖς πτέρυγας, ὥσπερ ἀετὸς[3]) ἐπιστρέψαι εἰς τὸν οἶκον τοῦ προεστηκότος ἑαυτῶν. Ἄξιον οὖν ὥσπερ τοῖς μὴ ἐξετασθεῖσιν ἐν βασάνοις καὶ πόνοις παραχωρεῖν πρωτείων πρὸς τοὺς ἐν ἀρθρεμβόλοις, καὶ ποικίλοις[4]) στρεβλωτηρίοις, καὶ πυρὶ ἐπιδειξαμένους τὴν ὑπομονὴν, οὕτω καὶ ἡμῖν τοῖς πένησι, κἂν μαρτυρήσωμεν, ὁ λόγος ὑποβάλλει ἐξίστασθαι πρωτείων ὑμῖν, τοῖς, διὰ τὴν ἐν Χριστῷ πρὸς θεὸν ἀγάπην, πατοῦσι τὴν ἀπατηλὴν δόξαν καὶ τῶν πολλῶν καθικνουμένην, καὶ τὴν τοσαύτην κτῆσιν, καὶ τὴν πρὸς τέκνα φιλοστοργίαν.

16. Ἅμα δὲ καὶ τήρει τὸ σεμνὸν τῆς γραφῆς πολυπλασιασμὸν καὶ ἑκατονταπλασιασμὸν ὑπισχνουμένης ἀδελφῶν, καὶ τέκνων, καὶ γονέων, καὶ ἀγρῶν, καὶ οἰκιῶν· οὐ[5]) συγκατηρίθμεται δὲ τούτοις γυνή. Οὐ

---

mente percipiuntur: illa ferme sunt »corporalia« et »terrena;« ista »spiritualia« et »coelestia.« Cfr. II Cor. IV, 18. Wetst.

[1]) Wetsten. τό. [2]) Cfr. Hebr. IV, 12.

[3]) Wetsten. et Ruaeus in textu: αὐτός. lidem vero, ille ad marg. »Forte: αὐτούς,« hic in notis: »Lego: ἀετός.«

[4]) Cod. Mscr. corrupte: ποικίλοιο. R. — Wetsten. in textu: ποι *κίλοιο, ad marg. vero: »lege: ποικίλοις.«

[5]) Scripturam, ait, majestatem suam in hoc observare, quod restitutio parentum omniumque bonorum in resurrectione promittatur, uxore tantum excepta: quia pii

γὰρ εἴρηται· Πᾶς ὅστις ἀφῆκεν ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ γονεῖς, ἢ τέκνα, ἢ ἀγροὺς, ἢ οἰκίας, ἢ γυναῖκα ἕνεκεν τοῦ ὀνόματός μου, πολλαπλασίονα λήψεται· »ἐν[1]) γὰρ τῇ ἀναστάσει τῶν νεκρῶν, οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται· ἀλλ' εἰσὶν ὡς οἱ ἄγγελοι, οἱ ἐν τοῖς οὐρανοῖς.«

17. Ὅπερ τοίνυν εἶπεν Ἰησοῦς τῷ λαῷ, καθιστὰς αὐτοὺς ἐπὶ τὴν ἁγίαν γῆν, ταῦτα καὶ ἡμῖν ἂν λέγῃ[2]) νῦν ἡ γραφή. Ἔχει δὲ οὕτως ἡ λέξις· »νῦν[3]) φοβήθητε κύριον, καὶ λατρεύσατε αὐτῷ ἐν εὐθύτητι καὶ ἐν δικαιοσύνῃ.« Ἐρεῖ δὲ ἡμῖν ἀναπειθομένοις εἰδωλολατρεῖν, καὶ τὰ ἑξῆς οὕτως ἔχοντα· »περιέλεσθε[4]) τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἷς ἐλάτρευσαν οἱ πατέρες ὑμῶν ἐν τῷ πέραν τοῦ ποταμοῦ, καὶ ἐν Αἰγύπτῳ· καὶ λατρεύετε κυρίῳ.« Κατ' ἀρχὰς μὲν οὖν ὅτε κατηχεῖσθαι ἐμέλλετε, εὐλόγως ἂν ὑμῖν εἴρητο· »Εἰ[5]) δὲ μὴ ἀρέσκει ὑμῖν λατρεύειν κυρίῳ, ἐκλέξασθε ὑμῖν, τίνι λατρεύσητε,[6]) εἴτε τοῖς θεοῖς τῶν πατέρων ὑμῶν τῶν ἐν τῷ πέραν τοῦ ποταμοῦ, εἴτε τοῖς θεοῖς τῶν Ἀμορραίων,[7]) ἐν οἷς ὑμεῖς κατοικεῖτε ἐπὶ τῆς γῆς·« καὶ ἔλεγεν ἂν ὑμῖν ὁ κατηχῶν· »Ἐγὼ[8]) δὲ καὶ ἡ οἰκία

---

similes futuri sunt angelis. Tertullianus lib. I. ad uxorem cap. I. »Christianis saeculo digressis, nulla restitutio nuptiarum in die resurrectionis repromittitur: translatis scilicet in angelicam qualitatem et sanctitatem.« Nihil verius; at mirum cur subdat Origenes: *Οὐ γὰρ εἴρηται· πᾶς ὅστις —, πολλαπλασίονα λήψεται.* Haec enim omnia scripta reperies in omnibus Codd. Graecis Matth. XIX, 29. (Marc. X, 29. 30.), si modo excipias Cod. Cantabrig., ubi teste Millio deest: *ἢ γυναῖκα.* Ruaeus coll. Wetsten.

[1]) Cfr. Matth. XXII, 30. coll. Marc. XII, 25.
[2]) Wetsten. ad marg. »Forte: *λέγει.*«
[3]) Cfr. Jos. XXIV, 14.
[4]) Cfr. Jos. XXIV, 14.
[5]) Cfr. Jos. XXIV, 15.
[6]) Wetsten. *λατρεύσετε.*
[7]) Wetsten. et Ruaeus: »*Ἀμορραίων.*«
[8]) Jos. XXIV, 15.

μου λατρεύσομεν κυρίῳ, ὅτι ἅγιός ἐστι.« Νῦν δὲ ταῦτα οὐκ ἔχει χώραν ὑμῖν λέγεσθαι. Τότε γὰρ εἴπετε· »Μὴ [1]) γένοιτο ἡμῖν καταλιπεῖν κύριον, ὥστε λατρεύειν θεοῖς ἑτέροις. Κύριος ὁ θεὸς ἡμῶν, αὐτὸς θεός ἐστιν.« Ἀλλὰ καὶ ἐν [2]) ταῖς περὶ θεοσεβείας συνθήκαις, πάλαι

[1]) Jos. XXIV, 16 17.

[2]) Alludit ad renunciationem et ὁμολογίαν, seu confessionem, (quasi confoederationem) in baptismo a Catechumenis fieri solitam. Pseudo-Clemens Constitut. Apostol. lib. VII. cap. 41. et 42. Καὶ ὅταν ᾖ πρὸς αὐτὸ λοιπὸν τὸ βαπτισθῆναι ὁ κατηχηθείς, μανθανέτω τὰ περὶ τῆς ἀποταγῆς τοῦ διαβόλου, καὶ τὰ περὶ τῆς συνταγῆς τοῦ Χριστοῦ. Paulo post: Ἀπαγγελλέτω οὖν ὁ βαπτιζόμενος ἐν τῷ ἀποτάσσεσθαι· Ἀποτάσσομαι τῷ σατανᾷ, καὶ τοῖς ἔργοις αὐτοῦ, καὶ ταῖς πομπαῖς αὐτοῦ, καὶ ταῖς λατρείαις αὐτοῦ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ, καὶ ταῖς ἐφευρέσεσιν αὐτοῦ, καὶ πᾶσι τοῖς ὑπ' αὐτόν. Μετὰ δὲ τὴν ἀποταγὴν συντασσόμενος λεγέτω, ὅτι καὶ συντάσσομαι τῷ Χριστῷ, καὶ πιστεύω, καὶ βαπτίζομαι εἰς ἕνα ἀγέννητον μόνον ἀληθινὸν θεὸν, καὶ τὰ ἑξῆς. Similia refert Pseudo-Dionysius Areop. Hierarch. eccles. cap. 2. pag. 77. 78., et in eum Pachymer. Paraphr. pag. 55. Tertullianus de Coron. cap. 3. »Aquam adituri ibidem, sed et aliquanto prius in ecclesia sub antistitis manu contestamur, nos renuntiare diabolo, et pompae, et angelis ejus. Dehinc ter mergitamur, amplius aliquid respondentes, quam Dominus in Evangelio determinavit. Inde suscepti, lactis et mellis concordiam praegustamus.« Ambrosius lib. de iis, qui mysteriis initiantur, cap. 2. »Posthaec reserata tibi sunt sancta sanctorum: ingressus es regenerationis sacrarium, repete quid interrogatus sis; recognosce quid responderis. Renuntiasti diabolo et operibus ejus, mundo et luxuriae ejus ac voluptatibus. Tenetur vox tua non in tumulo mortuorum, sed in libro viventium.« Auctor lib. I. de Sacram. cap. 2. Quando te interrogavit: Abrenuntias diabolo et operibus ejus? Quid respondisti? Abrenuntio. Abrenuntias saeculo et voluptа-

τοῖς κατηχοῦσιν ὑμᾶς ἀπεκρίθητε τό· »καὶ [1]) ἡμεῖς λατρεύσομεν κυρίῳ· οὗτος γὰρ ὁ θεὸς ἡμῶν ἐστιν.« Εἰ τοίνυν ὁ παραβὰς τὰς πρὸς ἀνθρώπους συνθήκας, ἄσπονδός τίς ἐστι καὶ σωτηρίας ἀλλότριος, τί λεκτέον περὶ τῶν διὰ τοῦ ἀρνεῖσθαι ἀθετούντων ἃς ἔθεντο πρὸς θεὸν συνθήκας, καὶ [2]) παλινδρομούντων ἐπὶ τὸν σατανᾶν, ᾧ βαπτιζόμενοι ἀπετάξαντο; Λεκτέον γὰρ πρὸς τοὺς τοιούτους, τοὺς λελαλημένους ὑπὸ τοῦ Ἠλεὶ [3]) λόγους τοῖς υἱοῖς αὐτοῦ· »Ἐὰν ἁμαρτάνων ἁμαρτάνῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξονται περὶ αὐτοῦ· ἐὰν εἰς κύριον ἁμάρτῃ, τίς προσεύξεται [4]) περὶ αὐτοῦ;«

---

tibus ejus? Quid respondisti? Abrenuntio. Memor esto sermonis tui, et nunquam tibi excidat tuae series cautionis.« Cyrill. Alexandrin. lib. VII. contra Julianum eandem formulam sic describit: *Προαποθέμενοι τῆς ἑαυτῶν διανοίας τῆς ἑλληνικῆς ἀβελτηρίας τὸν σκότον, καὶ ταῖς τῶν δαιμονίων ἀγέλαις τὸ ῥῤῶσθαι φράσαντες, καὶ πᾶσαν αὐτῶν πομπήν, καὶ λατρείαν ἐμφρονέστατα διαπτύσαντες· εἶτα τῷ τῆς ἀληθείας φωτὶ τὸν νοητὸν τῆς καρδίας ἀνευρύνοντες ὀφθαλμὸν, καὶ τὸν φύσει καὶ ἀληθῶς γενεσιούργον καὶ παμβασιλέα καὶ θεὸν τῶν ὅλων ἐπεγνωκότες, ὁμολογοῦμεν τὴν πίστιν τὴν εἰς τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα.* Vide Cyrillum Hierosolymitan. Catechesi Mystagog. I. et II., ubi formula renuntiationis prolixe explicatur, addita circumstantia, Catechumenum versus Occidentem eum recitasse; postea conversum ab Occasu ad ortum fidei confessionem edidisse; Basil. Magn. de Spir. Sancto cap. XXVII. Chrysostomum Homil. XXI. ad populum Antiochenum; Theodoretum in cap. I. Cantici ad vers. 2., Gregor. Nazianzen. Orat. XXXII., Ammonium in Catena in Job. ad cap. XXI., Rabanum Maurum de instit. cler. lib. I. cap. XXVII. Wetsten.

[1]) Cfr. Jos. XXIV, 18.

[2]) Wetsten. *καὶ πάλιν δρομούντων.*

[3]) Cfr. I Sam. II, 25. (I Regg.)

[4]) In Cod. Mscr. mendose scriptum est: *προσεύξετε.*

18. *Μέγα θέατρον συγκροτεῖται*[1]) *ἐφ' ἡμῖν ἀγωνιζομένοις, καὶ ἐπὶ τὸ μαρτύριον καλουμένοις· ὡς εἰ τὸ τοιοῦτον ἐλέγομεν γίνεσθαι ἐπί τινων νομιζομένων παραδόξων ἀγωνιστῶν συναγωνιζομένων*[2]) *παραδόξων ἀγωνιστῶν ἐπὶ τὴν θέαν τοῦ ἀγῶνος μυρίων ὅσων. Καὶ οὐκ ἔλατόν γε τοῦ Παύλου ἐρεῖτε, ὅταν ἀγωνίζησθε·* »*θέατρον*[3]) *ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις, καὶ ἀνθρώποις.*« *Ὅλος οὖν ὁ κόσμος καὶ πάντες οἱ ἄγγελοι δεξιοὶ καὶ ἀρισιεροὶ, καὶ πάντες ἄνθρωποι οἵ τε ἀπὸ τῆς τοῦ θεοῦ μερίδος, καὶ οἱ ἀπὸ τῶν λοιπῶν, ἀκούσονται ἡμῶν*[4]) *ἀγωνιζομένων τὸν περὶ Χριστιανισμοῦ ἀγῶνα· καὶ ἤτοι οἱ ἐν οὐρανοῖς ἄγγελοι ἐφ'*[5]) *ἡμῖν εὐφρανθήσονται, καὶ* »*ποταμοὶ*[6]) *κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτὸ,*« *καὶ* »*τὰ*[7]) *ὄρη ἀγαλλιάσονται, καὶ πάντα τὰ ξύλα τοῦ πεδίου ἐπικροτήσει τοῖς κλάδοις·*« *ἢ, ὃ μὴ εἴη, αἱ κάτω δυνάμεις αἱ ἐπιχαιρεσίκακοι εὐφρανθήσονται. Οὐδὲν δὲ ἄτοπον ἰδεῖν ἐκ τῶν τῷ Ἡσαΐᾳ γεγραμμένων τὰ λεχθησόμενα ὑπὸ τῶν ἐν ᾅδου τοῖς νενικημένοις, καὶ ἀπὸ τοῦ οὐρανίου μαρτυρίου καταπεπτωκύσιν, ἵν' ἔτι φρίξωμεν τὴν ἐν τῷ ἀρνεῖσθαι ἀσέβειαν. Λεχθήσεσθαι γὰρ οἶμαι πρὸς τὸν ἀρνησάμενον, τοιαῦτα·* »*ὁ*[8]) *ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι· συνηγέρθησάν σοι πάντες οἱ γίγαντες οἱ ἄρξαντες τῆς γῆς, οἱ ἐγείραντες ἐκ τῶν θρόνων αὐτῶν πάντας*

R. — Wetst. in textu: *προσεύξετε*, ad marg. vero: »lege: *προσεύξεται*.«

[1]) Forte legendum: *συγκροτεῖται ἐφ' ὑμῖν*. R.

[2]) R. non male in notis: »Lego: *συναγομένων*, deletis vocibus: *παραδόξων ἀγωνιστῶν*, quae certe sensum turbant.«

[3]) 1 Cor. IV, 9. [4]) Lego: *ὑμῶν*. R.

[5]) Lego: *ἐφ' ὑμῖν*. R.

[6]) Psalm. XCVIII, 8. (XCVII.)

[7]) Cfr. Jesai. LV, 12. coll. Psalm. XCVIII, 8. (XCVII.)

[8]) Cfr. Jesai. XIV, 9. 10.

βασιλεῖς ἐθνῶν. Πάντες ἀποκριθήσονται, καὶ ἐροῦσί σοι.« Τίνα δὲ ἐροῦσιν αἱ νενικημέναι δυνάμεις τοῖς νενικημένοις, καὶ οἱ ὑπὸ τοῦ διαβόλου ἑαλωκότες, τοῖς ἐν ἀρνήσει ἑαλωκόσι; »Καὶ[1]) σὺ ἑάλως, ὥσπερ καὶ ἡμεῖς.« Ἐὰν δὲ καὶ μεγάλης τις ἐλπίδος τυγχάνων καὶ ἐνδόξου τῆς ἐν θεῷ, ὑπὸ δειλίας ἢ πόνων προσαγομένων ἠτιήθεὶς,[2]) ἐν[3]) θεῷ ἀκούσεται· »Κατέβη[4]) εἰς ᾅδου ἡ δόξα σου· ὑποκάτω σου στρώσουσι σῆψιν, καὶ τὸ κατακάλυμμά σου σκώληξ.« Εἰ δὲ καὶ ἔλαμψέ τις ἐν ταῖς ἐκκλησίαις πολλάκις, ὡς ὁ ἑωσφόρος ἐπιφαινόμενος αὐταῖς, λαμψάντων[5]) αὐτοῦ τῶν καλῶν ἔργων ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ μετὰ ταῦτα τὸν μέγαν ἀγῶνα ἀγωνιζόμενος, τὸν στέφανον ἀπολώλεκε τοῦ τοιούτου θρόνου, ἀκούσεται· »Πῶς[6]) ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος, ὁ πρωῒ ἀνατέλλων; Συνετρίβη ἐπὶ τὴν γῆν.« Καὶ τοῦτο δὲ πρὸς αὐτὸν λεχθήσεται τῷ διαβόλῳ διὰ τῆς ἀρνήσεως ὡμοιωμένον· »Ῥιφήσονται[7]) ἐν τοῖς ὄρεσιν, ὡς νεκρὸς ἐβδελυγμένος, μετὰ πολλῶν τεθνηκότων· ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρὸν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός.« Πῶς γὰρ ἔσται καθαρὸς, αἵματι καὶ φόνῳ, τῷ βδελυκτῷ τῆς ἀρνήσεως πταίσματι μεμιασμένος, καὶ ἐμπεφυρμένος τηλικούτῳ κακῷ; Πρόσχωμεν, μήποτε κἂν δισταγμὸς περὶ τοῦ πότερόν ποτε ἀρνητέον, ἢ ὁμολογητέον, γένηται ἐν ἡμῖν· ἵνα μὴ καὶ πρὸς ἡμᾶς ὁ τοῦ Ἡλίου

---

[1]) Jesai. XIV, 10.

[2]) Lego: ἠτιηθῇ, ἀπὸ θεοῦ κτλ. R. — Cfr. pag. huj. not. 3.

[3]) Wetst. in Addendis: »Legendum: ἐκ θεοῦ. Nisi forte scriptoris oscitantia, e proxime antecedenti commate, illud ἐν θεῷ sit repositum. Nam, hoc etiam deleto, nihilominus constat sententia.« — Cfr pag. huj. not. 2.

[4]) Cfr. Jesai. XIV, 11. [5]) Cfr. Matth. V, 16.

[6]) Jesai XIV, 12.

[7]) Cfr. Jesai. XIV, 19. 20.

λεχθῇ λόγος, οὕτως ἔχων· »Ἕως [1]) πότε ὑμεῖς χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις; Εἰ ἔστι κύριος ὁ θεὸς, πορεύεσθε ὀπίσω αὐτοῦ.«

19. Εἰκὸς δὲ ἡμᾶς, [2]) καὶ μυκτηρισθήσεσθαι ὑπό τινων καὶ ὀνειδισθήσεσθαι ὑπὸ γειτόνων κυκλούντων ἡμᾶς, [3]) καὶ τὴν κεφαλὴν [4]) ὡς ἐπὶ ἀνοήτοις κινούντων ἡμῖν· [5]) ἀλλὰ τούτων συμβαινόντων, ἡμεῖς λέγωμεν πρὸς θεόν· »Ἔθου [6]) ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν. Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατ' ἐναντίον μού ἐστι, καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με· ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος, ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος.« Ἀλλὰ πρὸς ταῦτα, δεῖ τὴν μετὰ παῤῥησίας τοῦ προφήτου ἐπιφερομένην φωνὴν εἰπεῖν τῷ θεῷ· »Ταῦτα [7]) πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου, καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν.«

20. Μνημονεύωμεν, ὅτι ἐν τῷ βίῳ τούτῳ τυγχάνοντες, καὶ νοοῦντες τὰς ἔξω τοῦ βίου ὁδοὺς, τῷ θεῷ φαμεν, ὅτι »ἐξέκλινας [8]) τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.« Ἀναμιμνήσκεσθαι δεῖ, ὅτι τόπος κακώσεώς

---

[1]) I Regg. XVIII, 21. (III Regg.).

[2]) Wetsten. et Ruaeus in textu: ὑμᾶς. Iidem tamen, ille ad marg. »Forte: ἡμᾶς,« hic in notis: »Legendum: ἡμᾶς.«

[3]) Wetsten. et Ruaeus in textu: ὑμᾶς. Iidem tamen, ille ad marg. »Forte: ἡμᾶς,« hic in notis: »Legendum: ἡμᾶς.«

[4]) Cfr. Psalm. XXII, 7. (XXI.)

[5]) Wetst. ad marg. »Forte: ὑμῖν.«

[6]) Cfr. Psalm. XLIV, 13—16. (XLIII.)

[7]) Cfr. Psalm. XLIV, 17. 18. (XLIII.)

[8]) Psalm. XLIV, 18. (XLIII.)

ἐστι τῆς ψυχῆς τὸ χωρίον τοῦτο, ἐν ᾧ τεταπεινώμεθα· ἵν' εὐχόμενοι λέγωμεν· »ὅτι[1]) ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως, καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.« Θαῤῥοῦντες δὲ λέγωμεν καὶ τό· »Εἰ[2]) ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον· οὐχὶ ὁ θεὸς ἐκζητήσει ταῦτα;«

21. Μὴ τὸ ἐν φανερῷ[3]) δὲ μόνον μαρτύριον, ἀλλὰ καὶ τὸ ἐν κρυπτῷ τελείως ἀναλαβεῖν ἀγωνισώμεθα,[4]) ἵνα καὶ αὐτοὶ ἀποστολικῶς φθεγξώμεθα· »Τοῦτο[5]) γάρ ἐστι τὸ καύχημα ἡμῶν, τὸ μαρτύριον τῆς συνειδήσεως, ὅτι ἐν ἁγιότητι καὶ εἰλικρινείᾳ θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ.« Συνάπτωμεν δὲ τῷ ἀποστολικῷ τὸ προφητικὸν τό· »Αὐτὸς[6]) δὲ γινώσκει τὰ κρύφια τῆς καρδίας·« καὶ μάλιστα, ἐὰν τὴν ἐπὶ θανάτῳ ἀπαγώμεθα, ὅτε[7]) φήσομεν τὸ ὑπὸ μόνων μαρτύρων λεγόμενον τῷ θεῷ· »Ὅτι[8]) ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.« Ἐὰν δέ ποτε ἀπὸ τοῦ φρονήματος τῆς σαρκὸς ὑποβάλληται ἡμῖν φόβος τῶν ἀπειλούντων ἡμῖν θάνατον δικαστῶν, τότε εἴπωμεν αὐτοῖς τὸ ἀπὸ τῶν Παροιμιῶν· »υἱὲ,[9]) τίμα τὸν κύριον, καὶ ἰσχύσεις· πλὴν δὲ αὐτοῦ, μὴ φοβοῦ ἄλλον.«

22. Καὶ τοῦτο δὲ πρὸς τὰ προκείμενά ἐστι χρή-

---

[1]) Psalm. XLIV, 19. (XLIII.)

[2]) Psalm. XLIV, 20. 21. (XLIII.)

[3]) Cod. Mscr. (itemq. Wetsten.) mendose: *φανερῷ δαιμόνων μαρτύριον.* R.

[4]) Wetsten. in textu: *ἀγωισώμεθα*, ad marg. vero: »lege: *ἀγωνισώμεθα.*«

[5]) Cfr. II Cor. I, 12.

[6]) Psalm. XLIV, 21. (XLIII.)

[7]) Wetsten. ad marg. »Forte: *τότε.*«

[8]) Psalm. XLIV, 22. (XLIII.)

[9]) Prov. VII, 2.

σιμον. Φησὶν ἐν τῷ Ἐκκλησιαστῇ Σολομῶν· »Ἐπήνεσα [1]) ἐγὼ πάντας τοὺς τεθνηκότας ὑπὲρ τοὺς ζῶντας, ὅσοι αὐτοὶ ζῶσιν ἕως τοῦ νῦν.« Τίς δ' ἂν οὕτως εὐλόγως ἐπαινοῖτο τεθνηκώς, ὡς ὁ αὐτοπροαιρέτως τὸν θάνατον ὑπὲρ εὐσεβείας ἀναδεξάμενος; Ὁποῖος ἦν Ἐλεάζαρος, τὸν [2]) »μετ' εὐκλείας θάνατον μᾶλλον, ἢ τὸν μετὰ μύσους βίον ἀναδεξάμενος, καὶ αὐτοπροαιρέτως ἐπὶ τὸ τύμπανον προάγων·« ὅστις »λογισμὸν [3]) ἀστεῖον ἀναλαβὼν, ἄξιον τῆς ἐνενηκονταετοῦς [4]) αὐτοῦ ἡλικίας, καὶ τῆς τοῦ γήρως ὑπεροχῆς, καὶ τῆς ἐπιφανοῦς πολιᾶς, καὶ τῆς ἐκ παιδὸς καλλίστης ἀνατροφῆς, μᾶλλον δὲ τῆς ἁγίας καὶ θεοκτίστου νομοθεσίας, εἶπεν· ὅτι οὐκ ἔστι τῆς ἡμετέρας ἡλικίας ἄξιον ὑποκριθῆναι, ἵνα πολλοὶ τῶν νέων ὑπολαμβάνοντες Ἐλεάζαρον τὸν ἐνενηκονταετῆ [5]) μεταβεβηκέναι [6]) εἰς ἀλλοφυλισμὸν, καὶ αὐτοὶ διὰ τὴν ἐμὴν ὑπόκρισιν, καὶ διὰ τὸ μικρὸν καὶ ἀκαριαῖον ζῆν, πλανηθῶσι δι' ἐμὲ, καὶ μύσος, καὶ κηλῖδα τοῦ γήρως κατακτήσομαι· Εἰ γὰρ καὶ ἐπὶ τοῦ παρόντος ἐκφύγω τὴν ἐξ ἀνθρώπων τιμωρίαν, ἀλλὰ τὰς τοῦ παντοκράτορος χεῖρας, οὔτε ζῶν, οὔτε θανὼν φεύξομαι. Διόπερ ἀνδρείως νῦν μεταλλάξας τὸν βίον, τοῦ μὲν γήρως ἄξιος φανήσομαι, τοῖς δὲ νέοις ὑπόδειγμα γενναῖον καταλελοιπὼς, [7]) εἰς τὸ προθύμως καὶ γενναίως ὑπὲρ τῶν σεμνῶν καὶ ἁγίων νόμων εὐθανατίζειν.« Εὔχομαι δὲ ὑμᾶς, παρὰ ταῖς θύραις τοῦ θανάτου, μᾶλλον δὲ τῆς ἐλευθερίας γενομένους, μάλιστα εἰ

---

[1]) Cfr. Ecclesiast. IV, 2.

[2]) Cfr. II Macc. VI, 19.

[3]) Cfr. II Macc. VI, 23—28.

[4]) Wetsten. et Ruaeus: *ἐννενηκονταετοῦς.*

[5]) Wetsten. et Ruaeus: *ἐννενηκονταετῆ.*

[6]) Wetsten. *μεταβεβληκέναι.*

[7]) Cod. Mscr. *καταλελοιπός.* R. — Wetsten. in textu: *καταλελοιπός*, ad marg. vero: »Lege: *καταλελοιπώς.*«

πόνοι προάγοιντο, εἰπεῖν »τῷ [1]) κυρίῳ, τῷ τὴν ἁγίαν γνῶσιν ἔχοντι· φανερόν ἐστιν, ὅτι δυνάμενος ἀπολυθῆναι τοῦ θανάτου, σκληρὰς ὑποφέρω κατὰ σῶμα ἀλγηδόνας [2]) μαστιγούμενος· κατὰ ψυχὴν δὲ ἡδέως διὰ τὸν αὐτοῦ φόβον ταῦτα πάσχω.« Τοιοῦτος δὴ ὁ θάνατος Ἐλεαζάρου [3]) ἦν, ὃς [4]) »οὐ μόνον τοῖς νέοις, ἀλλὰ καὶ τοῖς πλείστοις [5]) τοῦ ἔθνους τὸν ἑαυτοῦ θάνατον, γενναιότητος ὑπόδειγμα καὶ μνημόσυνον ἀρετῆς κατέλειπε.«

23. Καὶ οἱ ἑπτὰ [6]) δὲ ἐν τοῖς Μακκαβαϊκοῖς ἀναγραφέντες ἀδελφοὶ, οὓς μάστιξι [7]) καὶ νεύροις ἠκίσατο Ἀντίοχος ἐμμένοντας τῇ θεοσεβείᾳ, δυνήσονται παράδειγμα κάλλιστον εἶναι ῥωμαλέου μαρτυρίου παντὶ λογισαμένῳ ἄν, ὅτι εἰ μέλλει παιδαρίων εἶναι ἐλάττων

---

[1]) Cfr. II Macc. VI, 30.

[2]) Wetsten. ἀλγιδῶνας.

[3]) Wetst. et Ruaeus in textu: Ἐλιεζέρου. Iidem vero, ille ad marg., hic in notis: »Lego: Ἐλεαζάρου.«

[4]) Wetst. et Ruaeus in textu: ὡς οὐ μόνον, Ruaeus vero in notis: »Lego: ὃς οὐ μόνον.« — Cfr. II Macc. VI, 31.

[5]) Cod. Mscr. habet mendose: πλάστοις. R. — Wetst. in textu: πλάστοις, ad marg. vero: »Forte: πλείστοις.«

[6]) Hanc historiam martyrii septem fratrum Maccabaeorum ubique decantarunt S. Patres: Prudentius περὶ στεφάνων hymno X., Marius Victorinus *Rhetor.*; Augustinus lib. XVIII. de civ. Dei cap. 36. tanti facit, ut propterea libros Maccabaeorum pro Canonicis ab ecclesia haberi opinetur; Chrysostomus Homiliis tribus, 94. 95. et 96. Cyrill. Alexandr. Comment. in Joel. Suidas in voc. Ἀντίοχος. Sulpicius Severus S. Hist. lib. II. et epist. II. ad Aurel. diac. Ambrosius lib. I. officiorum cap. 41. et passim. Gregor. Nazianzen. Orat. XXII. in Maccabaeorum laudem conscripta. Die etiam solemni ipsorum passio celebrata est. Vide Bedam in martyrolog. ad Cal. Aug., et Bernardum epist. 313. Christianis addatur Flav. Josephus peculiari libello de Maccabaeis. Wetst.

[7]) Cfr. II Macc. VII, 1.

οὐ καθ' ἕνα μόνον βασάνους ὑπομεινάντων, ἀλλὰ καὶ τῷ τὴν αἰκίαν τῶν ἀδελφῶν τεθεωρηκέναι, παράστημα εὔτονον εὐσεβείας ἐπιδειξαμένων· ἀφ' ὧν εἷς γενόμενος, ὡς ἡ γραφὴ ὠνόμασε, πρῶτος,[1]) εἶπε πρὸς τὸν τύραννον· »Τί[2]) μέλλεις ἐρωτᾷν καὶ μανθάνειν; Ἕτοιμοι γὰρ ἀποθνήσκειν ἐσμὲν, ἢ παραβαίνειν τοὺς πατρίους νόμους.« Τί δὲ δεῖ[3]) λέγειν ὁποῖα ὑπέμειναν τηγάνων[4]) καὶ λεβήτων ἐκπυρουμένων, ἵνα ἐν αὐτοῖς βασανισθῶσι, προπαθόντες ἕκαστος διάφορα; Ὁ γὰρ ὀνομασθεὶς αὐτῷ πρῶτος, ἐγλωσσοτομήθη[5]) πρῶτον· εἶτα[6]) περιεσκυτίσθη τὴν κεφαλὴν, καὶ οὕτως ἤνεγκε τὸν περισκυτισμὸν,[7]) ὡς ἄλλοι τὴν διὰ τὸν θεῖον νόμον περιτομήν· νομίζων καὶ ἐν τούτῳ πληροῦν λόγον διαθήκης θεοῦ. Καὶ οὐκ ἀρκεσθείς γε τούτων ὁ Ἀντίοχος, ἠκρωτηρίασεν[8]) αὐτὸν, τῶν »λοιπῶν ἀδελφῶν καὶ τῆς μητρὸς συνορώντων,« τῇ θέᾳ[9]) κολάζων τοὺς ἀδελφοὺς, καὶ τὴν μητέρα, καὶ οἰόμενος τὴν πρόθεσιν αὐτῶν, διὰ τῶν οὕτως νομιζομένων φοβερῶν, κινήσειν. Οὕτως δὴ ὁ Ἀντίοχος τούτοις μὴ ἀρκεσθεὶς, ἄχρηστον[10]) ὡς πρὸς τὴν τοῦ σώματος κατασκευὴν γενόμενον δι'

---

[1]) Cfr. II Macc. VII, 2.

[2]) Cfr. II Macc. VII, 2.

[3]) VVetst. in textu: *δει*, ad marg. vero: »Lege: *δεῖ*.«

[4]) Cfr. II Macc. VII, 3.

[5]) Cfr. II Macc. VII, 4.

[6]) Cod. Mscr. mendose habet: *εἰ περιεσυνθίσθη*. R. — VVetst. in textu: *εἰ περιεσυνθίσθη*, ad marg. vero: »Lege: *εἶτα περιεσκυτίσθη*.« Cfr. II Macc. VII, 4.

[7]) VVetst. in textu: *περισκυθισμόν*, ad marg. vero: »Lege: *περισκυτισμόν*.«

[8]) Cfr. II Macc. VII, 4.

[9]) In Cod. Mscr. corrupte legitur: *θέ*. R. — VVetst. in textu: *θέ*, ad marg. vero: »Lege: *θέᾳ*.«

[10]) Cod. Mscr. perperam: *ἄχρισιον*. R. — VVetst. in textu: *ἄχρισιον*, ad marg. vero: »Lege: *ἄχρηστον*.« Cfr. II Macc. VII, 5.

ἓν πρῶτον ἐκόλασεν, ἐκέλευσε[1]) τῇ ἐν τοῖς τηγάνοις καὶ τοῖς λέβησι »πυρᾷ προσάγειν ἔμπνουν, καὶ τηγανίζειν« αὐτόν. Ὡς δὲ ἡ ἀτμὶς[2]) ἀνεδίδοτο, ὑπὸ τῆς ὠμότητος τοῦ τυράννου ὀπτωμένων τῶν τοῦ γενναιοτάτου ἀθλητοῦ τῆς εὐσεβείας σαρκῶν, οἱ λοιποὶ »παρεκάλουν[3]) ἀλλήλους σὺν τῇ μητρὶ γενναίως τελευτᾶν·« παραμυθούμενοι ἑαυτοὺς τῷ λογισμῷ τοῦ ἐφορᾶν ταῦτα τὸν θεόν· ἤρκει γὰρ αὐτοῖς εἰς ὑπομονὴν ἡ πειθὼ τοῦ παρεῖναι τοῖς ὑπομένουσι τὸν τοῦ θεοῦ ὀφθαλμόν. Καὶ παρακαλεῖ αὐτοὺς ὁ ἀγωνοθέτης τῶν τῆς εὐσεβείας ἀθλητῶν, παρακαλούμενος, καὶ ἵν' οὕτως ὀνομάσω, εὐφραινόμενος ἐπὶ τοῖς κατεξανισταμένοις τῶν τηλικούτων πόνων. Εὔκαιρον δ' ἂν εἴη καὶ ἡμᾶς ἐν τοιούτοις γενομένους εἰπεῖν τοὺς ἐκείνων λόγους πρὸς ἑαυτούς, τοῦτον ἔχοντας τὸν τρόπον, οὕτως· »Κύριος[4]) ὁ θεὸς ἐφορᾷ, καὶ ταῖς ἀληθείαις ἐφ' ἡμῖν παρακαλεῖται.«

24. Τοῦ πρώτου[5]) τοῦτον τὸν τρόπον δοκιμασθέντος ὡς[6]) δοκιμάζεται χρυσὸς ἐν χωνευτηρίῳ, ὁ δεύτερος „ἐπὶ τὸν ἐμπαιγμὸν“[7]) ἤγετο·“ καὶ[8]) „τὸ δέρμα σὺν ταῖς θριξὶ περισύραντες“ οἱ διάκονοι τῆς τυραννικῆς ὠμότητος, ἐπὶ μετάνοιαν ἐκάλουν τὸν πεπονθότα, ἐπερωτῶντες,[9]) εἰ φάγεται τῶν εἰδωλοθύτων, πρὶν „τιμωρηθῆναι τὸ σῶμα κατὰ μέλος“ αὐτῷ. Ὡς δ' ἠρνήσατο[10]) τὴν μετάνοιαν, ἐπὶ „τὴν ἑξῆς ἤχθη βάσανον,“

---

[1]) Cfr. II Macc. VII, 5.
[2]) Cfr. II Macc. VII, 5.
[3]) II Macc. VII, 5. [4]) II Macc. VII, 6.
[5]) Cfr. II Macc. VII, 7.
[6]) Cfr. Sap. Sal. III, 6.
[7]) Cod. Mscr. perperam: ἐπαιγμόν. R. — Wetst. in textu: ἐπαιγμόν, ad marg. vero: „Lege: ἐμπαιγμόν.“ Cfr. II Macc. VII, 7.
[8]) Cfr. II Macc. VII, 7.
[9]) Cfr. II Macc. VII, 7.
[10]) Cfr. II Macc. VII, 8.

τηρῶν τὴν ἔνστασιν μέχρι τῆς ἐσχάτης ἀναπνοῆς. Μηδαμῶς γὰρ θραυσθεὶς, μηδὲ ἐνδοὺς πρὸς τοὺς πόνους, ταῦτα εἶπε πρὸς τὸν ἀσεβῆ· »Σὺ [1]) μᾶλλον, ἀλάστορ, ἐκ τοῦ παρόντος ἡμᾶς ζῆν ἀπολύεις· ὁ δὲ τοῦ κόσμου βασιλεὺς ἀποθανόντας ἡμᾶς ὑπὲρ τῶν αὐτοῦ [2]) νόμων εἰς αἰώνιον ἀναβίωσιν ζωῆς ἀναστήσει.«

25. Καὶ ὁ τρίτος δὲ ἐν οὐδενὶ τὰς ἀλγηδόνας τιθέμενος, καὶ διὰ τὴν πρὸς τὸν θεὸν ἀγάπην καταπατῶν αὐτὰς, τὴν [3]) »γλῶσσαν αἰτηθεὶς, ταχέως προέβαλε, καὶ τὰς χεῖρας εὐθαρσῶς προέτεινεν,« εἰπέ τε· »διὰ [4]) τοὺς τοῦ θεοῦ νόμους ταῦτα καταλιπὼν, ἐλπίζω αὐτὰ ἀπὸ θεοῦ κομίσασθαι« τοιαῦτα, οἷα ἂν ἀποδῴη θεὸς τοῖς τῆς εἰς αὐτὸν εὐσεβείας ἀθληταῖς. Ὡσαύτως δὲ καὶ ὁ τέταρτος [5]) ἐβασανίζετο, τὰς αἰκίας φέρων, καὶ λέγων, ὅτι »αἱρετὸν [6]) μεταλλάσσοντας [7]) ἀπ' ἀνθρώπων, τὰς ἀπὸ τοῦ θεοῦ προσδοκᾶν ἐλπίδας, καὶ ὑπ' αὐτοῦ ἀναστήσεσθαι« ἀνάστασιν, ἣν οὐκ ἀναστήσεται ὁ τύραννος· οὐ γὰρ »εἰς [8]) ζωὴν,« ἀλλ' εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον ἀναστήσεται. Ἑξῆς »τὸν [9]) πέμπτον ἠκίζοντο·« [10]) ὃς ἐνιδὼν [11]) τῷ Ἀντιόχῳ, ὠνείδισεν αὐτῷ τὸ φθαρτὸν, μὴ [12]) κολλούων αὐτοῦ τὴν ὑπερηφανίαν,

---

[1]) Cfr. II Macc. VII, 9. [2]) Wetsten. αὐτοῦ.
[3]) Cfr. II Macc. VII, 10.
[4]) Cfr. II Macc. VII, 11.
[5]) Cfr. II Macc. VII, 13.
[6]) Cfr. II Macc. VII, 14.
[7]) Cod. Mscr. male: μεταλλάσσονται. R. — Wetst. in textu: μεταλλάσσονται, ad marg. vero: »Lege: μεταλλάσσοντας.«
[8]) Cfr. II Macc. VII, 14.
[9]) Cfr. II Macc. VII, 15.
[10]) Cod. Mscr. male: ἠκίζοντος. R. — Wetst. in textu: ἠκίζοντος, ad marg. »Forte: ἠκίζοντο«
[11]) Cfr. II Macc. VII, 16.
[12]) Wetsten. et Ruaeus in textu: μὴ κολλούων. Iidem

νομίζοντος μεγάλην εἶναι ἐξουσίαν, τὴν ἐν ὀλίγαις ἡμέραις τυραννίδα. Ἔφασκε δὲ καὶ ἐν τούτοις ὢν, τὸ [1]) „ἔθνος μὴ καταλελεῖφθαι ὑπὸ θεοῦ," τοῦ, ὅσον οὐδέπω, τὸν Ἀντίοχον καὶ τὸ σπέρμα αὐτοῦ βασανίσοντος. Μετὰ τοῦτον ἔτος πρὸς τὸ ἀποθνήσκειν γενόμενος· „Μὴ [2]) πλανῶ," εἶπεν· »ἡμεῖς ὑπὲρ ἡμετέρων ἁμαρτημάτων δίκας τίνοντες, ἵν' ἐν τοῖς πόνοις καθαρθῶμεν, ἑκουσίως ταῦτα πάσχομεν." Ἔλεγέ τε αὐτῷ, ὡς ἄρα οὐ χρὴ νομίζειν αὐτὸν ἀθῷον [3]) ἔσεσθαι, θεομαχεῖν ἐπιχειροῦντα· θεομάχος γὰρ, ὁ τοῖς ἀπὸ τοῦ λόγου θεοποιηθεῖσι [4]) μαχόμενος.

26. Τελευταῖον δὲ, τὸν νεώτερον [5]) Ἀντίοχος εἰς χεῖρας λαβὼν, καὶ πεισθεὶς καὶ τοῦτον εἶναι ἀδελφὸν τῶν ἐν οὐδενὶ τηλικαύτας ἀλγηδόνας θεμένων, καὶ τὴν

---

vero, ille ad marg. »Lege: μὴ καλλύνων," hic in notis: »Lego: μὴ κολοῦον, referendo κολοῦον ad φθαρτόν." — Equidem a partibus Wetst. steterim.

[1]) Cfr. II Macc. VII, 16.—17.

[2]) Cfr. II Macc. VII, 18.

[3]) Cfr. II Macc. VII, 19.

[4]) Θεοποιεῖσθαι apud auctores ecclesiasticos dicuntur ii, οἷς, ut ait Joannes I, 12., ἔδωκεν ὁ λόγος ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, vel qui, ut scriptum est II Petr. I, 4., divinae consortes facti sunt naturae, κοινωνοὶ τῆς θείας φύσεως. Quod illustris confirmat Athanasii locus epist. ad Adelphium: Γέγονεν ἄνθρωπος, ἵνα ἡμᾶς ἐν ἑαυτῷ θεοποιήσῃ, καὶ γενώμεθα λοιπὸν γένος ἅγιον, καὶ κοινωνοὶ θείας φύσεως, ὡς ἔγραψεν ὁ μακάριος Πέτρος. Idem de incarnat. Verbi id ipsum sic effert: Christus dicitur ἄνθρωπος γεγενῆσθαι μένων θεὸς, ἵνα τοὺς ἀνθρώπους θεοὺς ἀποδείξῃ μένοντας ἀνθρώπους. Id est, ut paulo antea explicat: εἰς ὁμοίωσιν τὴν πρὸς αὐτὸν ἐπανάγει πάλιν, ὁμοιωθεὶς τῷ ἰδίῳ ποιήματι. Cfr. Wetsten.

[5]) Cfr. II Macc. VII, 24.

αὐτὴν ἔχειν ἐκείνοις προαίρεσιν, ἄλλαις [1]) ἐφόδοις ἐχρῆτο· νομίζων αὐτὸν παρακλήσεσι πεισθήσεσθαι, καὶ ταῖς δι' ὅρκων πιστώσεσι περὶ τοῦ „πλούσιον [2]) αὐτὸν ποιήσειν καὶ μακαριστὸν, μεταθέμενόν τε ἀπὸ τῶν πατρίων, εἰς φίλους ἐγκαταταχθῆναι, καὶ χρείας βασιλικὰς ἐμπιστευθῆναι." Ὡς δ' οὐδὲν ἤννε, τὴν ἀρχὴν μηδὲ [3]) προσέχοντος τοῦ νεανίου ὡς ἀλλοτρίοις τῆς ἑαυτοῦ προαιρέσεως τοῖς λεγομένοις, προσκαλεσάμενος [4]) „τὴν μητέρα, παρῆνει γίνεσθαι τοῦ μειρακίου σύμβουλον ἐπὶ σωτηρίᾳ·" ἡ δὲ, ἐπιδειξαμένη [5]) πείσειν περὶ ὧν ἤθελε τὸν υἱὸν, καὶ χλευάσασα [6]) τὸν τύραννον, πολλοὺς τῷ υἱῷ ἐκίνει λόγους περὶ ὑπομονῆς· ὡς τὸν νεανίαν, μὴ περιμείναντα τὴν ἐπιφερομένην κόλασιν, προλαβόντα προκαλέσασθαι τοὺς θημίους, λέγοντα· Τί [7]) μέλλετε καὶ βραδύνετε; Ἀκούομεν γὰρ νόμου τοῦ δοθέντος ἀπὸ θεοῦ· οὐ προσιέναι δεῖ πρόσταγμα ἐναντιούμενον θείοις λόγοις. Ἀλλὰ καὶ ὥσπερεὶ βασιλεὺς ἀποφαινόμενος κατὰ τῶν ὑπ' αὐτῷ δικαζομένων, ἀπεφήνατο κρίσιν τὴν κατὰ τοῦ τυράννου· δικάζων μᾶλλον αὐτὸν ἤπερ δικαζόμενος· καὶ ἔφασκεν, ὡς ἄρα „ἐπὶ [8]) τοὺς οὐρανίους [9]) παῖδας ἀράμενος χεῖρας· οὐκ [10]) ἐκφεύξεται τὴν τοῦ παντοκράτορος ἐπόπτου θεοῦ κρίσιν."

---

[1]) Wetst. et Ruaeus in textu: ἀλλ' ἐφόδοις. Ruaeus vero in notis: »Legendum: ἄλλαις ἐφόδαις.«

[2]) Cfr. II Macc. VII, 24.

[3]) Wetsten. μὴ δέ. — Cfr. II Macc. VII. 25.

[4]) Cfr. II Macc. VII, 25.

[5]) Wetsten. et Ruaeus in textu: ἐπιδειξαμένη. Iidem vero, ille ad marg., hic in notis: „Forte scribendum: ἐπιδεξαμένη." — Cfr. II Macc. VII, 26.

[6]) Cfr. II Macc. VII, 27. seqq.

[7]) Cfr. II Macc. VII, 30.

[8]) Cfr. II Macc. VII, 34.

[9]) Cod. Mscr. mendose: οὐρανούς. R. — Wetst. in textu: οὐρανούς, ad marg. vero: „Lege: οὐρανίους."

[10]) Cfr. II Macc. VII, 35.

27. Ἦν δὲ τότε τὴν μητέρα τῶν τοσούτων ἰδεῖν, εὐψύχως [1]) φέρουσαν διὰ τὰς ἐπὶ τὸν θεὸν ἐλπίδας, τοὺς πόνους, καὶ τοὺς θανάτους τῶν υἱῶν· δρόσοι γὰρ εὐσεβείας καὶ πνεῦμα ὁσιότητος οὐκ εἴων ἀνάπτεσθαι ἐν τοῖς σπλάγχνοις [2]) αὐτῆς τὸ μητρικὸν καὶ ἐν πολλαῖς ἀναφλεγόμενον ὡς ἐπὶ βαρυτάτοις κακοῖς πῦρ. Νομίζω δὲ καὶ ταῦτα χρησιμώτατα πρὸς τὸ προκείμενον ἐπιτεμόνως [3]) ἀπὸ τῆς γραφῆς παρατεθεῖσθαι, ἵν' ἴδωμεν, ὅσον δύναται κατὰ τῶν τραχυτάτων πόνων καὶ τῶν βαρυτάτων βασάνων εὐσέβεια, καὶ τὸ πρὸς θεὸν φίλτρον, παντὸς φίλτρου καθ' ὑπερβολὴν πλεῖον δυνάμενον.

28. Ὁποῖον δ' ἐστὶ τὸ μαρτύριον, καὶ πόσην παῤῥησίαν ἐμποιοῦν πρὸς τὸν θεὸν, καὶ ἐντεῦθέν ἐστι καταμαθεῖν. Φιλότιμός τις ὁ ἅγιος ὤν, καὶ ἀμείψασθαι θέλων τὰς φθασάσας εἰς αὐτὸν εὐεργεσίας [4]) ἀπὸ θεοῦ, ζητεῖ τί ἂν ποιήσαι [5]) τῷ κυρίῳ περὶ πάντων, ὧν ἀπ' αὐτοῦ εἴληφε· καὶ οὐδὲν ἄλλο εὑρίσκει οἱονεὶ ἰσόῤῥοπον ταῖς εὐεργεσίαις δυνάμενον ἀπὸ ἀνθρώπου εὐπροαιρέτου ἀποδοθῆναι θεῷ, ὡς τὴν ἐν μαρτυρίῳ τελευτήν. Γέγραπται γάρ· „Τί [6]) ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;" Καὶ ἐπάγει λέγων· „Ποτήριον [7]) σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα κυρίου

---

[1]) Cod. Mscr. corrupte: εὐχύχως. R. — Wetsten. in textu: εὐχύχως, ad marg. vero: »Lege: εὐψύχως.« — Cfr. II Macc. VII, 20.

[2]) Wetst. in textu: πλάγχνοις, ad marg. vero: »Lege: σπλάγχνοις.

[3]) Wetst. et Ruaeus in textu: ἐπιτεμόνος. Iidem vero, ille ad marg. »Lege: ἐπιτεμόνως,« hic in notis: »Forte scribendum: ἐπιτεμόνως, quasi ἐπιτομῶς, aut legendum: ἐπισημόνως.«

[4]) Wetst. in textu: ἐνεργεσίας, ad marg. vero: „Lege: εὐεργεσίας"

[5]) Cfr. Psalm. CXVI, 12. (CXV.)

[6]) Psalm. CXVI, 12. (CXV.)

[7]) Psalm. CXVI, 13. (CXV.)

ἐπικαλέσομαι.“ *Ποτήριον*[1]) *δὲ σωτηρίου ἔθος ὀνομάζεσθαι τὸ μαρτύριον, ὡς ἐν τῷ εὐαγγελίῳ εὕρομεν· ἠνίκα γὰρ μείζονος ὠρέγοντο τιμῆς οἱ θέλοντες ἐκ δεξιῶν*[2]) *καὶ ἐξ εὐωνύμων καθεσθῆναι τῷ Ἰησοῦ ἐν τῇ βασιλείᾳ αὐτοῦ, φησὶ πρὸς αὐτοὺς ὁ κύριος· „Δύνασθε*[3]) *πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω;“ ποτήριον λέγων τὸ μαρτύριον· ὅπερ ἐστὶ σαφὲς καὶ ἐκ τοῦ· „Πάτερ,*[4]) *εἰ δυνατὸν,*[5]) *παρένεγκε τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλὴν οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ.“ Πλὴν μανθάνομεν, ὅτι συγκαθιεῖ*[6]) *καὶ συμβασιλεύσει, καὶ συνδικάσει τῷ βασιλεῖ τῶν βασιλευόντων, ὁ πιὼν τὸ ποτήριον ἐκεῖνο, ὅπερ ἔπιεν ὁ Ἰησοῦς. Τοῦτ' οὖν ἐστὶ τὸ τοῦ σωτηρίου ποτήριον, ὅπερ ὁ λαβὼν ἐπικαλέσεται τὸ ὄνομα κυρίου· „πᾶς*[7]) *δὲ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται.“*

29. *Ἀλλὰ εἰκός τινα διὰ τό· „Πάτερ,*[8]) *εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο·“ μὴ ἀκριβώσαντα τὸ βούλημα τῆς γραφῆς, νομίζειν, ὅτι οἱ-*

---

[1]) Origenes Tractat. XII. in Matth. multis hoc tradit. Gregor. Magn. lib. III. Dialogor., postquam verba Christi: „potestis bibere calicem,“ etc. attulit, addit: „Quid autem calicis nomen, nisi passionis poculum signat?“ Clemens Alexandr. Paedag. lib. I. cap. VI. *Τὴν συμπλήρωσιν τοῦ ἰδίου πάθους ποτήριον κέκληκε καταχρηστικῶς, ὅτε ἐκπιεῖν καὶ ἐκτελέσαι μόνον ἐχρῆν αὐτό.* Vide Basil. Magn. in Psalm. CXVI. Cfr. Wetsten.

[2]) Cfr. Matth. XX, 21.

[3]) Cfr. Matth. XX, 22.

[4]) Cfr. Matth. XXVI, 39. coll. Marc. XIV, 36. (Luc. XXII, 42.)

[5]) In Cod. Mscr. vitiose legitur: *δυντόν*. R. — Wetst. in textu: *δυντόν*, ad marg. vero: „Lege: *δυνατόν*.“

[6]) Cod. Mscr. perperam habet: *συγκαθίη*. R. — Wetst. in textu: *συγκαθίη*, ad marg. vero: „Lege: *συγκαθιεῖ*.“ [7]) Cfr. Joel. II, 32. coll. Rom. X, 13.

[8]) Cfr. Matth. XXVI, 39.

ονεὶ καὶ σωτὴρ ἐδειλίασε παρὰ τὸν τοῦ πάθους καιρόν· ἐκείνου δὲ δειλιάσαντος, εἴποι τις ἄν· τίς γενναῖος εἰσαεί; Πρῶτον δὲ πευσόμεθα τῶν ταῦτα περὶ τοῦ σωτῆρος ὑπολαμβανόντων, εἰ ἐλάττων ἦν τοῦ λέγοντος· „*Κύριος*[1]) *φωτισμός μου, καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου· ἀπὸ τίνος δειλιάσω; Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με, καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν, καὶ ἔπεσον. Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου,*« *καὶ τὰ ἑξῆς. Τάχα δὲ οὐδὲ ἄλλου τινός ἐστι ταῦτα ἐν τῷ προφήτῃ λεγόμενα τὰ ῥήματα, ἢ τοῦ σωτῆρος διὰ τὸν ἀπὸ τοῦ πατρὸς φωτισμὸν, καὶ τὴν ἀπ' αὐτοῦ σωτηρίαν, οὐδένα φοβουμένου, καὶ διὰ τὸν ὑπερασπισμὸν, ὃν ὑπερήσπιζεν αὐτοῦ ὁ θεὸς, ἀπὸ μηδενὸς δειλιῶντος. Τούτου δὲ καὶ ἡ καρδία οὐδαμῶς ἐφοβεῖτο, παρατασσομένης ἐπ' αὐτὸν ὅλης τῆς τοῦ σατανᾶ παρεμβολῆς· ἤλπιζε δὲ καὶ ἐπὶ*[2]) *θεῷ πεπληρωμένη ἱερῶν δογμάτων αὐτοῦ καρδία, ἐπανισταμένου αὐτῷ πολέμου. Οὐ*[3]) *κατὰ τὸν αὐτὸν τοίνυν ἐστὶ καὶ κατὰ δειλίαν λέγειν τό·* »*Πάτερ,*[4]) *εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο·*« *καὶ ἀπὸ ἀνδρείας φάσκειν·* »*Ἐὰν*[5]) *παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου.*« *Μήποτ' οὖν λανθάνῃ τι*[6]) *ἡμᾶς ἐν τῷ τόπῳ, καὶ ἐπιστήσεις*[7]) *τῷ παρὰ τοῖς*

---

[1]) Cfr. Psalm. XXVII, 1—3. (XXVI.)

[2]) Wetst. et Ruaeus in textu: *ἐπὶ τῇ.* Iidem tamen, ille ad marg., hic in notis: »Legendum videtur: *ἐπὶ θεῷ.*« — Cfr. Psalm. XXVII, 3. (XXVI.)

[3]) Cfr. Orig. lib. VII. contra Cels. num. 55. coll. lib. II. num. 24. 25. Cfr. ejusdem Tom. ult. in Joannem coll. Epiphanio in Anchorato.

[4]) Cfr. Matth. XXVI, 39.

[5]) Psalm. XXVII, 3. (XXVI.)

[6]) Deest *τι* in ed. Wetsten.

[7]) Wetsten. ad marg. »Forte: *ἐπιστήσῃς.*«

τρισὶν εἰρημένῳ δεικτικῷ τοῦ ποτηρίου. Ὁ μὲν γὰρ Ματθαῖος ἀνέγραψε λέγοντα τὸν κύριον· »Πάτερ,[1]) εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο·« ὁ δὲ Λουκᾶς· »Πάτερ,[2]) εἰ βούλει, παρένεγκε τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ·« ὁ δὲ Μάρκος· »Ἀββᾶ,[3]) ὁ πατήρ· δυνατά σοι πάντα· παρένεγκε τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ.« Ὅρα τοίνυν, εἰ δύνασαι παντὸς μαρτυρίου[4]) καθ' ὁποιανοῦν πρόφασιν ἐξόδου μαρτυρίου καλουμένου, τοῦτο φάσκειν, ὅτι οὐ[5]) τὸ γένος τοῦ μαρτυρίου παρητεῖτο, λέγων· „παρελθέτω[6]) ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο·“ — ἔφασκε γὰρ ἄν· παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον· — ἀλλὰ τάχα τὸ εἶδος τόδε. Καὶ πρόσχες, εἰ δυνατὸν ἐνορῶντα τὸν σωτῆρα τοῖς εἴδεσιν, ἵν' οὕτως ὀνομάσω, τῶν ποτηρίων, καὶ τοῖς δι' ἕκαστον γενομένοις ἄν, καὶ καταλαμβάνοντα μετά τινος βαθυτάτης σοφίας τὰς διαφορὰς, τόδε τὸ εἶδος τῆς ἐξόδου παραιτεῖσθαι τοῦ μαρτυρίου, ἀλλὰ[7]) δὲ τάχα βαρύτερον αἰτεῖν λελῃθότως, ἵνα καθολικώτερόν τι καὶ ἐπὶ πλείους φθάνον εὐεργέτημα ἀνυσθῇ δι' ἑτέρου ποτηρίου. Ὅπερ οὐδέπω ἦν θέλημα τοῦ πατρὸς γενέσθαι, σοφώτερον παρὰ τὸ βούλημα τοῦ υἱοῦ, καὶ παρ' ὃ ἑώρα ὁ σωτὴρ, ὁδῷ καὶ τάξει οἰκονομοῦντος τὰ πράγματα. Σαφῶς δὲ ἐν Ψαλμοῖς τὸ τοῦ σωτῆρος ποτήριον, ὁ τῶν μαρτύρων[8]) ἐστὶ θάνατος. Διόπερ τῷ· „Ποτήριον[9])

---

[1]) Cfr. Matth. XXVI, 39.

[2]) Cfr. Luc. XXII, 42.

[3]) Cfr. Marc. XIII, 36.

[4]) Wetsten. μαρτυρίου τοῦτο καθ' ὁποιανοῦν πρόφασιν ἐξόδου μαρτυρίου καλουμένου, φάσκειν· ὅτι κτλ.

[5]) Confer quae scripsit lib. II. contra Cels. num. 25. et lib. VII. num. 55.

[6]) Matth. XXVI, 39.

[7]) Wetst. ἄλλα. — Vide lib. II. Origenianor. Quaest. II.

[8]) In Cod. Mscr. corrupte legitur: μαρτυρίων. R. — Wetst. μαρτυρίων, ad marg. vero: „Fortasse: μαρτύρων.“

[9]) Psalm. CXVI, 13. (CXV.)

σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι·" ἐπιφέρεται τό· „*Τίμιος*[1]) ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ." *Τίμιος* τοίνυν ἡμῖν ἐπέρχεται θάνατος, ὡς ὁσίοις τοῦ θεοῦ, καὶ οὐκ ἀναξίοις, οὐκ ἐν τῷ κοινὸν, ἵν' οὕτως ὀνομάσω, καὶ ἀργὸν θεοσεβείας θάνατον ἀποθανεῖν, ἀλλά τινος ἐξαίρετον, τὸν διὰ Χριστιανισμὸν καὶ εὐσέβειαν.

30. Ὑπομνησθῶμεν δὲ καὶ ὧν ἡμαρτήκαμεν·[2]) καὶ ὅτι οὐκ ἔστιν[3]) ἄφεσιν ἁμαρτημάτων χωρὶς βα-

[1]) Psalm. CXVI, 15. (CXV.)

[2]) Wetst. in textu: ἡματήσαμεν, ad marg. vero: »Lege: ἡμαρτήκαμεν.«

[3]) Tertullianus de Baptism. cap. XII. »Praescribitur, nemini sine baptismo competere salutem, ex illa maxime pronuntiatione Domini, qui ait: Nisi natus ex aqua quis erit, non habet vitam.« Ambrosius lib. de iis, qui mysteriis initiantur, cap. IV. „Credit etiam Catechumenus in crucem Domini Jesu, qua et ipse signatur: sed, nisi baptizatus fuerit in nomine Patris et filii et Spiritus sancti, remissionem non potest accipere peccatorum, nec spiritualis gratiae munus haurire." Remittit tamen alibi de hoc rigore Ambrosius, Consolat. de obitu Valentiniani num. 51. „Audio vos dolere, quod non acceperit sacramenta baptismatis. Dicite mihi, quid aliud in nobis est voluntas, nisi petitio? Non habet ergo gratiam, quam desideravit? Non habet, quam poposcit? Certe quia poposcit, accepit. Si martyres, qui catechumeni fuerint, suo abluuntur sanguine, et hunc sua pietas abluit et voluntas." Augustin. lib. IV. contra Donatist. cap. XXII. „Invenio non tantum passionem pro nomine Christi id, quod ex baptismo deerat, posse supplere, sed etiam fidem conversionemque cordis, si forte ad celebrandum mysterium baptismi in angustiis temporum succurri non potest." His duobus fulcris inprimis nititur Bernardus, epist. 77. ad Hugonem de S. Victore, qua absolutam baptismi necessitatem solide et fuse impugnat. Cf. Vossii disput. 7. de baptismo. Ceteroquin tam apud Augustinum, quam Pa-

πτίσματος λαβεῖν· καὶ ὅτι οὐκ ἔστι δυνατὸν κατὰ τοὺς εὐαγγελικοὺς νόμους αὖθις βαπτίσασθαι [1]) ὕδατι καὶ

---

tres Africanos obtinuit Canon: „Firmissime tene, et nullatenus dubites, non solum homines jam ratione utentes, verum etiam parvulos, qui sive in uteris matrum vivere incipiunt, et ibi moriuntur, sive cum de matribus nati sine sacramento S. baptismatis, (quod datur in nomine Patris et Filii et Spiritus sancti,) de hoc saeculo transeunt, ignis aeterni supplicio puniendos," etc. Cfr. lib. de fide ad Petr. diac. cap. XXVII. Interim per martyrium suppleri baptismatis defectum, statuerunt. Cfr. idem liber cap. XXX. „Firmissime tene, et nullatenus dubites, exceptis illis, qui pro nomine Christi suo sanguine baptizantur, nullum hominem accepturum vitam aeternam, qui non hic a malis suis fuerit per poenitentiam fidemque conversus, et per sacramentum fidei et poenitentiae, id est, per baptismum liberatus." Gennadius paucis: „Nullum Catechumenum, quamvis in bonis operibus defunctum, vitam aeternam habere credimus, excepto martyrio, ubi tota baptismi sacramenta complentur." Cfr. lib. de dogm. eccles. cap. 74. Confer. Origen. in Luc. cap. II. Homil. XIV. med. Wetst.

[1]) Nota illa distinctio baptismi, in baptismum fluminis, flaminis, et sanguinis hic traditur. Baptismus „sanguinis" Tertulliano cap. XIII. de Patientia est „secunda intinctio:" et cap. XXII. de Pudicitia: „aliud baptisma." Tribus his baptismi speciebus ex Athanasio, Damasceno, et aliis, quinque alias superaddit Suicerus, Observatt. sacr. cap. III., scilicet baptismum „diluvii, Mosis, legalem, Christi," et „poenitentiae." Cedrenus in Compend. Histor. pag. 206. scribit: „Imperante Antonino philosopho contigisse, ut Judaeus aegrotans, et per solitudinem cum Christianis iter faciens, cum per Dei nomen, ut baptizaretur, rogaret, et aqua deesset, ejus loco arena ter in capite adspersus fuerit, adhibita formula institutionis; at, cum Judaeus mox convaluisset, Dionysium Alexandrinum postea illum aqua denuo abluisse." Wetst.

πνεύματι εἰς ἄφεσιν ἁμαρτημάτων· καὶ ὅτι βάπτισμα ἡμῖν δίδοται τὸ τοῦ μαρτυρίου· οὕτω γὰρ ὠνόμασται, ὡς δῆλον ἐκ τοῦ ἐπιφέρεσθαι μὲν τῷ· »δύνασθε [1]) πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω;« τό· »ἢ [2]) τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι;« Ἀλλαχοῦ δὲ εἴρηται· »βάπτισμα [3]) δὲ ἔχω βαπτισθῆναι· καὶ τί συνέχομαι ἕως ὅτου τελεσθῇ;« Καὶ ἐπίστησον, εἰ τὸ κατὰ τὸ μαρτύριον βάπτισμα, ὥσπερ τὸ τοῦ σωτῆρος καθάρσιον γέγονε τοῦ κόσμου, καὶ αὐτὸ ἐπὶ πολλῶν θεραπείᾳ καθαιρόμενον γίνεται. Ὡς γὰρ οἱ τῷ [4]) κατὰ τὸν Μωσέως νόμον θυσιαστηρίῳ προσεδρεύοντες, διακονεῖν ἐδόκουν δι' αἵματος ταυρῶν καὶ τράγων ἄφεσιν ἁμαρτημάτων ἐκείνοις, οὕτως [5]) αἱ ψυχαὶ [6]) τῶν πεπελεκισμέ-

[1]) Cfr. Marc. X, 38. coll. Matth. XX, 22.

[2]) Cfr. Marc. X, 38. [3]) Cfr. Luc. XII, 50.

[4]) Male in Cod. Mscr. scriptum est: τῶν. R. — Wetst. in textu: τῶν, ad marg. vero: „Lege: τῷ.“

[5]) Vide quae docet infra filios Ambrosii, si modo coronam martyrii obtineat, plus ab ipso post ejus ex hac vita excessum adjutum iri, quam si cum illis permansisset: „Scies enim, inquit, tunc melius quomodo diligendi sint, et quae ipsis precanda sint melius intelliges, si cognoveris filios tuos esse, non semen tantum.“ Quin et Homil. XVI. in Josuam non solum martyres pro nobis, sed et omnes omnino patres orare statuit: „Ego sic arbitror, quod omnes illi, qui dormierunt ante nos Patres, pugnent nobiscum, et adjuvent nos orationibus suis.“ (Ex his omnibus liquet, longe abfuisse Origenem ab hodiernorum heterodoxorum opinione, qui ideo maxime sanctorum invocationem repudiant, quod orationes nostras iis ignotas esse arbitrentur. R.) Haec opinio posterioribus temporibus adeo invaluit, ut creditum sit, eos hominum preces exaudire, ac propterea invocandos esse. Prudentius Hymn. I.

Tanta pro nostris periclis cura suffragantium est,
Non sinant, inane ut ullus voce murmur fuderit:
Audiunt, statimque ad aurem regis aeterni ferunt.

νων ἕνεκεν τῆς μαρτυρίας Ἰησοῦ, μὴ μάτην τῷ ἐν οὐρανοῖς θυσιαστηρίῳ παρεδρεύουσαι διακονοῦσι τοῖς εὐχομένοις ἄφεσιν ἁμαρτημάτων· ἅμα δὲ καὶ γινώσκομεν, ὅτι ὥσπερ ὁ ἀρχιερεὺς θυσίαν ἑαυτὸν προσήνεγκεν Ἰησοῦς ὁ Χριστὸς, οὕτως οἱ ἱερεῖς, ὧν ἐστιν ἀρχιερεὺς, θυσίαν ἑαυτοὺς προσφέρουσι· δι' ἣν, ὡς παρὰ οἰκείῳ τόπῳ ὁρῶνται τῷ θυσιαστηρίῳ. Ἀλλὰ τῶν ἱερέων [1]) οἱ μὲν ἄμωμοι καὶ ἀμώμους προσφέροντες θυσίας, ἐθεράπευον τὸ θεῖον· οἱ δὲ μεμωμημένοι μώμοις, οὓς ἀνέγραψε Μωσῆς ἐν τῷ Λευϊτικῷ, [2]) ἐξωρίζοντο ἀπὸ τοῦ θυσιαστηρίου. Τίς δὲ ὁ ἄμωμος ἱερεὺς ἄμωμον ἱερεῖον προσφέρων, ἢ ὁ κρατῶν τῆς ὁμολογίας, καὶ πληρῶν πάντα ἀριθμὸν, ὃν ἀπαιτεῖ ὁ τοῦ μαρτυρίου λόγος; Περὶ οὗ ἐν τοῖς ἀνωτέρω [3]) προειρήκαμεν.

31. Μὴ θαυμάζωμεν δὲ, εἰ τὴν τηλικαύτην τῶν μαρτύρων μακαριότητα ἐσομένην ἐν βαθείᾳ εἰρήνῃ, καὶ γαλήνῃ, καὶ εὐδίᾳ δεῖ ἄρξασθαι ἀπό τινος νομιζομένου σκυθρωποτέρου, καὶ ἵν' οὕτως ὀνομάσω χειμερινοῦ καταστήματος. Πρότερον γὰρ τὴν στενὴν [4]) καὶ

Et Hymn. IX.

Audit, crede, preces martyr prosperrimus omnes.

Vid. etiam Hymn. II. X. et XIII., ubi plura ejus generis occurrunt. Adde Sulpic. Sever. in fine ep. II. ad Aurel. diaconum; Paulinum in poëmat. natali VIII. etc. Martyribus additi sunt postea omnes alii sancti. Vid. Nicephori Constant. Patriarch. epist. ad Leonem Papam, pag. 774. apud Zonaram Lut. edit. Alia mens fuit Eucherio lib. IV. in libros Regum pag. 201. „Ibi ergo, — in loco pacis —, sunt spiritus defunctorum: ubi non vident, quaecunque aguntur aut eveniunt in ista vita hominum.“ Post haec multis defendit: „mortuis nullam esse curam de vivis:“ inprimis nixus auctoritate prophetae: „Abraham nescivit nos.“ Jesai. LXIII, 16. Wetst.

[6]) Cfr. Apoc. XX, 4. coll. VI, 9.

[1]) Wetsten ἱερῶν. [2]) Cfr. Levit. XXI, 17—21.

[3]) Cfr. lib. huj. cap. XI. [4]) Cfr. Matth. VII, 14.

τεθλιμμένην ὀδεύοντα ἐν χειμῶνι δεήσει ἐπιδείξασθαι ἣν ἐκτήσατο ἕκαστος τῶν μακαρίων κυβέρνησιν, ἵνα μετὰ ταῦτα γένηται τὸ ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων πρὸς τὴν τὸν χειμῶνα διανυξαμένην [1]) νύμφην· »Ἀποκρίνεται [2]) γάρ, φησὶν, ἀδελφιδός μου, καὶ λέγει μοι· ἀνάστα, ἐλθὲ ἡ πλησίον μου, καλή μου, περιστερά μου· ὅτι ἰδοὺ, ὁ χειμὼν παρῆλθεν· ὁ [3]) υἱὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ.« Καὶ ὑμεῖς ἔτι μέμνησθε, ὅτι οὐκ ἄλλως ἐστὶν ἀκοῦσαι τοῦ· [4]) »ὁ [5]) χειμὼν παρῆλθεν·« ἐὰν μὴ τὸν παρόντα χειμῶνα ἐῤῥωμένως καὶ εὐτόνως ἀγωνίσησθε. Μετὰ δὲ τὸ παρελθεῖν [6]) τὸν χειμῶνα, καὶ τὸν ὑετὸν ἀπελθεῖν, καὶ πορευθῆναι ἑαυτῷ, τὰ [7]) ἄνθη ὀφθήσεται· »πεφυτευμένοι [8]) γὰρ ἐν τῷ οἴκῳ τοῦ κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ θεοῦ ἡμῶν ἐξανθήσουσι.«

32. Καὶ τοῦτο δὲ γινώσκομεν, ὅτι πεισθέντας ἡμᾶς ὑπὸ Ἰησοῦ καταλιπεῖν τὰ εἴδωλα, καὶ τὴν πολυθεότητα, [9]) πεῖσαι μὲν ὁ ἐχθρὸς οὐ δύναται πρὸς τὸ εἰ-

---

[1]) Wetst. in textu: *δινυξαμένην*, ad marg. vero: „Lege: *διανυξαμένην*." Ruaeus in textu: *διανηξαμένην*, in notis vero: „Mendose Cod. Mscr. habet: *δινυξαμένην*."

[2]) Cantic. Cantic. II, 10. 11.

[3]) Uncis inclusa leguntur in edd. Wetst. et Ruaei verba: *ὁ ὑετὸς ἀπῆλθεν*.

[4]) Wetst. *τό*. [5]) Cantic. Cantic. II, 11.

[6]) Cfr. Cantic. Cantic. II, 11.

[7]) Cfr. Cantic. Cantic. II, 12.

[8]) Psalm. XCII, 13. (XCI.)

[9]) Uno vocabulo eleganter integram complectitur sententiam: Quod qui multos Deos colunt, nullum revera colant. Ideo lib. I. contra Cels. num. 1. *ἄθεον πολυθεότητα*, fidem multorum Deorum, *Deo carentem* appellavit. In hunc sensum Athenagoras, Legat. pro Christ. pag. 24. ait, de poëtis Graecorum: *Τίς οὐκ ἂν τοὺς ἐπὶ τοῖς τοιούτοις μύθοις φιλοθέους, μᾶλλον δὲ ἀθέους, τῆς ἀμαθίας καταμέμψαιτο;* Prudentius, lib. II. contra Symmachum, de mente Atheorum:

δωλολατρεῖν, βιάσασθαι δὲ βούλεται. Καὶ διὰ τοῦτο καθ' ὧν λαμβάνει ἐξουσίαν, ἐνεργεῖ τοιαῦτα· καὶ ἤτοι μάρτυρας, ἢ εἰδωλολάτρας ποιήσει τοὺς πειραζομένους. Πολλάκις δὲ καὶ νῦν λέγει· »Ταῦτά [1]) σοι πάντα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι.« Προσέχωμεν οὖν, μήποτε εἰδωλολατρήσωμεν, καὶ τοῖς δαιμονίοις ἑαυτοὺς ὑποτάξωμεν. Τὰ [2]) γὰρ εἴδωλα τῶν ἐθνῶν, δαιμόνια. Οἷον δέ ἐστι τὸ, καταλιπόντα τὸν χρηστὸν [3]) Χριστοῦ ζυγὸν, καὶ τὸ ἐλαφρὸν αὐτοῦ φορτίον, πάλιν ἑαυτὸν ὑποβαλεῖν ζυγῷ δαιμόνων, καὶ φορτίον βαστάξαι βαρυτάτης ἁμαρτίας, μετὰ τὸ ἐγνωκέναι ἡμᾶς, ὅτι »σποδὸς [4]) ἡ καρδία« τῶν εἰδώλοις λατρευόντων, καὶ »πηλοῦ [5]) ἀτιμώτερος ὁ βίος« αὐτῶν, καὶ μετὰ τὸ εἰρηκέ-

---

Haec putat, esse Deum nullum: namque omnia verti
Casibus, et nullo sub praeside saecla rotari.
Hoc iter haud quaquam magno discrimine distat
Hisce viis, quas vos teritis; qui numina multa,
Et portenta, Deum summum, numerosa, putatis.

Theodoretus, Tom. IV. Serm. III. Οὐκ οὖν μόνοι γε ἄθεοι Διαγόρας ὁ Μιλήσιος κ. τ. ε. παντάπασι φάντες μὴ εἶναι θεούς· ἀλλὰ καὶ Ὅμηρος, καὶ Ἡσίοδος, καὶ αἱ τῶν φιλοσόφων συμμορίαι, παμπόλλους μὲν θεῶν μυθολογήσαντες ὁρμαθούς, ἀνδραποδώδεις δέ τινας, καὶ παθῶν ἀνθρωπείων ἀποφήναντες δούλους. Videantur Apologetici advers. Gent. Clemens Alexandr. Minut. Fel. Tertullian. Arnob. etc. Wetst.

[1]) Cfr. Matth. IV, 9.

[2]) Tertullian. de Spectaculis cap. XII. „In mortuorum idolis daemonia consistunt."

[3]) Cfr. Matth. XI, 30.

[4]) Mendose Cod. Mscr. ποδός. R. — Wetst. in textu: ποδός, ad marg. vero: „Lege: σποδός." Cfr. Sap. Salom. XV, 10.

[5]) Wetst. et Ruaeus in textu: πολύ. Iidem vero, ille ad marg. „Al. πηλοῦ," hic in notis: „Lego: πηλοῦ." — Cfr. Sap. Sal. XV, 10.

ναι ἡμᾶς ὡς ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα, καὶ οὐκ[1] *ἔστιν ἐν αὐτοῖς ὑετίζειν.*

33. *Οὐ πάλαι μόνον ἵστη*[2] *τὴν χρυσῆν εἰκόνα Ναβουχοδονόσορ· οὐδὲ τότε μόνον ἠπείλει τῷ Ἀνανίᾳ καὶ Ἀζαρίᾳ καὶ Μισαὴλ, εἰ μὴ προσκυνήσαιεν, ἐμβαλεῖν αὐτοὺς εἰς τὴν κάμινον*[3] *τοῦ πυρός· ἀλλὰ καὶ νῦν ὁ Ναβουχοδονόσορ τὰ αὐτὰ λέγει ἡμῖν, τοῖς περατικοῖς καὶ ἀληθινοῖς Ἑβραίοις· ἀλλ' ἡμεῖς ἵνα δρόσου οὐρανίου πειραθῶμεν, σβεννυούσης πᾶν πῦρ ἀφ' ἡμῶν, καὶ καταψυχούσης ἡμῶν τὸ ἡγεμονικὸν, τοὺς ἱεροὺς ἐκείνους μιμησώμεθα. Μήποτε καὶ νῦν ὁ Ἀμὰν θέλῃ τοὺς Μαρδοχαίους ὑμᾶς προσκυνῆσαι αὐτῷ· ἀλλ' ὑμεῖς εἴπατε· »Οὐ*[4] *θήσω δόξαν ἀνθρώπων ὑπεράνω δόξης θεοῦ Ἰσραήλ.« Τὸν Βὴλ τῷ λόγῳ τοῦ θεοῦ καταστρέψωμεν,*[5] *καὶ τὸν δράκοντα μετὰ τοῦ Δανιὴλ ἀποκτείνωμεν, ἵνα στόμασι*[6] *λεόντων πλησιάζοντες, μηδὲν ἀπ' αὐτῶν παθεῖν δυνηθῶμεν· μόνων τῶν αἰτίων ἡμῖν τοῦ παρόντος ἀγῶνος καταβρωθησομένων ὑπὸ τῶν ἡμᾶς μὴ δυναμένων καταπιεῖν λεόντων.*

34. *Καὶ τοῦτο δὲ παρατηρήσωμεν, ὅτι οὐκ ἐν τοῖς πρὸς τοὺς πολλοὺς λόγοις τὰ περὶ μαρτυρίου προφητεύεται ὑπὸ τοῦ σωτῆρος, ἀλλ' ἐν τοῖς πρὸς τοὺς ἀποστόλους. Προειρημένου γάρ· »Τούτους*[7] *τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε,« καὶ τὰ ἑξῆς· ἐπιφέρεται τό· »Προσέχετε*[8] *ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μα-*

---

[1]) Cfr. Jerem. XIV, 22. [2]) Cfr. Dan. III.

[3]) Cfr. Dan. III, 6. [4]) Cfr. Esth. IV, 17.

[5]) Male Cod. Mscr. *καταθρέψωμεν*. R. — Wetst. in textu: *καταθρέψωμεν*, ad marg. vero: „Lege: *καταστρέψωμεν*." — Cfr. Hist. Bel. et Dracon. vers. 14. (Dan. XIV.)

[6]) Cfr. Dan. VI, 22—24. [7]) Cfr. Matth. X, 5.

[8]) Cfr. Matth. X, 17—24.

στιγώσουσιν ὑμᾶς· καὶ ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδώσωσιν [1]) ὑμᾶς, μὴ μεριμνήσητε, πῶς, ἢ τί λαλήσετε· οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς, τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἑτέραν· κἂν ἐκ ταύτης διώκωσι, φεύγετε εἰς τὴν ἄλλην. Ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ τελέσητε [2]) τὰς πόλεις τοῦ Ἰσραὴλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου.« Καὶ ὁ Λουκᾶς δὲ τοιαῦτα ἀναγράφει· »Ὅταν [3]) δὲ φέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς, καὶ τὰς [4]) ἀρχὰς, καὶ τὰς ἐξουσίας, μὴ μεριμνήσητε, πῶς ἀπολογήσησθε, [5]) ἢ τί εἴπητε· τὸ γὰρ ἅγιον πνεῦμα διδάξει ὑμᾶς, ἃ δεῖ εἰπεῖν.« Καὶ μεθ' ἕτερα· »Θέσθε [6]) οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ μελετᾷν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντιστῆναι, [7]) ἢ ἀντειπεῖν πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε [8]) δὲ καὶ ὑπὸ γονέων, καὶ συγγενῶν, καὶ φίλων, καὶ ἀδελφῶν· καὶ θανατώσουσιν ἐξ ὑμῶν. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσεσθε τὰς ψυ-

---

[1]) WVetst. παραδώσουσι. [2]) Ruaeus: τελέσετε.

[3]) Cfr. Luc. XII, 11. 12.

[4]) Cod. Mscr. male: τὰς ταραχάς. R. — WVetst. in textu: τὰς ταραχάς, ad marg. vero: „Lege: τὰς ἀρχάς.“

[5]) WVetst. ἀπολογήσεσθε.

[6]) Cfr. Luc. XXI, 14—19.

[7]) WVetst. et Ruaeus: ἀντισθῆναι.

[8]) WVetst. et Ruaeus: παραδωθήσεσθε.

χὰς ὑμῶν.« Τοιαῦτα δὲ καὶ ὁ Μάρκος φησίν. »Ὅταν [1]) δὲ ἄγωσιν ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε, μηδὲ [2]) προμελετᾶτε· ἀλλ' ὃ ἐὰν δοθῇ [3]) ὑμῖν ἐκείνῃ τῇ ὥρᾳ, ἐκεῖνο λαλεῖτε· οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων, διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.« Καὶ ταῦτα δὲ παρὰ τῷ Ματθαίῳ ἐπὶ μαρτύριον προτρεπόμενα, οὐ πρὸς ἄλλους ἢ τοὺς δώδεκα εἴρηται· ὧν ἀκούειν ἡμᾶς δεήσει, ἐν τῷ ἀκούειν ἐσομένους ἀδελφοὺς τῶν ἀκουσάντων ἀποστόλων καὶ ἀποστόλοις συγκαταριθμηθησομένους. Τὰ δὲ ῥητὰ οὕτως ἔχει· »Μὴ [4]) φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων [5]) τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. Φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.« Καὶ ἑξῆς τούτοις διδάσκει ἡμᾶς ὁ κύριος, ὡς οὐκ ἄνευ προνοίας ἔρχεταί τις ἐπὶ τὸν τοῦ μαρτυρίου ἀγῶνα. Λέγεται γάρ· »Οὐχὶ [6]) δύο στρουθία [7]) ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται εἰς τὴν γῆν ἄνευ τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς; Ὑμῶν δὲ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί. Μὴ οὖν φοβεῖσθε· πολλῶν στρουθίων διαφέρετε ὑμεῖς. Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολο-

---

[1]) Cfr. Marc. XIII, 11—13.

[2]) Wetst. in textu: *μὴ δέ*, ad marg. vero: „Lege: *μηδέ*."

[3]) Wetst. in textu: *δοθ ἡμῖν*, ad marg. vero: „Lege: *δοθῇ ἡμῖν*." Idem in Corrigendis: „Lege: *δοθῇ ὑμῖν*." [4]) Cfr. Matth. X, 28.

[5]) Wetst. in textu: *ἀποκτενόντων*, ad marg. vero: „Lege: *ἀποκτεινόντων*."

[6]) Cfr. Matth. X, 29—33.

[7]) Cod. Mscr. vitiose: *στρουθίου*. R. — Wetst. in textu: *στρουθίου*, ad marg. vero: „Lege: *στρουθία*."

γήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς· ὅστις δ' ἂν ἀπαρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀπαρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.« Ἰσοδυναμεῖ δὲ τούτοις τὰ παρὰ τῷ Λουκᾷ· »ταῦτα[1]) δὲ λέγω ὑμῖν τοῖς φίλοις μου· μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων[2]) τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι. Ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε. Φοβήθητε[3]) τὸν[4]) μετὰ τὸ ἀποκτεῖναι[5]) ἔχοντα ἐξουσίαν ἐμβαλεῖν εἰς γέενναν. Ναὶ λέγω ὑμῖν, τοῦτον φοβήθητε. Οὐχὶ πέντε στρουθία δύο ἀσσαρίων πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ θεοῦ; Ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται. Μὴ οὖν φοβηθῆτε· πολλῶν στρουθίων διαφέρετε. Λέγω δὲ ὑμῖν· Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει[6]) ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ.« Καὶ ἐν ἄλλῳ τόπῳ· »Ὃς[7]) γὰρ ἂν αἰσχυνθῇ με, καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ, καὶ τοῦ πατρὸς, καὶ τῶν ἁγίων ἀγγέλων.« Οἱ ἀναιροῦντες ἡμᾶς, σώματος ζωὴν ἀποκτείνουσι. Τοιοῦτον γάρ ἐστι τό· »Μὴ[8]) φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶ-

---

[1]) Cfr. Luc. XII, 4—9.

[2]) Wetst. in textu: ἀποκτενόντων, ad marg. vero: „Lege: ἀποκτεινόντων."

[3]) Wetst. in textu: φοβήτε, ad marg. vero: „Lege: φοβήθητε." [4]) Wetsten. δέ.

[5]) Wetst. in textu: ἀποκεῖναι, ad marg. vero: „Lege: ἀποκτεῖναι." [6]) Wetst. ὁμολογήσῃ.

[7]) Cfr. Luc. IX, 26. — Deest ἄν in edd. Wetst. et Ruaei.

[8]) Cfr. Matth. X, 28. coll. Luc. XII, 4.

μα·« αὐταῖς λέξεσιν ὑπὸ Ματθαίου καὶ Λουκᾶ εἰρημένον·[1]) καὶ μετὰ τὸ ἀποκτεῖναι τὸ σῶμα, κἂν θέλωσιν, οὐ δύνανται[2]) τὴν ψυχὴν ἀποκτεῖναι· ἀλλ' οὐδὲ ἔχουσι[3]) »περισσότερόν τι ποιῆσαι.« Πῶς γὰρ δυνατὸν ἀναιρεθῆναι ψυχήν, ὑπ' αὐτῆς τῆς ὁμολογίας ζωοποιηθεῖσαν; ἀντιμαρτυροῦντος αὐτῇ[4]) τοῦ προτρεπομένου[5]) ἡμᾶς ἐπὶ τὸ μαρτύριον ἐν τῷ Ἡσαΐᾳ, καὶ τοῦ παιδὸς αὐτοῦ, ἔνθα γέγραπται· »Γένεσθέ[6]) μοι μάρτυρες, κἀγὼ μάρτυς κύριος ὁ θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην.« Καὶ τοῦτο δὲ τήρει, ὅτι οὐ δούλοις τοῦ Ἰησοῦ, ἀλλὰ φίλοις αὐτοῦ δέδοται ἐντολή· »Μὴ[7]) φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων[8]) τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι.« Φοβητέον τοίνυν »τὸν[9]) δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ·« οὗτος γὰρ μόνος, μετὰ »τὸ ἀποκτεῖναι,« »ἔχει[10]) »ἐξουσίαν ἐμβαλεῖν εἰς γέενναν.« Καὶ ἐμβαλεῖ γε τοὺς φοβηθέντας ἀπὸ τῶν ἀποκτεινόντων[11]) τὸ σῶμα, καὶ τοὺς μὴ φοβηθέντας »τὸν[12]) δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ,« καὶ »τὸν[13]) μετὰ τὸ ἀποκτεῖναι ἔχοντα ἐξουσίαν ἐμβαλεῖν εἰς γέεν-

---

[1]) Wetsten. in textu: εἰρημένων, ad marg. vero: „Lege: εἰρημένον."

[2]) Cfr. Matth. X, 28. [3]) Cfr. Luc. XII, 4.

[4]) Wetst. legendum putat: αὐτοῦ, sed stare potest αὐτῇ. R.

[5]) In Cod. Mscr. mendose scriptum est: προτετρεπομένου. R. — Wetst. in textu: προτετρεπομένου, ad marg. vero: „Lege: προτρεπομένου."

[6]) Jesai. XLIII, 10.

[7]) Cfr. Luc. XII, 4. coll. Matth. X, 28.

[8]) Wetst. in textu: ἀποκτενόντων, ad marg. vero: „Lege: ἀποκτεινόντων."

[9]) Cfr. Matth. X, 28. [10]) Cfr. Luc. XII, 5.

[11]) Wetst. in textu: ἀποκτενόντων, ad marg. vero: „Lege: ἀποκτεινόντων."

[12]) Cfr. Matth. X, 28. [13]) Cfr. Luc. XII, 5.

ναν.« *Εἴ τινος δὲ ἄλλου* »τῆς[1]) *κεφαλῆς αἱ τρίχες ἠριθμημέναι εἰσὶ*,« *κἀκείνοις δηλονότι, τοῖς διὰ τὸν Ἰησοῦν ἀποτεμνομένοις, ὁμολογήσομεν ἐν τῷ υἱῷ, τοῦ θεοῦ, καὶ τῶν ἀνθρώπων, καὶ οὐ*[2]) *θεῶν ἔμπροσθεν· ἵν' ἡμᾶς ἀμείψηται ὁ ὁμολογηθεὶς, ὁμολογήσας ἡμᾶς ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἑαυτοῦ, καὶ ὁμολογήσας τὸν ὁμολογήσαντα αὐτὸν ἐπὶ γῆς αὐτὸς ἐν οὐρανοῖς.*

35. *Τίς δ' ἂν λογισάμενος τὰ τοιαῦτα, οὐκ ἐπιφθέγξηται τὸ ἀποστολικὸν ἐκεῖνο, τό·* »*Οὐκ*[3]) *ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς;*« *Πῶς γὰρ οὐ πολλῷ μείζων ὁμολογίας τῆς ἔμπροσθεν ἀνθρώπων ἡ ἔμπροσθεν τοῦ πατρὸς ὁμολογία; Πῶς δ' οὐ καθ' ὑπερβολὴν ὑπερέχουσα τῆς ἐπὶ γῆς ὁμολογίας, ἣν μάρτυρες ὁμολογοῦσι τὸν υἱὸν τοῦ θεοῦ, ἢ*[4]) *ἐν οὐρανοῖς τοῦ ὁμολογηθέντος ὁμολογία; Λογισάμενος δέ τις ἀρνήσασθαι ἔμπροσθεν τῶν ἀνθρώπων, ὑπομιμνησκέσθω τοῦ ἀψευδῶς εἰπόντος·* »*ἀπαρνήσομαι*[5]) *κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.*« *Ἔτι δὲ καὶ τοῦτο θεωρητέον, ὅτι ὁ μὲν ὁμολογῶν ἐν τῷ υἱῷ ἔμπροσθεν τῶν ἀνθρώπων, τὸ ὅσον ἐφ' ἑαυτῷ, συνίστησι Χριστιανισμὸν, καὶ τὸν πατέρα Χριστιανισμοῦ τούτου, ἐφ' ὧν ὁμολογεῖ· ὁ δὲ ὁμολογούμενος ὑπὸ τοῦ πάσης κτίσεως πρωτοτόκου, καὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, συνίσταται διὰ τῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου ὁμολογίας, τῷ ἐν οὐρανοῖς πατρὶ, καὶ τοῖς ἀγγέλοις τοῦ θεοῦ. Εἴπερ δὲ* »*οὐχ*[6]) *ὁ ἑαυτὸν συνιστάνων, ἐκεῖνός ἐστι δόκιμος, ἀλλ' ὃν ὁ κύριος συνίστησι·*« *πῶς*

---

[1]) Cfr. Matth. X, 30. coll. Luc. XII, 7.

[2]) Vocat *οὐ θεούς* idola gentium. Hebraice: לא אלהים Cfr. Jesai. XXXVII, 19. coll. Deut. XXXII, 17. et I Cor. X, 20.

[3]) Cfr. Rom. VIII, 18. [4]) Deest *ἢ* in ed. Ruaei.

[5]) Cfr. Matth. X, 33. [6]) Cfr. II Cor. X, 18.

οὐ χρὴ νομίζειν εἶναι δόκιμον, τὸν ἄξιον κριθέντα τῆς πρὸς τὸν ἐν οὐρανοῖς πατέρα, καὶ τῆς πρὸς τοὺς ἀγγέλους τοῦ θεοῦ συστάσεως; Εἰ[1]) δὲ δόκιμος οὗτος, καὶ οἱ παραπλήσιοι αὐτῷ, οὓς »ὡς[2]) χρυσὸν ἐν χωνευτηρίῳ« ταῖς βασάνοις καὶ ταῖς ἐξετάσεσιν »ἐδοκίμασεν ὁ κύριος, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο·« τί χρὴ λέγειν περὶ τῶν ἐλεγχθέντων ἐν τῇ καμίνῳ τοῦ πειρασμοῦ, καὶ ἀρνησαμένων, οὓς ὡς ἀδοκίμους ἀρνεῖται ἔμπροσθεν τοῦ ἐν οὐρανοῖς πατρὸς, καὶ ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ, ὁ τὸν ἄξιον ἀρνήσεως ἀρνούμενος;

36. Καὶ οὐ μόνον γε πρὸς τὸ μὴ ἀρνήσασθαι ἀγωνιστέον, ἀλλὰ καὶ πρὸς τὸ μηδὲ τὴν ἀρχὴν αἰσχυνθῆναι, νομιζόμενον παρὰ τοῖς ἀλλοτρίοις θεοῦ αἰσχύνης ἄξια πάσχειν· καὶ μάλιστα εἰ δοξασθεὶς καὶ ἀποδεχθεὶς ὑπὸ πλείστων ὅσων πόλεων, νῦν ὥσπερεὶ πομπεύεις, αἴρων τὸν σταυρὸν τοῦ Ἰησοῦ, ἱερὲ Ἀμβρόσιε, καὶ ἀκολουθῶν αὐτῷ, προάγοντι[3]) ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς, ἵνα αὐτός σοι συμπορευθεὶς, αὐτός σοι δῷ καὶ στόμα καὶ σοφίαν, καί σοι τῷ συναγωνιστῇ αὐτοῦ, Πρωτόκτητε, καὶ συμμαρτυροῦσιν[4]) ὑμῖν, τοῖς »ἀναπληροῦσι[5]) τὰ ὑστερήματα τῶν παθημάτων[6]) τοῦ Χριστοῦ,« σὺν ἡμῖν γένηται ἐπὶ τὸν παράδεισον τοῦ θεοῦ,

---

[1]) In Cod. Mscr. deest: *Εἰ*. R. — Deest *Εἰ* in textu Wetst.; idem vero ad marg. „Fortasse: *Εἰ δέ*“ κτλ.

[2]) Cfr. Sap. Sal. III, 6.

[3]) Wetst. in textu: *προάγον τίς ἐπὶ ἡγεμόνας* κτλ., ad marg. vero: „Lege: *προάγοντι ἐπὶ ἡγεμόνας*“ κτλ. — Ad verba praecedentia: *αἴρων τὸν σταυρόν* κτλ., cfr. Matth. X, 38. et XVI, 24.

[4]) Wetst. et Ruaeus in textu: *συμμαρτυροῦσιν ἡμῖν*. Iidem vero, ille ad marg. „Fortasse: *συμμαρτυροῦσιν ὑμῖν*,“ hic vero in notis: „Lego: *συμμαρτυρῶν ὑμῖν*.“

[5]) Cfr. Coloss. I, 24.

[6]) Wetst. ad marg. „Al. *θλίψεων*.“

ὑποδεικνὺς, πῶς ἂν διοδεύσητε »τὰ[1]) Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν, τὴν στρεφομένην καὶ φυλάσσουσαν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς.« Ταῦτα γὰρ ἀμφότερα εἰ καὶ φυλάσσει »τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς,« φυλάσσει, ἵνα μηδεὶς ἀνάξιος ἐπιτραπῇ τὴν αὐτὴν διελθὼν ἐλθεῖν ἐπὶ τὸ ξύλον τῆς ζωῆς. Ἡ μὲν γὰρ φλογίνη ῥομφαία καθέξει τοὺς ἐποικοδομήσαντας[2]) τῷ κειμένῳ θεμελίῳ Ἰησοῦ Χριστῷ „ξύλα, ἢ χόρτον, ἢ καλάμην,“ καὶ τὸ εὐκαυστότατον καὶ ἐπὶ πλεῖον καιόμενον ξύλον τῆς, ἵν' οὕτως ὀνομάσω, ἀρνήσεως· τὰ δὲ Χερουβὶμ τοὺς οὐ πεφυκότας κρατεῖσθαι ὑπὸ τῆς φλογίνης ῥομφαίας, τῷ μηδὲν συγγενὲς αὐτῇ ᾠκοδομηκέναι, παραλαβόντα, παραπέμψει ἐπὶ τὸ τῆς ζωῆς ξύλον, καὶ „πάντα[3]) ἃ ἐφύτευσεν ὁ Θεὸς ἐν ταῖς ἀνατολαῖς, καὶ ἐξανέτειλεν ἐκ τῆς γῆς.“ Ἰησοῦ δὲ συνοδεύοντος ὑμῖν ἐπὶ τὸν παράδεισον, καταφρονήσετε τοῦ ὄφεως νενικημένου καὶ συντριβέντος[4]) ὑπὸ τοὺς Ἰησοῦ πόδας, καὶ δι' αὐτὸν[5]) καὶ ὑπὸ τοὺς ἡμετέρους· δεδωκότος[6]) ἡμῖν „ἐξουσίαν πατεῖν[7]) ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· ἵνα μηδὲν ὑμᾶς[8]) αὐτῶν ἀδικήσῃ.“

---

[1]) Gen. III, 24. [2]) Cfr. I Cor. III, 12. coll. 11.

[3]) Cfr. Gen. II, 8. 9. [4]) Cfr. Rom. XVI, 20.

[5]) Wetsten. ad marg., Ruaeus in notis: „Forte legendum: *αὐτοῦ*.“ Wetst. insuper in Corrigendis: „Vertendum: *et per ipsum*. Non modo quia sic non raro verti potest ac debet (?) *διά*, licet quarto casu constructum; sed quia sequens Participium: *δεδωκότος*, procul dubio postulat, ut praecedens Pronomen in Genitivo (*αὐτοῦ*) legatur et scribatur.“

[6]) Cfr. Luc. X, 19.

[7]) De diabolo hoc dictum explicare solet Origenes. Vide lib. VII. contra Cels. num. 57. et num. 70, et post eum Theodoretum, Haeret. fab. lib. V. cap. 8., Bedam Tom V. in Luc. X.

[8]) Wetst. ad marg. „Lege: *ἡμᾶς*.“ Ruaeus in notis: „Forte legendum: *ἡμᾶς*.“

37. *Οὔτ' οὖν ἀρνητέον τὸν υἱὸν τοῦ θεοῦ, οὔτε ἐπαισχυντέον αὐτὸν, ἢ τοὺς λόγους αὐτοῦ, ἀλλ' ἀκουστέον τοῦδε· „Ὅστις*[1] *δ' ἂν ἀπαρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀπαρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου, τοῦ ἐν τοῖς οὐρανοῖς· καὶ τοῦ· „Ὃς*[2] *γὰρ ἂν ἐπαισχυνθῇ ἐμὲ καὶ τοὺς ἐμοὺς,*[3] *τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ, καὶ τοῦ πατρὸς, καὶ τῶν ἁγίων ἀγγέλων·" Καὶ ὁ Ἰησοῦς δέ ποτε „ὑπέμεινε*[4] *σταυρὸν, αἰσχύνης καταφρονήσας," καὶ διὰ τοῦτο „ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ·" καὶ οἱ μιμηταὶ δὲ αὐτοῦ αἰσχύνης καταφρονοῦντες, συγκαθεδοῦνται αὐτῷ, καὶ συμβασιλεύσουσιν ἐν τοῖς οὐρανοῖς τῷ ἐλθόντι*[5] *»οὐκ εἰρήνην ἐπὶ τὴν γῆν βαλεῖν, ἀλλὰ μάχαιραν.« Ἐπεὶ γὰρ »ὁ*[6] *λόγος τοῦ θεοῦ ζῶν, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διῒκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας·« οὗτος μάλιστα νῦν »εἰρήνην*[7] *μὲν τὴν ὑπερέχουσαν πάντα νοῦν,« ἣν ἀφῆκε*[8] *τοῖς ἀποστόλοις ἑαυτοῦ, βραβεύει ταῖς ψυχαῖς ἡμῶν· μάχαιραν δὲ ἔβαλε μεταξὺ τῆς τοῦ χοϊκοῦ*[9] *εἰκόνος, καὶ τοῦ ἐπουρανίου· ἵν' ἐπὶ τοῦ παρόντος τὸν*[10] *ἐπουράνιον*[11] *ἡμῶν παραλαβὼν, ὕστερον ἀξίους γενομένους τοῦ μὴ διχοτομηθῆναι*[12] *ἡμᾶς,*

[1]) Cfr. Matth. X, 33. coll. Luc. XII, 9.

[2]) Cfr. Luc. IX, 26.

[3]) Vulgatus Lucae textus graecus post *ἐμούς* addit *λόγους*, sed deest *λόγους* etiam in Cod. Mscr. Cantabrigiensi. R. — WWetst. ad marg. „Fortasse: *ἐμοὺς λόγους*."

[4]) Cfr. Hebr. XII, 2. [5]) Cfr. Matth. X, 34.

[6]) Cfr. Hebr. IV, 12. [7]) Cfr. Philipp. IV, 7.

[8]) Cfr. ev. Joann. XIV, 27.

[9]) Cfr. I Cor. XV, 49.

[10]) WWetst. ad marg. „Fortasse: *τήν*."

[11]) WWetst. ad marg. „Lege: *ὑπουράνιον*."

[12]) Cfr. Luc. XII, 46.

ἐξ ὅλων ποιήσῃ ἐπουρανίους. Καὶ οὐ μόνον »μάχαιραν [1]) ἦλθε βαλεῖν ἐπὶ τὴν γῆν,« ἀλλὰ καὶ πῦρ, περὶ οὗ φησι· »Θέλω, [2]) εἰ ἤδη ἀνήφθη.« Ἀναφθήτω τοιγαροῦν τοῦτο τὸ πῦρ καὶ ἐν ὑμῖν, ἐξαφανίζον πάντα γήϊνον καὶ φιλοσώματον λογισμὸν ὑμῶν· καὶ τὸ βάπτισμα, περὶ οὗ ὁ Ἰησοῦς συνείχετο [3]) »ἕως τελεσθῇ,« μετὰ πάσης προθυμίας βαπτίσασθε. Καὶ σὺ μὲν ὁ ἔχων γυναῖκα, καὶ τέκνα, καὶ ἀδελφοὺς, καὶ ἀδελφὰς, μέμνησο τοῦ· »Εἴ [4]) τις ἔρχεται πρὸς μὲ, καὶ οὐ μισεῖ τὸν πατέρα, καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς, καὶ τὰς ἀδελφὰς, οὐ δύναταί μου μαθητὴς εἶναι·« ἀμφότεροι δὲ, τοῦ· »Εἴ [5]) τις ἔρχεταί πρὸς μὲ, καὶ οὐ μισεῖ« πρὸς τοῖς προτέροις, ἔτι »καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου μαθητὴς εἶναι.« Ἀλλ' οὕτω μισήσατε τὴν ἑαυτῶν ψυχὴν, ὡς διὰ τοῦ μισεῖν, εἰς ζωὴν αἰώνιον φυλάσσειν αὐτήν. »Ὁ [6]) γὰρ μισῶν, φησὶ, τὴν ἑαυτοῦ ψυχὴν, εἰς ζωὴν αἰώνιον φυλάσσει αὐτήν.« Οὐκοῦν τὴν ψυχὴν διὰ τὴν αἰώνιον ζωὴν μισήσατε· πειθόμενοι, ὅτι καλὸν καὶ ὠφέλιμον μῖσος διδάσκει μισεῖν ὁ Ἰησοῦς. Ὥσπερ δὲ ὑπὲρ τοῦ φυλαχθῆναι εἰς ζωὴν αἰώνιον τὴν ψυχὴν, μισητέον ἡμῖν ἔσται αὐτήν· οὕτω γυναῖκα, καὶ τέκνα, καὶ ἀδελφοὺς, καὶ ἀδελφὰς μίσησον, ὁ ἔχων ταῦτα· ἵν' ὠφελήσῃς τοὺς μισουμένους, δι' αὐτοῦ τοῦ μεμισηκέναι παῤῥησίαν ἀναλαμβάνων πρὸς τὸ εὐεργετεῖν αὐτοὺς, φίλος γενόμενος θεῷ.

38. Ἅμα δὲ καὶ ὑπομιμνήσκου τοῦ εὐξαμένου ἐν πνεύματι περὶ τέκνων μαρτύρων διὰ τὴν πρὸς θεὸν ἀγάπην αὐτῶν καταλελειμμένων, καὶ φήσαντος· »Πε-

---

[1]) Cfr. Matth. X, 34. [2]) Cfr. Luc. XII, 49.
[3]) Cfr. Luc. XII, 50.
[4]) Cfr. Luc. XIV, 26.
[5]) Cfr. Luc. XIV, 26.
[6]) Cfr. ev. Joann. XII, 25.

ριποίησαι [1]) τοὺς υἱοὺς τῶν τεθνατωμένων.« *Μόνον δὲ ἴσθι, ὅτι* »οὐ [2]) *τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα θεοῦ·*« *καὶ ὅτι ὥσπερ λέγεται τοῖς ἐκ σπέρματος Ἀβραὰμ τότε·* »*Οἶδα,* [3]) *ὅτι σπέρμα Ἀβραάμ ἐστε·*« *καὶ τό·* »*Εἰ* [4]) *τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε·*« *οὕτω καὶ τοῖς τέκνοις σου λεχθήσεται· Οἶδα, ὅτι σπέρμα Ἀμβροσίου* [5]) *ἐστέ· καὶ τό· Εἰ τέκνα τοῦ Ἀμβροσίου ἐστὲ, καὶ ἔργα τοῦ Ἀμβροσίου ποιεῖτε· καὶ τάχα ποιήσουσι, πλείω ὠφελοῦντός σου αὐτοὺς μετὰ τὴν τοιαύτην ἔξοδον, ἢ εἰ παρέμενες αὐτοῖς. Τότε γὰρ καὶ ἐπιστημονικώτερον αὐτὰ ἀγαπήσεις, καὶ συνετώτερον περὶ αὐτῶν εὔξῃ, ἐὰν μάθῃς, ὅτι τέκνα σού ἐστι, καὶ οὐ σπέρμα μόνον. Ἀνὰ στόμα νῦν ἔχε, τό·* »*Ὁ* [6]) *φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος·*« *καὶ τό·* »*Ὁ* [7]) *εὑρὼν τὴν ψυχὴν αὐτοῦ,* [8]) *ἀπολέσει αὐτήν· καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ* [9]) *ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν.*«

39. *Τόπον διὰ τῆς εἰς τὸ μαρτύριον προθυμίας δότε τῷ* [10]) *τοῦ πατρὸς ὑμῶν πνεύματι, λαλοῦντι τοῖς διὰ θεοσέβειαν παραδοθεῖσιν. Ἐὰν εἰδῆτε ἑαυτοὺς μισουμένους, καὶ βδελυκτοὺς, καὶ ἀσεβεῖς εἶναι νομιζομένους, τότε ἀναλάβετε τό·* »*Διὰ* [11]) *τοῦτο ὁ κόσμος ὑμᾶς μισεῖ, ὅτι οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου· εἰ γὰρ ἦτε*

---

[1]) Psalm. LXXIX, 11. (LXXVIII.)

[2]) Cfr. Rom. IX, 8. [3]) Ev. Joann. VIII, 37.

[4]) Ev. Joann. VIII, 39.

[5]) Wetst. perperam: *Ἀμβροσίου ἐστέ· καὶ τό· Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε· οὕτω καὶ τοῖς τέκνοις σου λεχθήσεται· Οἶδα, ὅτι σπέρμα Ἀμβροσίου ἐστέ· καὶ τό· Εἰ τέκνα τοῦ Ἀμβροσίου ἐστὲ, καὶ ἔργα τοῦ Ἀμβροσίου ποιεῖτε· καὶ τάχα κτλ.*

[6]) Matth. X, 37. [7]) Matth. X, 39.

[8]) Wetst. *αὐτοῦ.* [9]) Wetst. *αὐτοῦ.*

[10]) Cfr. Matth. X, 20.

[11]) Cfr. ev. Joann. XV, 19.

ἐκ τοῦ κόσμου τούτου, ὁ κόσμος [1]) ἂν τὸ ἴδιον ἐφίλει.“ Πολλαὺς ὀνειδισμοὺς διὰ Χριστὸν, καὶ πολλοὺς κινδύνους, ἐξ οὗ πεπιστεύκατε, ὑπομείναντες, ἕως τέλους ἐν τῷ ὑπομένειν προκόψατε, ὅτι „ὁ [2]) ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.“ Ἴστε ὅτι, κατὰ τὸν Πέτρον, ἀγαλλιάσεσθε [3]) „ὀλίγον ἄρτι, εἰ δέον ἐστὶ, λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δοκίμιον [4]) ὑμῶν [5]) τῆς πίστεως, πολὺ τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου, καὶ διὰ πυρὸς δεδοκιμασμένου, [6]) εὑρεθῇ εἰς ἔπαινον καὶ δόξαν καὶ τιμὴν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ.“ Ἀλλὰ τό· »λυπηθέντες·“ [7]) ἀντὶ τοῦ· »πονήσαντες·“ [8]) ἀκούσατε· ὡς δῆλον καὶ ἐκ τοῦ· »ἐν [9]) λύπαις τέξῃ τέκνα.“ Οὐ γὰρ πάντως ἐν λύπῃ τῷ πάθει τίκτει γυνὴ, ἀλλὰ ἐν πόνῳ. »Μὴ [10]) ἀγαπᾶτε γὰρ, φησὶ, τὸν κόσμον, μηδὲ [11]) τὰ ἐν τῷ κόσμῳ. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ· ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρὸς, ἀλλ' ἐκ τοῦ κόσμου ἐστί. Καὶ ὁ κόσμος παράγεται, καὶ ἡ ἐπιθυμία.“ Μὴ οὖν ἀγαπᾶτε τὰ παραγόμενα, ἀλλὰ ποιοῦντες τὸ θέλημα τοῦ θεοῦ, ἄξιοι γίνεσθε τοῦ ἐν γενέσθαι ἅμα υἱῷ, καὶ πατρὶ, καὶ ἁγίῳ πνεύματι, κατὰ τὴν τοῦ σωτῆρος εὐ-

---

[1]) Wetst. in textu: *κόμος*, ad marg. vero: „Lege: *κόσμος*.“

[2]) Matth. X, 22. coll. XXIV, 13.

[3]) Cfr. I Petr. I, 6. 7.

[4]) Wetst. in textu: *δικίμιον*, ad marg. vero: „Lege: *δοκίμιον*.“

[5]) Wetst. et Ruaeus in textu: *ἡμῶν*. Wetst. vero in Erratis: „Lege: *ὑμῶν*.“

[6]) Wetst. in textu: *δεδοκιμασμένον*, in Erratis vero: „Lege: *δεδοκιμασμένου*.“

[7]) Cfr. I Petr. I, 6. [8]) Wetst. *πονέσαντες*.

[9]) Gen. III, 16. [10]) Cfr. I Joann. II, 15—17.

[11]) Wetst. *μὴ δέ*.

χὴν,[1]) λέγοντος· »ὡς[2]) ἐγὼ καὶ σὺ ἕν ἐσμεν, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν[3]) ὦσι.« Πόσας δὲ καὶ ἡμέρας ἐστὶ κερδῆσαι ἀγαπήσαντα τὸν κόσμον, ἢ τὰ ἐν τῷ κόσμῳ, καὶ τὴν ἑαυτοῦ ψυχὴν ζημιούμενον, ἢ ἀπολλύντα, καὶ περιφέροντα συνειδὸς βαρούμενον ὑπὲρ φορτίον βαρὺ καὶ ὑπὸ τῆς ἀρνήσεως πτώματος; Ὑπομνησθῶμεν ἕκαστος, ὁσάκις ἀποθανεῖν τὸν κοινὸν θάνατον ἐκινδύνευσε, καὶ λογισώμεθα, μήποτε διὰ τοῦτο ἐιηρήθημεν, ἵνα βαπτισάμενοι τῷ ἑαυτῶν αἵματι, καὶ ἀπολουσάμενοι πᾶσαν ἁμαρτίαν, παρὰ τῷ ἐν οὐρανοῖς θυσιαστηρίῳ[4]) τὰς διατριβὰς μετὰ τῶν συναγωνισαμένων ποιησώμεθα.

40. Εἰ δέ τις ἐνδοὺς ἀπὸ πολλῆς φιλοζωΐας, ἢ τῆς πρὸς τοὺς πόνους μαλακίας, ἢ τῶν νομιζομένων πιθανῶς προσάγεσθαι ὑπὸ τῶν ἀναπειθόντων ἡμᾶς ἐπὶ τὰ χείρονα, ἀρνήσαιτο μὲν τὸ, εἶναι ἕνα θεὸν, καὶ τὸν Χριστὸν αὐτοῦ, ὁμολογήσαι δὲ δαιμόνια, ἢ τύχας· ἴσθω ὅτι οὗτος ἑτοιμάζων τῷ δαίμονι τράπεζαν, καὶ πληρῶν τῇ τύχῃ κέρασμα, ἐγκατέλιπε κύριον· καὶ ἐπιλανθανόμενος τοῦ[5]) ὄρους τοῦ ἁγίου αὐτοῦ, τούτοις τοῖς ἐλέγχοις ὑποκείσεται, οὓς Ἡσαΐας τοῦτον τὸν τρόπον ἀνέγραψε· »Ὑμεῖς[6]) δὲ οἱ ἐγκαταλιπόντες με, καὶ ἐπιλανθανόμενοι τὸ ὄρος τὸ ἅγιόν μου, καὶ ἑτοιμάζοντες τῷ δαίμονι τράπεζαν, καὶ πληροῦντες τῇ τύχῃ κέρασμα, ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν. Πάντες ἐν σφαγῇ πεσεῖσθε· ὅτι ἐκάλεσα ὑμᾶς, καὶ οὐχ ὑπηκούσατε· ἐλάλησα, καὶ παρηκούσατε, καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον μου· καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξασθε. Διὰ τοῦτο

---

[1]) Wetst. in textu: εὖχην, ad marg. vero: „Lege: ὐχήν.“

[2]) Cfr. ev. Joann. XVII, 21. 22.

[3]) Deest ἕν in edd. Wetst. et Ruaei.

[4]) Cfr. Apoc. VI, 9. [5]) Wetsten. τοὺς ὄρους.

[6]) Cfr. Jesai. LXV, 11—15.

τάδε λέγει κύριος· Ἰδοὺ, οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε. Ἰδοὺ, οἱ δουλεύοντές μοι εὐφρανθήσονται· ὑμεῖς δὲ αἰσχυνθήσεσθε. Ἰδοὺ, οἱ δουλεύοντές μοι ἀγαλλιάσονται ἐν εὐφροσύνῃ· ὑμεῖς δὲ κεκράξεσθε διὰ τὸν πόνον τῆς καρδίας, καὶ ἀπὸ συντριβῆς πνεύματος ὀλολύξετε. Καταλείψετε γὰρ τὸ ὄνομά μου εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου· ὑμᾶς δὲ ἀνελεῖ κύριος.« Ἀλλὰ καὶ εἴπερ νοοῦντες,[1] τίς ἡ τοῦ κυρίου τράπεζα, μετέχειν αὐτῆς βουλόμεθα, γινώσκωμεν[2] τό· »Οὐ[3] δύνασθε κυρίου τραπέζης μετέχειν, καὶ τραπέζης δαιμονίων.« Τίς δὲ ἀκούσας τοῦ τῆς βροντῆς υἱοῦ Ἰωάννου λέγοντος· »Πᾶς[4] ὁ ἀρνούμενος τὸν υἱὸν, οὐδὲ τὸν πατέρα ἔχει· ὁ δὲ ὁμολογῶν τὸν υἱὸν, καὶ τὸν πατέρα ἔχει·« οὐ φοβηθήσεται, διὰ τοῦ λέγειν μὴ εἶναι Χριστιανὸς, ἀρνήσασθαι τὸν υἱὸν, ἐν τῷ ἀρνεῖσθαι αὐτὸν, οὐχ ἕξων[5] τὸν πατέρα; Καὶ τίς οὐκ ἂν προτραπείη ὁμολογῶν[6] τὸ εἶναι Χριστιανὸς ἔργοις καὶ

---

[1]) Vide Origenem lib. VIII. contra Cels. num. 24. 25., ubi contra Idolothytorum esum, locum Pauli 1 Cor. VIII. pluribus urget. Adi ejusdem libri num. 30.

[2]) Wetst. γινώσκομεν. [3]) I Cor. X, 21.

[4]) Cfr. 1 Joann. II, 23. [5]) Wetst. ἕξειν.

[6]) Wetst. et Ruaeus in textu: ὁμολογῶν, Ruaeus vero solus in notis: „Lego: ὁμολογεῖν.“ — Isidorus, Orig. lib. VII. cap. XIII. p. 1007. „Non se glorietur Christianum, qui nomen habet et facta non habet. Ubi autem nomen secutum fuerit opus, certissime ille est Christianus.“ Praeponit Origenes facta verbis. Sic Athenagoras, Leg. pro Christ. pag. 14. de Ethnicis: Ἀεί τι ἐργάσασθαι ἐπιθυμοῦντες, κακὸν, τέχνην λόγων, καὶ οὐκ ἐπίδειξιν ἔργων, τὸ πρᾶγμα πεποιημένοι. De Christianis vero: Οὐ λόγους διαμνημονεύουσιν, ἀλλὰ πράξεις ἀγαθὰς ἐπιδεικνύουσιν. Et pag. 41. Οὐ μελέτῃ λόγων, ἀλλ' ἐπιδείξει καὶ διδασκαλίᾳ ἔργων τὰ ἡμέτερα. Talem fuisse Origenem docet Gregorius Thaumaturgus, in

λόγοις, ἵνα καὶ τὸν πατέρα ἔχῃ; Οἱ γὰρ ὁμολογοῦντες, ἔχουσι τὸν πατέρα.

41. Εἰ μεταβεβήκαμεν[1]) »ἐκ τοῦ θανάτου, εἰς τὴν ζωὴν,« διὰ τοῦ μεταβεβηκέναι ἀπὸ ἀπιστίας εἰς πίστιν, μὴ θαυμάζωμεν, εἰ μισεῖ ἡμᾶς ὁ[2]) κύσμος. Οὐδεὶς γὰρ μὴ μεταβὰς »ἐκ[3]) τοῦ θανάτου εἰς τὴν ζωὴν,« ἀλλὰ μένων ἐν τῷ θανάτῳ, δύναται ἀγαπᾷν τοὺς μεταβεβηκότας ἀπὸ σκοτεινῆς τῆς τοῦ θανάτου, ἵν' οὕτως ὀνομάσω, οἰκίας, ἐπὶ τὰ πεπληρωμένα οἰκοδομήματα ἐκ λίθων[4]) ζώντων φωτὸς ζωῆς. »Ὑπὲρ[5]) ἡμῶν ἔθηκεν Ἰησοῦς τὴν ψυχήν·« καὶ ἡμεῖς οὖν θῶμεν αὐτὴν, οὐκ ἐρῶ ὑπὲρ αὐτοῦ, ἀλλ' ὑπὲρ ἑαυτῶν· οἶμαι δ' ὅτι κἂν ὑπὲρ τῶν ἐν τῷ μαρτυρίῳ ἡμῶν οἰκοδομηθησομένων. Ἐνέστη ἡμῖν καιρὸς Χριστιανῶν καυχήσεων. »Οὐ[6]) μόνον γὰρ, φησὶ, ἀλλὰ καὶ καυχώμενοι ἐν ταῖς θλίψεσιν· εἰδότες, ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ, ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει· μόνον ἡ ἀγάπη τοῦ θεοῦ ἐκκεχύσθω ἐν ταῖς καρδίαις ἡμῶν διὰ τοῦ πνεύματος ἁγίου.« Παῦλος μὲν λεγέτω· »Εἰ[7]) κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ·« ἡμεῖς δέ· Εἰ κατὰ ἄνθρωπον ἀνῃρέθην ἐν Γερμανίᾳ.[8])

Panegyrico: *Οὐχ οὕτως οὗτος τὰ περὶ ἀρετῶν ἡμῖν διεξῄει λόγοις· ἐπὶ δὲ τὰ ἔργα μᾶλλον παρεκάλει· καὶ παρεκάλει πλέον τοῖς ἔργοις, ἢ οἷς ἔλεγεν.* Quae confirmat Eusebius, Hist. Eccl. lib. VI. cap. 3., et Niceph. Callist. Hist. Eccles. lib. V. cap. IV. Wetst.

[1]) Cfr. ev. Joann. V, 24.

[2]) Male in Cod. Mscr. scriptum est: *ὁ κύριος* R. — Wetst. in textu: *ὁ κύριος*, ad marg. vero: „Lege: *ὁ κόσμος.*"

[3]) Cfr. ev. Joann. V, 24. [4]) Cfr. I Petr. II, 5.

[5]) Cfr. I Joann. III, 16. [6]) Cfr. Rom. V, 3—5.

[7]) I Cor. XV, 32.

[8]) Vide Origenianorum lib. I. cap. III. num. IV. coll. not. Wetst.

42. *Εἰ »καθὼς*[1]*) περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ, οὕτω διὰ τοῦ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις·« προθυμότατα παραδεξώμεθα τὰ Χριστοῦ παθήματα, καὶ περισσευσάτω ἐν ἡμῖν· εἴπερ ὀρεγόμεθα περισσῆς παρακλήσεως, ἣν πάντες μὲν οἱ πενθοῦντες*[2]*) παρακληθήσονται· τάχα δὲ οὐκ ἐπίσης. Εἰ γὰρ ἐπίσης ἦν ἡ παράκλησις, οὐκ ἂν ἐγέγραπτο τό· »καθὼς*[3]*) περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω περισσεύει καὶ ἡ παράκλησις ἡμῶν.« Οἱ κοινωνοὶ τῶν παθημάτων, κατὰ τὴν ἀναλογίαν τῶν παθημάτων, ὧν εἰσι κοινωνοὶ πρὸς Χριστὸν, κοινωνοὶ ἔσονται καὶ τῆς παρακλήσεως· ἃ καὶ μανθάνετε ἀπὸ τοῦ πεπιστευμένως τὰ τοιαῦτα λέγοντος· »Οἴδαμεν*[4]*) γὰρ, ὡς κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως.« Φησὶ δὲ διὰ προφήτου ὁ θεός· »Καιρῷ*[5]*) δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι.« Ποῖος οὖν ἄλλος εὐπρόσδεκτος καιρὸς, ἢ ὅτε διὰ τὴν εἰς θεὸν ἐν Χριστῷ εὐσέβειαν ὑπὸ φρουρὰν πομπεύοντες ἐν τῷ κόσμῳ, καὶ θριαμβεύοντες μᾶλλον, ἤπερ θριαμβευόμενοι, ἀπαγόμεθα; Οἱ γὰρ ἐν Χριστῷ μάρτυρες, συναπεκδύονται*[6]*) αὐτῷ »τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας,« καὶ συνθριαμβεύουσιν, ὡς κοινωνοὶ τῶν παθημάτων αὐτοῦ γινόμενοι, οὕτω καὶ τῶν ἐν τοῖς παθήμασιν*[7]*) αὐτοῦ ἀνδραγαθημάτων· ἐξ ὧν ἐστι καὶ τὸ θριαμβεῦσαι τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας· ἃς μετ' ὀλίγον ὄψεσθε νενικημένας, καὶ κατισχυμένας. Ποία ἄλλη οὕτως ἡμέρα σωτηρίας, ὡς ἡμέρα τῆς τοιαύτης ἡμῶν ἐντεῦθεν ἀπαλλαγῆς; Ἀλλὰ παρακαλῶ· »Μηδεμίαν*[8]*)*

---

[1]) Cfr. II Cor. I, 5. [2]) Cfr. Matth. V, 4.
[3]) Cfr. II Cor. I, 5. [4]) Cfr. II Cor. I, 7.
[5]) Jesai. XLIX, 8. coll. II Cor. VI, 2.
[6]) Cfr. Coloss. II, 15.
[7]) Cod. Mscr. mendose habet: *πάθησιν*. R. — Wetst. in textu: *πάθησιν*, ad marg. vero: „Lege: *παθήμασιν*.“
[8]) Cfr. II Cor. VI, 3. 4. — Cod. Mscr. male: *μη-*

ἐν μηδενὶ δῶτε προσκοπὴν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, ἀλλὰ ἐν παντὶ ἑαυτοὺς συστήσασθε,[1]) ὡς θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ· « λέγοντες·[2]) »καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ κύριος;« Πειθόμενοι,[3]) ὅτι »πολλαὶ[4]) αἱ θλίψεις τῶν δικαίων·« »ἐν[5]) ἀνάγκαις,« ἵν' ὡς ἀναγκαίαν ἡμῖν τὴν μακαριότητα ἀναιτήσωμεν· »ἐν[6]) στενοχωρίαις« καὶ τὴν στενὴν[7]) καὶ τεθλιμμένην ἀπαραλείπτως ὁδεύσαντες, καταντήσωμεν ἐπὶ τὴν ζωήν. Ἐὰν δέον ᾖ, συστήσωμεν ἑαυτοὺς »ἐν[8]) κόποις, καὶ ἐν ἀγρυπνίαις, καὶ ἐν νηστείαις.« »Ἰδοὺ[9]) γὰρ κύριος, καὶ ὁ μισθὸς ἐν χειρὶ αὐτοῦ, ἀποδοῦναι ἑκάστῳ, ὡς τὰ ἔργα αὐτοῦ ἐστι.«

43. Νῦν δείξωμεν, ὅτι γνῶσιν διὰ ἔργα πρέποντα τῇ γνώσει ἐποθήσαμεν. Πᾶσα ἀγνότης φανερωθήτω ἐν ἡμῖν. Ὡς μακροθύμου θεοῦ υἱοὶ, καὶ μακροθύμου Χριστοῦ ἀδελφοὶ, μακροθυμήσωμεν ἐν πᾶσι τοῖς συμβαίνουσι. »Μακρόθυμος[10]) γὰρ ἀνὴρ, πολὺς ἐν φρονήσει· ὁ δὲ ὀλιγόψυχος, ἰσχυρῶς ἄφρων.« Εἰ δεῖ ἑαυτὸν συνιστάναι „διὰ[11]) τῶν ὅπλων τῆς δικαιοσύνης τῶν

δεμίας. R. — Wetst. in textu: μηδεμίας, ad marg. vero: „Lege: μηδεμίαν."

[1]) Cod. Mscr. perperam: συστημάσασθε. R. — Wetst. in textu: συστημάσασθε, ad marg. vero: „Lege: συστήσασθε."

[2]) Wetst. et Ruaeus in textu, ille: λέγοντες δὲ νῦν, τίς κτλ., hic: λέγοντες· νῦν δὲ τίς κτλ. Iidem vero, ille ad marg. „Lege," hic in notis: „Legendum videtur: λέγοντες· καὶ νῦν τίς" κτλ. — Cfr. Psalm. XXXIX, 7. (XXXVIII.)

[3]) Wetst. ad marg., uncis appositis: ἐν θλίψεσιν. — Non male. Cfr. II Cor. VI, 4.

[4]) Psalm. XXXIV, 19. (XXXIII.)

[5]) II Cor. VI, 4. [6]) II Cor. VI, 4.

[7]) Cfr. Matth. V, 14. [8]) Cfr. II Cor. VI, 5.

[9]) Cfr. Jesai. XL, 10. coll. LXII, 11. et Apoc. XXII, 12.

[10]) Cfr. Prov. XIV, 29. [11]) Cfr. II Cor. VI, 7.

δεξιῶν καὶ ἀριστερῶν·" συστήσαντες ἑαυτοὺς „διὰ [1]) δόξης," καὶ μὴ χαυνωθέντες ἐπ' αὐτῇ, νῦν δὲ τὴν ἀτιμίαν [2]) ὑπομείνωμεν· ἀλλ' εἰ καὶ εὐφημίας [3]) ἀξίως ἐπολιτευσάμεθα καὶ εὐφημήθημεν, νῦν δὲ τῆς ἀπὸ τῶν δυσσεβῶν δυσφημίας [4]) ἀνασχώμεθα. Ἔτι δὲ εἰ ὡς ἀληθεῖς παρὰ τοῖς φιλαληθέσιν [5]) ἐθαυμάσθημεν· νῦν ἐπὶ τῷ λέγεσθαι ἡμᾶς πλανᾶσθαι [6]) γελάσωμεν. Ἐπὶ πολλοῖς κινδύνοις ἀφ' ὧν ἐρρύσθημεν, πολλοὶ εἶπον ἡμᾶς ἀπὸ θεοῦ ἐπιγινώσκεσθαι· [7]) νῦν ὁ βουλόμενος λεγέτω ἡμᾶς ἀγνοεῖσθαι, [8]) ὅτε τάχα μᾶλλον ἐπιγινωσκόμεθα. [9]) Φέροντες γοῦν τὰ συμβαίνοντα, παιδευόμεθα [10]) μὲν, οὐ θανατούμεθα [11]) δέ· καὶ ὁμοιούμεθα λυπουμένοις [12]) οἱ χαίροντες.

44. Φησί [13]) που ὁ Παῦλος πρὸς τοὺς ἐν ἀρχῇ ὑπομείναντας, παρακαλῶν αὐτοὺς ἀκολούθως τῇ προτέρᾳ ὑπομονῇ φέρειν κινδύνους δευτέρους τοὺς διὰ τὸν λόγον· »Ἀναμιμνήσκεσθε [14]) δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων· τοῦτο μὲν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι· τοῦτο δὲ, κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. Καὶ γὰρ τοῖς δεσμοῖς συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν [15]) ὑπαρχόντων ὑμῶν μετὰ χα-

---

[1]) Cfr. II Cor. VI, 8. [2]) Cfr. II Cor. VI, 8.
[3]) Cfr. II Cor. VI, 8. [4]) Cfr. II Cor. VI, 8.
[5]) Cfr. II Cor. VI, 8. [6]) Cfr. II Cor. VI, 8.
[7]) Cod. Mscr. perperam: ἐπινώσκεσθαι. R. — Wetst. in textu: ἐπινώσκεσθαι, ad marg. vero: »Lege: ἐπιγινώσκεσθαι.« Cfr. II Cor. VI, 9.
[8]) Cfr. II Cor. VI, 9. [9]) Cfr. II Cor. VI, 9.
[10]) Cfr. II Cor. VI, 9. [11]) Cfr. II Cor. VI, 9.
[12]) Cfr. II Cor. VI, 10.
[13]) Vide Origenis epist. ad Africanum num. 9. coll. not. Wetst.
[14]) Cfr. Hebr. X, 32—36.
[15]) Wetst. in textu: τῶν ὑμῶν, μετὰ κτλ., ad marg. vero: »Alias: τῶν ὑπαρχόντων ὑμῶν μετὰ« κτλ.

ρᾶς προσεδέξασθε· γινώσκοντες, ὅτι κρείττονα ἔχετε ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν. Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μεγάλην μισθαποδοσίαν. Ὑπομονῆς γὰρ ἔχετε χρείαν.« *Πολλὴν τοιγαροῦν καὶ ἡμεῖς νῦν ἄθλησιν ὑπομείνωμεν παθημάτων, ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι, καὶ μετὰ χαρᾶς παραδεχόμενοι τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ἡμῶν·* [1]) *πειθόμεθα γὰρ κρείττονα ἔχειν ὕπαρξιν οὐ γηΐνην, ἀλλ' οὐδὲ σωματικὴν, ἀλλά τινα ἀόρατον καὶ ἀσώματον. Σκοποῦμεν* [2]) *γὰρ οὐ τὰ βλεπόμενα ὁρῶντες· ταῦτα μὲν πρόσκαιρα· ἐκεῖνα δὲ αἰώνια.*

45. *Ἐπεὶ δέ τινες μὴ θεωροῦντες τὸν περὶ τῶν δαιμόνων λόγον· καὶ ὡς ὑπὲρ τοῦ παραμένειν ἐν* [3]) *τῷ*

---

[1]) Wetst. *ὑμῶν.* [2]) Cfr. II Cor. IV, 18.

[3]) Aërem crassum, tenebricosum et terrae vicinum, sedem daemonum propriam esse post eorum e sedibus aethereis deturbationem putavit Origenes. Sunt qui eum sequuntur: Arnobius lib. I. contra Gentes, pag. 12. »Puerile, pusillum est et exile, vix et illis conveniens, quos jam dudum experientia doctorum daemonas appellat et heroas, non nosse coelestia, et in hac rerum materia crassiore conditionis suae exsortes versari.« Augustinus, lib. VIII. de civit. Dei cap. XXII. »Daemones in hoc quidem aëre habitant: quia de coeli superioris sublimitate dejecti, merito irregressibilis transgressionis, in hoc sibi congruo velut carcere, praedamnati sunt.« Prudentius, lib. I. contra Symmachum:

— prohibendo vagas ne pristinus error
Crederet esse Deum nigrante sub aëre formas.

Isidorus, Originum lib. VIII. cap. XI. pag. 1024. »Daemones lapsi in aëream qualitatem conversi sunt: nec aëris illius puriora spatia, sed ista caliginosa tenere perpessi sunt; qui iis quasi carcer est, usque ad tempus judicii.« Beda, Tom. II. lib. de nat. rerum, pag. 30. »Aër est, omne quod inani simile vitalem hunc spiritum fundit, infra lunam, volatus avium nubiumque et tempesta-

παχεῖ τούτῳ καὶ περιγείῳ ἀέρι, δεόμενοι [1]) τροφῆς τῆς

---

tum capax: ubi etiam potestates aëreae, superna sede deturbatae, cum tormento diem judicii, durius tunc damnandae, praestolantur: ex quo hominibus apparentes aërea sibi corpora meritis similia sumunt. Nam supra lunam, quae aëris aetherisque confinio currit, omnia pura ac diurnae lucis sunt plena: cujus vicinia tangere fertur Olympus.« Prosper de vita contempl. lib. III. cap. II. pag. 254. »Diabolus, sciens se per superbiam de coelestibus corruisse, et in hunc caliginosi aëris carcerem trusum, homini vitium persuasit.« Wetst.

[1]) Daemones indigere cibo, attrahere nidores, satiari sanguine, delectari suffitu, constans est Origenis opinio. Imo affirmat, haec iis nutrimenta tam necessaria esse, ut absque iis non possent in terra permanere, aut detineri. Hinc λιχνείαν τῶν φιλοσωμάτων δαιμόνων, objicit Celso lib. III. contra Cels. num. 28., indeque oriri ait persecutiones, instinctu eorum. Ἐώρων γὰρ τὰς λοιβὰς, καὶ τὰς κνίσσας, ἐφ' αἷς λίχνως ἥδοντο, καθαιρουμένας ἐκ τοῦ κρατεῖν τὰ Ἰησοῦ μαθήματα. Vide eundem lib. III. contra Cels. num. 36., lib. IV. num. 32, lib. VII. num. 5. 6. 35. 56. 64., lib. VIII. num. 60. 61. Mirum vero est tot Patribus, priorum maxime saeculorum, hanc placuisse sententiam. Tenet eam Tertullianus, Apol. adv. Gentes cap. XXII. »Errorum iste potissimus, quo Deos istos captos et circumscriptis hominum mentibus commendat, ut et sibi pabula propria nidoris et sanguinis procuret, simulacris imaginibus oblata.« Et cap. XXIII. »Aris inhalantes numen de nidore concipiunt.« Et: »Renuant se immundos spiritus esse, quod vel ex pabulis eorum, sanguine et fumo, et putidis rogis pecorum, et impuratissimis linguis ipsorum vatum, intelligi debuit.« Hinc lib. de idol. cap. VII. Spiritum vilissimi nidoris daemonem appellat. Vid. ejusd. lib. ad Scapulam cap. II. Athenagoras in legat. pro Christianis, pag. 33. Οἱ μὲν περὶ τὰ εἴδωλα αὐτοὺς ἔλκοντες, οἱ δαίμονές εἰσιν οἱ προειρημένοι οἱ προστεηκότες τῷ ἀπὸ τῶν ἱερείων αἵματι,

διὰ τῶν ἀναθυμιάσεων, ἐπιτηροῦσιν ὅπου [1]) *κνίσσα ἐστὶ καὶ αἵματα καὶ λιβανωτοὶ, ἐξευτελίζουσιν ὡς ἀδιάφο-*

καὶ ταῦτα περιλιχμώνενοι. Et pag. 34. *Οἱ περὶ τὴν ὕλην δαίμονες, λίχνοι περὶ τὰς κνίσσας καὶ τὸ τῶν ἱερείων αἷμα ὄντες.* Gregor. Nazianz. Orat. IV. adv. Julian. *Οὐκέτι μὲν λίχνοι καὶ ἀπατηλοὶ δαίμονες δυνασεύουσιν.* Et Orat. XVIII. de daemone, cujus ministerio ad corrumpendam Justinam Cyprianus utebatur: *Ὁ μισθὸς τῆς προαγωγίας, θυσίαι τε καὶ σπονδαὶ, καὶ ἡ δι' αἱμάτων καὶ κνίσσης οἴκείωσις. Τοιούτους γὰρ ἔδει μισθοὺς εἶναι τοῖς τὰ τοιαῦτα χαριζομένοις.* Arnobius, lib. III. contra Gentes, pag. 114. »Nisi enim thura et salsas accipiant fruges, benefacere Dii nequeunt: et nisi pecorum sanguine delibutas suas conspexerint arulas, suos deserunt atque abjiciunt praesidatus.« Idem lib. V. pag. 156. »Et quaenam, quaeso, illa divina res fuit, quae ab impetu rerum tanto Jovem compulit avocari, et mortalium sese denuntiationibus sistere? Mola, salsa, thus, sanguis, verbenarum suffitio, et nominum terribilium fremores?« Ibid. pag. 169. »Liber a Titanibus membratim sectus, atque in ollulas conjectus ut coqueretur, Jupiter suavitate nidoris illectus, invocatus adolavit ad prandium.« Sed lib. VII. pag. 212. ita de hac re disserit, ut dubius esse videatur. »Num quid forte dii coelestes aluntur his sacris, et ad eorum compaginem retinendam non nullius opus est suffectione materiae?« Paulo post, ubi negavit, pergit: »Quidquid enim causis et rebus fulcitur extrancis, necesse est esse mortale, et habere ad periculum viam pronam, ubi aliquid coeperit deesse, quo vivitur. Tum quod ex his rebus, quae admoventur altaribus, nihil videmus accedere, atque ad numinum substantias pervenire,« etc. »a canibus abliguritur sanguis: nisi forte hostiarum Deus animas devorat, aut ex aris ardentibus nidorem consectatur et fumos, pasciturque de cnissis, quas evomunt ardentia viscera, adhuc suda de sanguine, et prioribus humecta de succis. Sed si Deus, ut dicitur,

[1]) Wetst. *ὅπου κνίσσα ἀεὶ καὶ αἵματα κτλ.*

ρον τὸ θύειν, εἴποιμεν ἂν καὶ πρὸς ταῦτα, ὅτι εἴπερ οἱ τροφὰς λησταῖς καὶ φονεῦσι καὶ βαρβάροις ἐχθροῖς

---

nullius est corporis, omnique est incontiguus tactu; qui fieri potis est, ut corporalibus rebus nutriatur incorporeum; quod mortale est, ut immortale sustineat?« Rursus eod. libr. pag. 233. ita disserit: »Habent enim dii nares, quibus ducant aëreos spiritus? Acripiunt auras et remittunt, ut penetrare illos possint nidorum differentium qualitates? Quod si damus, ut fiat, mortalitatis eos adjungimus legi, et excludimus divinitatis a finibus.« Quibus tamen verbis non a daemonibus, sed a Deo actiones has corporales removet. Minucius Felix, pag. 30. »Morbos fingunt, terrent mentes, membra distorquent, ut ad cultum sui cogant; ut nidore altarium vel hostiis pecudum saginati, remissis, quae constrinxerant, curasse videantur.« Prudentius, hymno I.

Cerne quam palam feroces hic domantur daemones,
Qui lupino capta ritu devorant praecordia.

Et lib. I. advers. Symmachum, pag. 223.

— — Horrificos quos prodigialia cogunt
Credere monstra Deos; quos sanguinolentus edendi
Mos juvat, ut pinguis luco lanietur in alto
Victima, visceribus multa inter vina vorandis.

Omitto Justini Martyris ex Apolog I. et Firm. Materni, de err. profan. relig. cap. XIV. testimonia, quae doctissimus Huetius in Origenianis produxit. Unicum, quod mireris, superaddo Hieronymi Tom. III. in epist. ad Damasum pag. 128. »Porcus animal immundum,« etc. »Talis est, inquit, daemonum multitudo, quae per idola manu facta cruore pecudum et victimis pascitur; et novissime saginatiore quadam hostia, ipsius hominis morte, saturatur.« A paganis illam opinionem eos hausisse, non est dubium. Celsus enim apud Origenem ipse hoc fatetur, lib. VIII. contra Cels. num 60., et Origenes idem ex Homero eruit, quem dicit Iliad. lib. I. statim ab initio introducere Chrysen, ἕνεκεν ὀλίγων στεφάνων καὶ μυρίων ταύρων καὶ ἀγῶν τυγχάνοντα, ὧν ἥτησε καθ'

τοῦ μεγάλου βασιλέως παρέχοντες, ὡς τὸ κοινὸν ἀδικήσαντες κολάζονται· πόσῳ πλέον οἱ τοῖς τῆς κακίας ὑπηρέταις διὰ τοῦ θύειν διδόντες τροφὰς παρακατεχούσας αὐτοὺς ἐν τῷ περιγείῳ τόπῳ δικαιότατα ἂν ἐγκαλοῖντο· καὶ μάλιστα οἱ μαθόντες τό· »ὁ [1]) θύων θεοῖς ἑτέροις ἐξολοθρευθήσεται·« τοῖς τῶν ἐπὶ γῆς κακῶν αἰτίοις, πλὴν κυρίῳ μόνῳ, θύειν. Καὶ οἶμαί γε ἐπὶ τοῖς ἁμαρτανομένοις ὑπὸ τῶν δαιμόνων ἐνεργούντων κατὰ τῶν ἀνθρώπων, οὐκ ἔλαττον ἐγκληθήσεσθαι τῶν ἐνεργησάντων δαιμόνων τὰ χείρονα, διὰ τοῦ θύειν θρέψαντες αὐτούς. Οἱονεὶ γὰρ κοινῇ τὰ κακὰ πεποιήκασι τοῖς ἀνθρώποις, οἵ τε δαίμονες, καὶ οἱ καιασχόντες αὐτοὺς ἐπὶ γῆς· μὴ ἂν δυνηθέντας [2]) διαρκέσαι χωρὶς τῶν ἀνα-

---

Ἑλλήνων διὰ τὴν θυγατέρα. Sic animas heroum, ac inprimis Tiresiae vatis, sanguinem appetentes et bibentes, fuse describit idem Homerus Odyss. lib. XI. vers. 38. seqq. Sed unde Homero error inhaesit? Nescio an audacior sit conjectura, quam ut veniam mereatur, si dicamus ex male intellectis S. Scripturae verbis, et uti ex illis apparet, vetustissimo loquendi more, prave detorto, eum exortum fuisse. Scriptum est enim Genes. VIII, 21. Καὶ ὠσφράνθη κύριος ὁ θεὸς ὀσμὴν εὐωδίας. Hinc certe hominibus pravae mentis pronum erat colligere, Deum sibi expetere nidores et sacrificia: imo vero, inde quosdam hoc collegisse, patet ex variis Scripturae locis, inprimis e Psalm. L, 9—13. (XLIX.), ubi significanter ait: »Si esuriero, non dicam tibi:« (vers. 12.) et (vers. 13.) »Num quid manducabo carnes taurorum, aut sanguinem hircorum potabo?« Hanc opinionem, quae non raro etiam Judaeorum animos occuparat, severissime Deus per prophetas suos refutavit: ac saepe saepius omnium sacrificiorum pompam longissime a se removit, I Sam. XV, 22. Jesai. I, 11—13. et LXVI, 3. Amos. V, 21. 22. etc. Wetst.

[1]) Cfr. Exod. XXII, 20.

[2]) Wetst. δυνηθέντες.

θυμιάσεων, καὶ τῶν νομιζομένων εἶναι καταλλήλων [1]) τροφῶν τοῖς σώμασιν αὐτῶν.

---

[1]) Wetst. in textu: καὶ ἀλλήλων, ad marg. vero: »Lege: καταλλήλων«. — En hypothesin, qua fretus asserit Origenes, daemones nutriri: nimirum, quia corpora habent, et corporei sunt. Et certe oportet, ut omnes hi viri, quorum dicta modo allata sunt, in hac fuerint sententia. Verissima enim est Epiphanii assertio, Haer. XXVI. Πῶς δύναται δαίμων, πνεῦμα ὂν ἀκάθαρτον καὶ ἀσώματον, σωμάτων μεταλαμβάνειν; Εἰ δὲ καὶ ἀπὸ σωμάτων μεταλαμβάνει καὶ κνῖσκει, οὐκέτι ἐστὶ πνεῦμα, ἀλλὰ σῶμα· σῶμα δὲ ὄν, πῶς ἐστιν ἀόρατον καὶ πνεῦμα; Quicquid sit, corpora passim tribui daemonibus ab Origene, observavit doctissimus Huëtius. Origenes lib. III. contra Celsum num. 34. daemonas vocat μοχθηρούς, καὶ τόπους ἐπὶ γῆς προκατειληφότας, ἐπεὶ τῆς καθαρωτέρας οὐ δύνανται ἐφάψασθαι χώρας καὶ θειοτέρας, ἔνθα μὴ φθάνουσιν αἱ ἀπὸ τῆς γῆς καὶ τῶν ἐν αὐτῇ μυρίων κακῶν παχύτητες. Idem lib. I. περὶ ἀρχῶν. (ed. Redepenning. num. 95.) »Non est tale corpus, quale habent daemones, quod est naturaliter subtile et velut aura tenue, et propter hoc vel putatur a multis, vel dicitur incorporeum.« Tertullianus ante Origenem asseruit, lib. II. contra Marcionem, angelos »omnes constare ex spiritu materiali.« Materiale tamen, seu corpus daemonum statuit subtile, Apolog. adv. gentes cap. XXII. »Suppetit illis, — de daemonibus loquitur —, ad utramque substantiam hominis adeundam subtilitas et tenuitas sua.« Minucius Felix, in Octavio pag. 29. „Spiritus sunt insinceri, ait, vagi, a coelesti vigore terrenis labibus et cupiditatibus degravati: isti igitur spiritus, posteaquam simplicitatem substantiae suae, onusti et immersi vitiis, perdiderunt: ad solatium calamitatis suae non desinunt perditi jam perdere.« Ex Platone paulo post asserit »eorum substantiam inter corpus et spiritum mediam, terreni ponderis et coelestis levitatis admixtione concretam.« Macarius, Homil. IV. pag. 21. Ἕκαστον κατὰ τὴν ἰδίαν

46. *Πάλιν τε αὖ ὑπολαμβάνοντές τινες θέσει εἶναι τὰ ὀνόματα, καὶ οὐδεμίαν αὐτὰ ἔχειν φύσιν πρὸς τὰ ὑποκείμενα, ὧν ἐστιν ὀνόματα, νομίζουσι μηδὲν* [1])

φύσιν σῶμά ἐστιν ὁ ἄγγελος, ἢ ψυχή, ὁ δαίμων· ὅτι κἂν λεπτὰ ὦσιν, ὅμως ἐν ὑποστάσει καὶ χαρακτῆρι καὶ εἰκόνι κατὰ τὴν λεπτότητα τῆς φύσεως αὐτῶν, σώματα τυγχάνει λεπτὰ, ὥσπερ ἐν ὑποστάσει τοῦτο τὸ σῶμα παχύ ἐστιν. Augustinus non abhorruisse ab ea sententia, (quam Platonicorum fuisse probat ex Apuleji lib. de Socrat. daemon.) videtur. Consul. lib. VIII. de Civitate Dei cap. XIV. et XV., et lib. XXI. cap. X. sub finem, ac inprimis Lud. Vivis Comment. in lib. XV. cap. XXIII., ubi »Platonicos omnes, deinde Origenem, Lactantium, Basilium et consensum fere suo tempore scribentium,« hactenus secutus dicitur. Isidorus, lib. VIII. Originum cap. XI. »Daemones corporum aëreorum natura vigent: ante transgressionem quidem coelestia corpora gerebant; lapsi vero in aëream qualitatem conversi sunt.« Beda loco supra dicto non quidem ex corpore constare, sed corpora sibi aërea daemones assumere statuit. Sed Tom. IV. lib. III. in Job. cap. X. pag. 861. per »corpus diaboli« intelligit omnes consortes ejus et spiritus immundos; quos tanta consensione et conspiratione dicit Deus illi adjunctos, ut indissolubili connexione eidem sint copulati.« Hoc unum miror, qui S. Hieronymus inter Origenis errores in epist. ad Avitum enarratos, hunc quoque retulerit: »Quod rationales creaturae per negligentiam ad terrena corpora sint delapsae:« cum supra audiverimus ipsum Hieronymum quoque asserentem: »pasci daemones, et saginari cruore.« Id quod fieri non potest, si corpora iis demantur. Non dubito, si Rufinus hunc locum observasset, quin eum Hieronymo regessisset. Wetst.

[1]) Sic Deum verum appellat Origenes, aliique *πρῶτον θεὸν, τὸν ἐπὶ πᾶσι θεὸν, τὸν μέγαν θεόν.* Arnobius, lib. II. contra Gentes, vocat »Deum primum, Deum superiorem.« Lib. III. contra gentes sic loquitur: »Ad cultum divinitatis obeundum satis est nobis Deus primus:

διαφέρειν, εἰ λέγοι τις, σέβω τὸν πρῶτον θεὸν, ἢ [1])

Deus, inquam, primus, Pater rerum ac Dominus, constitutor moderatorque cunctorum.« Hoc memoratu dignum censeo, quod Simon Magus exsecrabilis ille haereticorum pater, non contentus simplice nomine Dei, ὡς πρῶτος θεός, adorari voluerit: teste Euseb. lib. II. Hist. eccles. cap. XIII. ex Justini Apologetico id probante. Primus idem est quod princeps, seu superior, etiam apud alios auctores. Cfr. VVetst.

[1]) Ethnicorum hic error erat, ut Deum Jovis nomine insignirent, vel potius dedecorarent. Hinc Celso ὁ μέγας θεὸς ὁ ὕψιστος, Ζεὺς, Ἀδωναῖος, Σαβαὼθ, Ἀμμοῦν, παπαῖος nil differt, lib. V. contra Cels. num. 41.. et Arnobius, lib. VII. contra gentes pag. 245. »Jovem, quem Deum principem dicitis, et rerum, quaecunque sunt, conditorem.« Et Aristeas, lib. de Vers. LXX. pag. 6. Τὸν πάντων ἐπόπτην καὶ κτίστην θεὸν οὗτοι (οἱ Ἰουδαῖοι) σέβονται, ὃν καὶ πάντες, ἡμεῖς δὲ μάλιστα, προσονομάζοντες ἑτέρως Ζῆνα. Ast Origenes, prout ubique singularem zelum pro vindicando Dei honore demonstravit, sibi similis hic esse non desiit, acriter contendens, Deum summum nunquam Jovis nomine, aut alterius e Diis gentium esse appellandum, imo citius moriendum et martyrium subeundum esse. Hoc passim inculcat, repetit, urget, veluti rem maximi momenti. Lib. IV. contra Cels. num. 48. Διὰ ταῦτα δὴ ἡμεῖς καὶ διὰ τοὺς τοιούτους μύθους, καὶ ἄλλους μυρίους, οὐδὲ μέχρις ὀνόματος θέλομεν Δία καλεῖν τὸν ἐπὶ πᾶσι θεόν· οὐδ' Ἀπόλλωνα τὸν ἥλιον, οὐδ' Ἄρτεμιν τὴν σελήνην· ἀλλὰ καθαρὰν εὐσέβειαν εἰς τὸν δημιουργὸν ἀσκοῦντες, καὶ τὰ καλὰ αὐτοῦ δημιουργήματα εὐφημοῦντες, οὐδὲ μέχρι ὀνόματος χραίνομεν τὰ θεῖα. Lib. I. contra Cels. num. 25. Πῶς οὐ μᾶλλον τῆς εὐλαβείας ἀποδεξόμεθα Χριστιανοὺς, μηδὲν τῶν ἐν ταῖς μυθοποιΐαις παραλαμβανομένων ὀνομάτων προσάπτοντας τῷ τοῦ παντὸς δημιουργῷ; Et paulo ante: Ἀπελογησάμεθα διὰ τῶν τοιούτων καὶ περὶ τοῦ μέχρι θανάτου ἀγωνίζεσθαι Χριστιανοὺς, ἵνα

τὸν Λία, ἢ Ζῆνα· καὶ εἰ φάσκοι τις· τιμῶ [1]) καὶ ἀπο-

μὴ τὸν Λία θεὸν ἀναγορεύσωσι, μηδ' ἄλλῃ διαλέκτῳ αὐτὸν ὀνομάσωσιν. Rationes ejus rei affert praecipue tres: *Prima* est, quia daemonum haec sint nomina, adeoque ipsi Deo neutiquam imponenda; et fraus diaboli eo collimet, ut sub Dei nomine adoretur. Hinc in textu dicit: Οὐ θαυμαστὸν δὲ, εἰ τὰ δαιμόνια τὰς ἰδίας ὀνομασίας ἀναφέρει ἐπὶ τὸν πρῶτον θεὸν, ἵνα ὡς πρῶτος προσκυνηθῇ θεός. Et lib. V. contra Cels. num. 46. Διὰ τοιαῦτα πᾶσαν αἰτίαν ὑπομένειν μᾶλλον αἱρούμεθα, ἢ τὸν Λία ὁμολογῆσαι θεόν· οὐ γὰρ τὸν αὐτὸν εἶναι ὑπολαμβάνομεν Λία καὶ Σαβαώθ, ἀλλ' οὐδ' ὅλως θεῖόν τι τὸν Λία, δαίμονα δέ τινα χαίρειν οὕτως ὀνομαζόμενον, οὐ φίλον αὐθρώποις, οὐδὲ τῷ ἀληθινῷ θεῷ. Cum Origene facit Cyrill. Alexandr. lib. VII. contra Julianum pag. 236., qui huic Jovem, Martem, Musas, Aesculapium, aliosque Deos nominanti, respondet: Εὔχειρες ἄρα ζωγράφοι καὶ εὐτεχνέστατοι λιθουργοὶ θεοὺς ὄντας ἀποφήνειεν ἂν τοὺς οὐκ ὄντας θεοὺς, μᾶλλον δὲ τοὺς ἀκαθάρτους δαίμονας, ἤγουν ἀνθρώπους κατεφθαρμένους. Walafridus Strabo, de rebus eccles. cap. I. p. 391. „Paganos fecisse templa Diis suis, vel potius daemonibus, seductoribus suis, non solum ex ipsorum libris, sed etiam ex divinae Scripturae testimoniis agnoscimus. *Secundo* urget Adamantius vim nominum et vocum, quae *φύσει*, *natura*, non *θέσει*, *ex instituto* hominum significent: et illa, quae Deo a Mose et sanctis hominibus attributa sunt, procul dubio singularem *ἐνέργειαν*, et *efficaciam* in se habere, sicque periculum oriri, ne *ὀνόματα τὰ μὲν κατὰ τῶν ἐλαττόνων ἐπὶ τὰ κρείττονα, τὰ δὲ κατὰ τῶν κρειττόνων ἐπὶ τὰ ἧττονα* accommodentur. Cfr. lib. I. contra Cels. num. 25. Videantur Protreptici verba. Probat autem nomina *φύσει* significare, ex efficacia eorum in exorcismis: in quibus Jesu nomen, *μυρίους ἤδη ἐναργῶς ἑώρατο δαίμονας ἐξελάσαν ψυχῶν καὶ σωμάτων.*

[1]) Wetst. in textu: *μῶ*, ad marg. vero: »Lege: *τιμῶ*.«

δέχομαι τὸν ἥλιον, ἢ τὸν Ἀπόλλωνα, καὶ τὴν σελήνην, ἢ τὴν Ἄρτεμιν, καὶ τὸ ἐν τῇ γῇ πνεῦμα, ἢ τὴν Δή-

---

Sic in incantationibus non licet nomina permutare, si debeant esse efficaces. Vide fusius hac de re disserentem Origenem lib. I. contra Cels. num. 24. 25. et lib. V. num. 45. 46. nec non in Philocal. cap. XVII., ubi eadem repetuntur. Hausit vero Origenes hanc opinionem a Platone, iu Cratylo eam multis adstruente, rejecto Aristotele, qui contrarium sensit. *Denique*, intuitu turpissimorum facinorum et obscoenarum fabularum, a poëtis et philosophis Diis suis affictarum, neutiquam ferendum esse existimavit, ut sanctissimo Deo horum nomina dentur. Lib. IV. contra Cels. num. 48. *Τί με δεῖ καταλέγειν τὰς περὶ θεῶν ἀτόπους Ἑλλήνων ἱστορίας, αἰσχύνης αὐτόθεν ἀξίας καὶ ἀλληγορουμένας;* Et paulo post: *Διὰ ταῦτα δὴ ἡμεῖς, καὶ διὰ τοὺς τοιούτους μύθους καὶ ἄλλους μυρίους, οὐδὲ μέχρις ὀνόματος θέλομεν Δία καλεῖν τὸν ἐπὶ πᾶσι θεόν.* Quid distet inter Jovem atque Deum, si pluribus nosse cupis, adi Arnobium lib. II. contra gentes pag. 19. Ceterum omittendum non est, permittere Originem, ut nomine appellativo, quo unaquaeque natio Deum indigetare solet, utamur. Cfr. lib. V. contra Cels. num. 46. *Τὸ προσηγορικὸν τὸν θεὸν πάσῃ διαλέκτῳ, ᾗ ἕκαστοι ἐντέθραπται, ὀνομάζων, οὐχ ἁμαρτήσεται.* Ratio forsan haec dari potest, quod primi auctores nominum, — sive Protoplastos intelligamus, sive homines, qui tempore confusionis linguarum vixere —, veri Dei cognitionem habuerint, adeoque appositum ei nomen tribuerint: cum nomina Deorum propria diu post illa tempora ab idololatris sint excogitata: sicut Arnobius in libris contra gentes fuse probat. Sed ut veterum circa nominis divini usurpationem religio magis appareat, addam Hieronymi testimonium, Tom. III. epist. ad Damasum pag. 129. „Absit", inquit, ut de ore Christiano sonet Jupiter omnipotens, et Me Hercule, et Me Castor, et cetera magis portenta quam nomina." Cogita, mi lector, quantum a casta Veterum pietate abeant, qui talia dicte-

μητραν, καὶ ὅσα ἄλλα φασὶν οἱ Ἑλλήνων σοφοί· πρὸς οὓς λεκτέον, ὅτι ἐστί τις καὶ περὶ ὀνομάτων πραγματεία βαθυτάτη καὶ ἀνακεχωρηκυῖα, ἥντινα ὁ συνιεὶς ὄψεται, ὅτι εἴπερ ἦν θέσει τὰ ὀνόματα, οὐχ ὑπήκουσαν ἂν οἱ καλούμενοι δαίμονες, ἀλλά [1]) τινες ἡμῖν ἀόρατοι δυνάμεις τοῖς ἐκείνους μὲν μὴ [2]) νοοῦσιν, ὀνομάζουσι δὲ ὡς τεθέντα τὰ ὀνόματα· [3]) νυνὶ δὲ φθόγγοι τινὲς καὶ συλλαβαὶ, καὶ μετὰ προσπνεύσεως, ἢ ψιλότητος, ἢ ἐκτάσεως [4]) ἢ συστολῆς ὀνομασίαι ἀπαγγελλόμεναι, ἄγουσι τάχα τινὶ φύσει ἀθεωρήτῳ ἡμῖν τοὺς καλουμένους. Εἰ δὲ τοῦθ' οὕτως ἔχει, καὶ μή ἐστι θέσει τὰ ὀνόματα, οὐδενὶ ὀνόματι κλητέον τὸν πρῶτον θεὸν, ἢ οἷς ὁ θεράπων [5]) καὶ οἱ προφῆται, καὶ αὐτὸς ὁ σωτὴρ

---

ria etiam in scholis hodie, tanquam Latinitatis flores, pueris vel inculcant, vel indulgent. Wetst.

[1]) Lego: καὶ ἄλλαι τινὲς ἡμῖν ἀόρατοι δυνάμεις, τοῖς ἐκείνους μὲν μὴ νοοῦσιν, ὀνομάζουσι δέ κτλ. R.

[2]) Deest μή in ed. Wetst.

[3]) Wetst. in textu corrupte: ὀνόμα (sic), ad marg. vero: »Lege: ὀνόματα.«

[4]) Wetst. in textu: ἐκτάσεως (sic), ad marg. vero: »Lege: ἐκτάσεως.«

[5]) Κατ' ἐξοχήν tribuitur hic titulus Mosi. Locum parallelum, ubi simpliciter sic nominetur, unicum observavi in Excerptis e Tom. III. in Genes. ad cap. I. vers. 16. seq. (Cfr. Philoc. cap. XIV.) Κεκίνηκεν ἡμᾶς, μήποτε τὸ πρᾶγμα καὶ παρὰ τῷ θεράποντι νενόηται οὕτως ἔχον. Alibi nomen usurpat cum additione; ut lib. VII. contra Cels. num. 41. θεράπων θεοῦ. Lib. II. contra Cels. num. 53. Προφήτης θεοῦ καὶ θεράπων αὐτοῦ. Lib. V. contra Cels. num. 29. Προφήτης θεοῦ καὶ γνήσιος θεράπων αὐτοῦ. Tertullianus simpliciter Mosen hoc nomine indigitat. lib. II. contra Marcion. pag. 474. »Ad hoc enim famulo dixit: Sine me, et disperdam illos.« Appollinarius, in Psalm. CV, 26. Τοῖς δὲ θεὸς θεράποντα πολύφρονα Μωσέα πέμψας. Epiphanio, Haer.

καὶ κύριος ἡμῶν ὀνομάζουσιν αὐτόν· οἷον, Σαβαὼθ, [1]) Ἀδωναΐ, Σαδδαΐ· καὶ πάλιν· Θεὸς Ἀβραὰμ, Θεὸς Ἰσαὰκ,

---

48., et Chrysostomo Tom. V. ab init. serm. 129. ὁ τοῦ Θεοῦ θεράπων, Cassiodoro, div. lect. cap. XXVIII. pag. 917. »Fidelissimus Dei famulus« vocatur. Imitati sunt omnes hi S. Apostolum Hebr. III, 5. sic loquentem: Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων. Alias vulgatum ejus ἐπίθετον, (qualia Graeci omnibus sanctis addere solent, vid. Epiphan. Haer. 78.) est ὁ θεόπτης, apud Philonem, de nom. mutat. pag. 809. Concil. Nicaen. II. Can. I. etc. Unde Balsamon in epist. ad Antiochenos de jejuniis ex Deut. XXXIV, 10. formavit illud: ὁ θεοπτικώτατος Μωϋσῆς. VVetst.

[1]) De his nominibus, eorumque vi, multa refert Origenes, lib. V. contra Cels. num. 45. Addam nonnulla: Ἐὰν μὲν ὁ καλῶν ἢ ὁ ὀρκῶν ὀνομάζῃ Θεὸν Ἀβραὰμ, καὶ Θεὸν Ἰσαὰκ, καὶ Θεὸν Ἰακὼβ, τάδε τινὰ ποιήσαι ἂν, ἤτοι διὰ τὴν τούτων φύσιν, ἢ καὶ δύναμιν αὐτῶν, καὶ δαιμόνων νικωμένων καὶ ὑποταττομένων τῷ λέγοντι ταῦτα· ἐὰν δὲ λέγῃ· ὁ Θεὸς πατρὸς ἐκλεκτοῦ τῆς ἠχούσης, καὶ ὁ Θεὸς τοῦ γέλωτος, καὶ ὁ Θεὸς τοῦ πτερνιστοῦ· οὕτως οὐδὲν ποιεῖ τὸ ὀνομαζόμενον, ὡς οὐδ' ἄλλο τι τῶν μηδεμίαν δύναμιν ἐχόντων. Ubi observandam esse puto praeter alia interpretationem nominis Abraham, quod transfert: πατὴρ ἐκλεκτὸς τῆς ἠχούσης. Hieronymus, Tom. III. quaest. in Gen. pag. 210., idem nomen enarrans: »Dicebatur, inquit, primum אברם Abram, quod interpretatur *Pater excelsus*, et postea vocatus est אברהם Abraham, quod transfertur: *Pater multarum.* Nam quod sequitur: *gentium*, non habetur in nomine. Unde igitur sua hauserit Origenes inquirendum est. Clemens Alexandrin. Strom. lib. V. pag. 400. Λέγεται Ἀβραὰμ, ἀντὶ φυσιολόγου σοφὸς καὶ φιλόθεος γενόμενος. Ἑρμηνεύεται μὲν γὰρ πατὴρ ἐκλεκτὸς ἠχοῦς· ἠχεῖ μὲν γὰρ ὁ γεγωνὼς λόγος. Ergo a Clemente praeceptore hausit id Origenes; uterque autem, uti et alia,

καὶ θεὸς Ἰακώβ· »Τοῦτο [1]) γάρ, φησὶν, ἐστὶν ὄνομα αἰώνιον, καὶ μνημόσυνον γενεαῖς γενεῶν.« Οὐ θαυμαστὸν δὲ, εἰ τὰ δαιμόνια τὰς ἰδίας ὀνομασίας ἀναφέρει ἐπὶ τὸν πρῶτον θεὸν, ἵν' ὡς πρῶτος προσκυνηθῇ θεός. Ὅπερ τῷ καθ' ἡμᾶς θεράποντι καὶ τοῖς προφήταις, καὶ τῷ πληρώματι [2]) νόμου Χριστῷ, καὶ τοῖς ἀποστόλοις αὐτοῦ οὐκ ἔστι πάτριον. Καὶ ταῦτα ἀναγκαίως, ἵνα μή τις ἡμᾶς κατασοφίσηται, [3]) ἢ κἂν ἐπὶ ποσὸν μολύνοι τὸν λογισμὸν ἡμῶν, παρεθέμεθα· οἷς ἐπιμελῶς προσεκτέον, μηδένα τόπον διδοῦσι παρεγχειρήσεως τοῖς ἐναντίοις.

47. Ἔτι δὲ καὶ φιλοζωεῖ ἄνθρωπος, πεῖσμα λαβὼν περὶ οὐσίας λογικῆς ψυχῆς, ὡς ἐχούσης τι συγγενὲς θεῷ. Νοερὰ [4]) γὰρ ἑκάτερα καὶ ἀόρατα· καὶ ὡς ὁ ἐπικρατῶν ἀποδείκνυσι λόγος, ἀσώματα. Τί δὲ καὶ ὁ κατασκευάζων ἡμᾶς ἐνεποίει πόθον τῆς πρὸς αὐτὸν εὐσεβείας [5]) καὶ κοινωνίας· ὅστις καὶ ἐν τοῖς ἐσφαλμένοις ἴχνη τινὰ σώζει τοῦ θείου βουλήματος, εἴπερ μὴ ἦν δυνατὸν τὸ φυσικῶς ποθούμενον, τοῖς λογικοῖς καταλαβεῖν; Καὶ σαφὲς, ὅτι ὥσπερ ἕκαστόν μέλος ἡμῶν πρός τι πέφυκεν οἰκειότητα [6]) σώζειν· οἱ ὀφθαλμοὶ πρὸς τὰ ὁρατὰ, καὶ ὦτα πρὸς τὰ ἀκουστά· οὕτω νοῦς

---

a Philone Judaeo. Ita enim is lib. de Gigantibus pag. 228. Καλεῖται πατὴρ ἐκλεκτὸς ἠχοῦς ἑρμηνευθεὶς Ἀβραὰμ, ὁ τοῦ σπονδαίου λογισμός· ἐξειλεγμένος τε γὰρ καὶ κεκαθαρμένος, καὶ πατὴρ φωνῆς, ἣ συνηχοῦμεν. Cfr. VVetst.

[1]) Cfr. Exod. III, 15.

[2]) Cfr. Rom. X, 4.

[3]) VVetst. κατασοφίσῃ τε, ἢ κἂν κτλ.

[4]) Vide lib. I. περὶ ἀρχῶν cap. I. num. 7. coll. not. VVetst.

[5]) VVetst. in textu; αὐσεβείας, ad marg. vero: »Lege: εὐσεβείας.«

[6]) VVetst. οἰκειότητι.

πρὸς τὰ νοητὰ, καὶ τὸν ἐπέκεινα τῶν νοητῶν θεόν. Τί [1]) τοίνυν ὀκνοῦμεν καὶ διστάζομεν ἀποθέμενοι τὸ ἐμποδίζον φθαρτὸν [2]) σῶμα, βαρύνον ψυχὴν, βρίθον νοῦν πολυφρόντιδα, γεῶδες σκῆνος, ἀπολυθῆναι τῶν δεσμῶν, καὶ ἀναλῦσαι [3]) ἀπὸ τῶν μετὰ σαρκὸς καὶ αἵματος κυμάτων, ἵνα σὺν Χριστῷ Ἰησοῦ, τὴν οἰκείαν τῇ μακαριότητι ἀνάπαυσιν ἀναπαυσώμεθα· τὸν αὐτὸν ὅλως δὶ ὅλων ἔμψυχον λόγον θεωροῦντες, καὶ ἀπ' αὐτοῦ τρεφόμενοι, καὶ τὴν αὐτῷ [4]) ποικιλοτάτην σοφίαν καταλαμβάνοντες, καὶ τυπούμενοι ὑπὸ τῆς αὐτοαληθείας, καὶ ἐν φωτὶ τῷ ἀληθεῖ [5]) καὶ ἀλήκτῳ τῆς γνώσεως τὸν νοῦν καταλαμπόμενοι, πρὸς τὴν θέαν [6]) τῶν δὶ ἐκείνου τοῦ φωτὸς θεωρεῖσθαι πεφυκότων, ὑπὸ ὀφθαλμῶν φωτιζομένων ὑπὸ τῆς τοῦ κυρίου ἐντολῆς;

48. Πάλαι ἠκούσαμεν τῶν Ἰησοῦ λόγων, καὶ ἤδη πολλῷ χρόνῳ τῷ εὐαγγελίῳ πεπολιτεύμεθα, καὶ πάντες ᾠκοδομήσαμεν ἑαυτοῖς οἰκίαν. Ποῦ δὲ ᾠκοδομήσαμεν, πότερον »ἐπὶ [7]) τὴν πέτραν« σκάψαντες καὶ βαθύναντες, ἢ ἐπὶ τὴν ἄμμον »χωρὶς [8]) θεμελίου,« ὁ παρὼν δείξει ἀγών. Ἐνέστηκε γὰρ χειμὼν φέρων [9]) βροχὴν

---

[1]) Wetst. et Ruaeus in textu, ille: *Τοίνυν ὀκνοῦμεν*, hic: *Τί τοίνυν ὀκνοῦμεν*. Iidem vero, ille ad marg., hic in notis: »Forte legendum: *Τί οὖν ὀκνοῦμεν;*«

[2]) Cfr. Sap. Sal. IX, 15.

[3]) Cfr. Philipp. I, 23.

[4]) Wetst. et Ruaeus in textu: *αὐτῷ*, Wetst. vero ad marg. „Forte: *αὐτοῦ*,« Ruaeus in notis: „Forte legendum: *αὐτοῦ*, vel: *ἐν αὐτῷ*.«

[5]) Wetst. in textu: *ἀληθι* (sic), ad marg. vero: „Lege *ἀληθεῖ*.«

[6]) Wetst. in textu: *θείαν*, ad marg. vero: „Lege: *θέαν*.«

[7]) Cfr. Luc. VI, 48.

[8]) Cfr. Luc. VI, 49 coll. Matth. VII, 26.

[9]) Cfr. Matth. VII, 25. coll. 27.

καὶ ποταμοὺς, καὶ ἀνέμους· ἤ, ὡς ὁ Λουκᾶς ὀνομάζει· »πλήμμυραν,[1])« καὶ ταῦτα προσρήξαντα τῇ οἰκίᾳ, ἤτοι οὐκ ἰσχύσει σαλεῦσαι αὐτὴν, καὶ[2]) διὰ τοῦτο οὔτε πεσεῖται ἡ οἰκία, ἅτε[3]) ἐπὶ τὴν πέτραν, τὸν Χριστὸν τεθεμελιωμένη· ἢ ἐλέγξει τὸ σαθρὸν τῆς οἰκοδομῆς διὰ τῆς ἐνεστηκυίας προφάσεως συμπεσουμένης· ὅπερ ἀπείη τῶν ἡμετέρων οἰκοδομημάτων· μεγάλη[4]) γὰρ σφόδρα ἡ ἐν ἀρνήσει πτῶσις, ἤ, ὡς Λουκᾶς φησι· μέγα[5]) τὸ ῥῆγμα τῆς χωρὶς τοῦ θεμελίου οἰκοδομῆς. Διόπερ ἡμεῖς εὐχώμεθα,[6]) ἵνα ὁμοιωθῶμεν[7]) „ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησεν αὐτοῦ[8]) τὴν οἰκίαν ἐπὶ τὴν πέτραν.« Ἥκέτω γὰρ ἐπὶ τοιαύτῃ οἰκοδομῇ ἡ ἀπὸ τῶν ἐν[9]) τοῖς ἐπουρανίοις πνευματικῶν τῆς πονηρίας βροχὴ, ἢ ποταμοὶ τῶν ἐχθρῶν ἡμῖν ἀρχῶν καὶ ἐξουσιῶν, ἢ οἱ ἀπὸ τῶν κοσμοκρατόρων τοῦ σκότους τούτου ἄνεμοι σκληροὶ, ἢ πλήμμυρα τῶν καταχθονίων πνευμάτων, καὶ προσρηγνύτωσαν[10]) ἑαυτοὺς τῇ ἐπὶ τὴν πέτραν ἡμῶν οἰκοδομῇ· ἵνα μὴ μόνον[11]) πρὸς τὸ μὴ πεσεῖν, ἀλλὰ μηδὲ σαλευθῆναι τὴν ἀρχὴν τὴν οἰκίαν,

---

[1]) Cfr. Luc. VI, 48.

[2]) Wetst. et Ruaeus in textu: καὶ διὰ τοῦτο πεσεῖται ἡ οἰκία. Jam Wetst. vero: »Lego: καὶ διὰ τοῦτο οὔτε πεσεῖται ἡ οἰκία κτλ., ipsius Domini verbis, Matth. VII, 25. καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν, et re praesenti hoc postulantibus.« — Legi quoque possit: μὴ πεσεῖται κτλ., ex seqq.

[3]) Wetst. ad marg. perperam: »Forte: οὔτε.« — Cfr. Matth. VII, 25. coll. Luc. VI, 48.

[4]) Cfr. Matth. VII, 27. [5]) Cfr. Luc. VI, 49.

[6]) Wetst. εὐχόμεθα. [7]) Cfr. Matth. VII, 24.

[8]) Wetst. αὐτοῦ.

[9]) Cfr. Eph. VI, 12. coll. Matth. VII, 25. 27.

[10]) Wetst. in textu: προερηγνύτωσαν, in Corrigendis vero: «Lege: προσρηγνύτωσαν.«

[11]) Deest μόνον in ed. Wetst.

πάθωσι μᾶλλον τὸ [1]) ὑφ' ἡμῶν ἐνεργοῦν, ἥπερ δράσωσι. Καὶ λεγέτω γε ἑκάτερος ἡμῶν πλήσσων τὰ ἀντικείμενα· »οὕτω [2]) πυκτεύω, ὡς οὐκ ἀέρα δέρων.«

49. Ἀλλὰ καὶ ἐπεὶ »ἐξῆλθεν [3]) ὁ σπείρων τοῦ σπείρειν,« δείξωμεν ὅτι ἡ ψυχὴ ἡμῶν ἔλαβε τὸν σπόρον αὐτοῦ· οὔθ' ὡς οἱ »παρὰ [4]) τὴν ὁδὸν,« οὔθ' ὡς »τὰ [5]) πετρώδη,« οὔθ' ὡς »αἱ [6]) ἄκανθαι·« ἀλλ' ὡς ἡ ἀγαθὴ [7]) γῆ. Εἰ [8]) μὲν οὖν οὗτε »παρὰ [9]) τὴν ὁδὸν,« οὔτε ἐπὶ τὰς ἀκάνθας [10]) ἦλθεν [11]) ὁ λόγος τοῦ Ἰησοῦ, τὸ ὅσον ἐφ' ἡμῖν, ἐν κυρίῳ καυχησόμεθα. Συνήκαμεν [12]) γὰρ τῶν λεγομένων. Διόπερ ὁ πονηρὸς [13]) οὐχ ἥρπασε »τὸ ἐσπαρμένον ἐν ταῖς καρδίαις [14])« ἡμῶν. Ὅτι δὲ οὐδὲ »ἐπὶ [15]) τὰς ἀκάνθας« ἐσπάρη, πολλοὶ ἡμῖν μαρτυρήσουσι· θεωροῦντες, ὅτι οὔτε »ἡ [16]) τοῦ αἰῶνος

---

[1]) Wetst. in textu: τά, ad marg. vero: »Lege: τό.«

[2]) I Cor. IX, 26.

[3]) Matth. XIII, 3. coll. Marc. IV, 3. Luc. VIII, 5.

[4]) Cfr. Matth. XIII, 4. coll. Marc. IV, 4. Luc. VIII, 5.

[5]) Cfr. Matth. XIII, 5. coll. Marc. IV, 5. Luc. VIII, 6.

[6]) Cfr. Matth. XIII, 7. coll. Marc. IV, 7. Luc. VIII, 7.

[7]) Cfr. Matth. XIII, 8. coll. Marc. IV, 8. Luc. VIII, 8.

[8]) Wetst. in textu: Ὁ μὲν οὖν, ad marg. vero: »Lege: Εἰ μὲν οὖν« κτλ.

[9]) Cfr. Matth. XIII, 4. Marc. IV, 4. Luc. VIII, 5. coll. Matth. XIII, 19. Marc. IV, 14. 15. Luc. VIII, 11. 12.

[10]) Cfr. Matth. XIII, 7. Marc. IV, 7. Luc. VIII, 7. coll. Matth. XIII, 22. Marc. IV, 18. 19. Luc. VIII, 14.

[11]) Wetst. in textu: ἦθεν, ad marg. vero: »Lege: ἦλθεν.«

[12]) Cfr. Matth. XIII, 19.

[13]) Cfr. Matth. XIII, 19. coll. Marc. IV, 15. Luc. VIII, 12.

[14]) Wetst. in textu: δίαις, ad marg. vero: »Lege: καρδίαις.«

[15]) Cfr. Matth. XIII, 22. coll. Marc. IV, 18. 19. Luc. VIII, 14.

[16]) Cfr. Matth. XIII, 22. coll. Marc. IV, 19. Luc. VIII, 14.

τούτου μέριμνα,« οὔτε »ἡ [1]) τοῦ πλούτου ἀπάτη,« οὔτε αἱ τοῦ βίου ἡδοναὶ [2]) δεδύνηνται ἐμποδίσαι τῷ ἐν ταῖς ψυχαῖς ἡμῶν λόγῳ τοῦ θεοῦ. Λοιπόν ἐστι τοὺς ἀνθρώπους ἀμφιβάλλειν, πότερον »ἐπὶ [3]) τὰ πετρώδη,« ἢ »ἐπὶ [4]) τὴν καλὴν« ἦλθε τὸ ὅσον ἐφ' ἡμῖν ὁ τοῦ θεοῦ λόγος. Γέγονε γὰρ θλῖψις καὶ διωγμὸς διὰ τὸν λόγον, καὶ ἐνέστη καιρὸς μεγάλου πειρασμοῦ, ὅτε ὁ μὲν »ἐπὶ [5]) τὰ πετρώδη σπαρεὶς« ἐλέγχεται, καὶ οἱ μὴ ἐμβαθύναντες, μηδὲ [6]) μέχρι τοῦ βάθους τῆς ψυχῆς παραδεξάμενοι τὸν Ἰησοῦν. Ὁ δὲ συνιεὶς [7]) τὸν λόγον καρποφορεῖ, καὶ κατέχει τὸν λόγον μέχρι τέλους ἐν ὑπομονῇ,[8]) ποιῶν ἑκατονταπλασίονα. Ἀκούομεν γὰρ, τίνα τρόπον ἡ γραφὴ παριστᾷ τοὺς μὲν ἐν καιρῷ θλίψεως ἢ διωγμοῦ σκανδαλιζομένους μετὰ τὸ ἐν χαρᾷ δοκεῖν παρειληφέναι τὰ ἅγια μαθήματα, καὶ σκανδαλιζομένους [9]) τῷ μὴ ἔχειν αὐτοὺς ῥίζαν, ἀλλὰ πρὸς καιρὸν πιστεύειν. Φησὶ γὰρ κατὰ μὲν τὸν Ματθαῖον· »Ὁ [10]) δὲ ἐπὶ τὰ πετρώδη σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ εὐθέως μετὰ χαρᾶς λαμβάνων αὐτόν·

---

[1]) Cfr. Matth. XIII, 22. coll. Marc. IV, 19. Luc. VIII, 14.

[2]) Cfr. Luc. VIII, 14. coll. Marc. IV, 19. Matth. XIII, 22.

[3]) Cfr. Matth. XIII, 5. Marc. IV, 5. Luc. VIII, 6. coll. Matth. XIII, 20. 21. Marc. IV, 16. 17. Luc. VIII, 13.

[4]) Cfr. Matth. XIII, 8. Marc. IV, 8. Luc. VIII, 8. coll. Matth. XIII, 23. Marc. IV, 20. Luc. VIII, 15.

[5]) Cfr. Matth. XIII, 20. 21. Marc IV, 16. 17. Luc. VIII, 13. coll. Matth. XIII, 5. Marc. IV, 5. Luc. VIII, 6.

[6]) Wetsten. *μὴ δέ.*

[7]) Cfr. Matth. XIII, 23. Marc. IV, 20. Luc. VIII, 15. coll. Matth. XIII, 8. Marc. IV, 8. Luc. VIII, 8.

[8]) Wetst. in textu: *ὑπονῇ*, ad marg. vero: »Lege: *ὑπομονῇ*.«

[9]) Wetst. in textu: *σκαδαλιζομένους*, ad marg. vero: »Lege: *σκανδαλιζομένους*.«

[10]) Matth. XIII, 20. 21.

οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ πρόσκαιρός [1]) ἐστι· γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθὺς σκανδαλίζεται.« *Κατὰ δὲ τὸν Μάρκον·* »Οὗτοί [2]) εἰσιν οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι· οἳ, [3]) ὅταν ἀκούσωσι τὸν λόγον, εὐθέως μετὰ χαρᾶς λαμβάνουσι, καὶ οὐκ ἔχουσι ῥίζαν ἐν ἑαυτοῖς, ἀλλὰ πρόσκαιροί εἰσιν· ἐπὰν γενομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθέως σκανδαλίζονται.« *Κατὰ δὲ τὸν Λουκᾶν·* »Οἱ [4]) δὲ ἐπὶ τὴν πέτραν, οἵ, ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν λόγον· καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρὸν πιστεύουσι, καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται.« *Περὶ τῶν καλῶς καρποφορούντων διδάσκουσα, λέγει·* »Ὁ [5]) δὲ ἐπὶ τὴν καλὴν γῆν [6]) σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ συνιείς· ὃς δὴ καρποφορεῖ καὶ ποιεῖ, ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα.« *Ἤ·* »Καὶ [7]) οὗτοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες, οἵτινες ἀκούουσι τὸν λόγον, καὶ ἀποδέχονται, καὶ καρποφοροῦσιν ἓν [8]) τριάκοντα, καὶ ἓν ἑξήκοντα, καὶ ἓν ἑκατόν·« *ἤ· Τὸ* [9]) δὲ εἰς τὴν καλὴν γῆν, οὗτοί εἰσιν, οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ ἀκούσαντες τὸν λόγον κατέχουσι, καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ.« *Κατὰ τὸν ἀπόστολον οὖν ἐπεὶ* »θεοῦ [10]) γεώργιον, θεοῦ οἰκοδομή [11]) ἐστε,« *γεώργιον μὲν ἐν*

---

[1]) WWetst. in textu: *πρὸς καιρός ἐστι*, ad marg. vero: »Lege: *πρόσκαιρός ἐστι*.«

[2]) Cfr. Marc. IV, 16. 17.

[3]) WWetst. perperam: *οἱ ὅταν κτλ.*

[4]) Cfr. Luc. VIII, 13. [5]) Cfr. Matth. XIII, 23.

[6]) WWetst. in textu: *γήν*, ad marg. vero: »Lege: *γῆν*.«

[7]) Cfr. Marc. IV, 20. — WWetst. *Καὶ εἰσὶν ἐπὶ τὴν γῆν τὴν κτλ.*

[8]) WWetsten. *ἐν τριάκοντα, καὶ ἐν ἑξήκοντα, καὶ ἐν ἑκατόν.*

[9]) Cfr. Luc. VIII, 15. [10]) I Cor. III, 9.

[11]) WWetst. in textu: *οἰκομή*, ad marg. vero: »Lege: *οἰκοδομή*«

τῇ ἀγαθῇ γῇ, οἰκοδομὴ δὲ ἐν τῇ πέτρᾳ· ὡς »οἰκοδομὴ[1] θεοῦ,« στῶμεν ἄσειστοι[2] πρὸς τὸν χειμῶνα· καὶ ὡς »θεοῦ[3] γεώργιον,« μήτε[4] τοῦ πονηροῦ[5] φροντίζωμεν, μήτε θλίψεως,[6] ἢ διωγμοῦ τῶν διὰ τὸν λόγον γινομένων, μήτε τῆς τοῦ αἰῶνος τούτου μερίμνης,[7] ἢ τῆς ἀπάτης τοῦ πλούτου, ἢ τῶν τοῦ βίου ἡδονῶν·[8] ἀλλὰ πάντων τούτων καταφρονοῦντες, τὸ ἀμέριμνον τῆς σοφίας πνεῦμα ἀναλάβωμεν, καὶ ἐπὶ τὸν μηδαμῶς ἔχοντα ἀπάτην πλοῦτον σπεύδωμεν, καὶ ἐπὶ τὰς, ἵν' οὕτως ὀνομάσω, ἡδονὰς τοῦ παραδείσου τῆς τρυφῆς ἐπειγώμεθα· καθ' ἕκαστον τῶν ἐπιπόνων λογιζόμενοι, ὅτι »τὸ[9] παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν· σκοπούντων ἡμῶν οὐ τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα.«

50. Καὶ τοῦτο δὲ γινώσκωμεν, ὅτι τὸ εἰρημένον περὶ τοῦ Ἄβελ ἀναιρεθέντος ὑπὸ τοῦ ἀνθρωποκτόνου καὶ ἀδίκου Κάϊν, ἐφαρμόζει πᾶσιν, ὧν ἀδίκως ἐξεχύθη τὸ αἷμα. Τὸ γάρ· »Φωνὴ[10] αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρὸς μὲ ἐκ τῆς γῆς·« νομίσωμεν λέγεσθαι καὶ περὶ ἑκάστου τῶν μαρτύρων, ὧν ἡ φωνὴ τοῦ αἵματος βοᾷ πρὸς τὸν θεὸν ἐπὶ[11] τῆς γῆς. Τάχα δὲ καὶ ὥσπερ »τιμίῳ[12] αἵματι τοῦ Ἰησοῦ« ἠγοράσθημεν, Ἰησοῦ λαβόντος τὸ »ὄνομα[13] τὸ ὑπὲρ πᾶν ὄνομα·«

---

[1]) I Cor. III, 9. [2]) Wetst. in textu: ἄσει, ad marg. vero: »Lege: ἄσειστοι.« [3]) I Cor. III, 9.

[4]) Wetst. et Ruaeus in textu, ille: μὴ δέ, hic: μηδέ. Iidem vero, ille ad marg., hic in notis: »Lege: μήτε.«

[5]) Cfr. Matth. XIII, 19. coll. Marc. IV, 15. Luc. VIII, 12.

[6]) Cfr. Matth. XIII, 21. coll. Marc. IV, 17. Luc. VIII, 13.

[7]) Cfr. Matth. XIII, 22. coll. Marc. IV, 19. Luc. VIII, 14.

[8]) Cfr. Luc. VIII, 14. coll. Marc. IV, 19.

[9]) Cfr. II Cor. IV, 17. 18. [10]) Gen. IV, 10.

[11]) Wetst. et Ruaeus in textu: ἐπὶ τῆς γῆς. Iidem vero, ille ad marg., hic in notis: »Legendum videtur: ἀπὸ τῆς γῆς.« [12]) Cfr. I Petr. III, 19. [13]) Philipp. II, 9.

οὕτως[1]) τῷ τιμίῳ αἵματι τῶν μαρτύρων ἀγορασθήσονταί τινες· καὶ[2]) αὐτῶν πλέον ὑψωθησομένων παρὸ ὑψώθησαν ἂν δίκαιοι μὲν γενόμενοι, μὴ μαρτυρήσαντες δέ· λόγον γὰρ ἔχει τὸ, ἰδίως τὸν[3]) ἐν μαρτυρίῳ θάνατον ὕψωσιν καλεῖσθαι, ὡς δῆλον ἐκ τοῦ· »Ἐὰν[4]) ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.« Δοξάσωμεν οὖν καὶ ἡμεῖς, ὑψώσαντες τῷ ἑαυτῶν θα-

---

[1]) Putavit Origenes sanguinem martyrum non per se, sed ex meritis sanguinis Christi, intercedendo redemtionem aliquibus conferre. Confer quae scripta sunt Homil. XXIV. in Numeros his verbis: »Quod si agnus, qui ad purificandum populum datus est, ad personam Domini et Salvatoris nostri refertur, consequens videtur, quod etiam cetera animalia, quae iisdem purificativis usibus deputata sunt, referri debeant similiter ad aliquas personas, quae per meritum sanguinis Christi purificationis aliquid humano generi conferunt. Vide ergo, ne forte sicut Dominus et Salvator noster, quasi agnus ad occisionem ductus, et in sacrificium altaris oblatus peccatorum remissionem universo praestitit mundo: ita fortassis et ceterorum sanctorum ac justorum sanguis, qui effusus est a sanguine Abel justi usque ad sanguinem Zachariae prophetae, qui interfectus est inter aedem et altare: alterius quidem sanguis sicut vitulae, alterius sicut hirci, aut caprae, aut alicujus horum fusus est ad expiandum pro parte aliqua populum.“ Et paulo post: „Sic ergo fortassis et si quis est angelorum, coelestiumque virtutum, aut si quis justorum hominum, vel etiam sanctorum prophetarum, atque Apostolorum, qui enixius interveniat pro peccatis hominum: hic pro repropitiatione divina velut aries, aut vitulus, aut hircus, oblatus esse sacrificium ob purificationem populo impetrandam accipi potest.“ Cfr. Ruaeus coll. not. Wetsten.

[2]) Wetst. et Ruaeus in textu: *καὶ αὐτῶν πλέον παρὸ ὑψώθησαν ἂν κτλ.*, Ruaeus vero in notis: „Videtur aliquid deesse. Lego: *καὶ αὐτῶν πλέον ὑψωθησομένων*, vel: *ὑψωθέντων παρὸ ὑψώθησαν ἂν κτλ.*«

[3]) Locum Joann. XII, 32. de crucifixione Christi interpretatur Cyrill. Alex. in Catena in hoc caput: *ἀντὶ τοῦ σταυρωθῆναι, τὸ ὑψωθῆναί φησιν.* Item Theophylact. ad eundem locum: *ἐὰν ὑψωθῶ ἐπὶ τοῦ σταυροῦ.* Cfr. Wetst. [4]) Ev. Joann. XXII, 32.

νάτῳ τὸν θεόν· ἐπείπερ ὁ μαρτυρῶν,[1] *τῷ ἑαυτοῦ θανάτῳ δοξάζει τὸν θεόν· ὅπερ καὶ αὐτὸ ἀπὸ Ἰωάννου μεμαθήκαμεν εἰπόντος· »Ταῦτα*[2] *δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν θεόν.«*

Ταῦτά μοι κατὰ τὸ δυνατὸν, ὡς οἷόν τε ἦν, πρὸς ὑμᾶς ὑπηγόρευται· ἅπερ εὔχομαι ὑμῖν γενέσθαι πρὸς τὸν παρόντα ἀγῶνα χρήσιμα. Εἰ δ' ὑμεῖς μάλιστα νῦν ὡς ἄξιοι πλείονα βλέπειν τῶν τοῦ θεοῦ μυστηρίων, μείζονα καὶ πλουσιώτερα καταλαμβάνοντες, καὶ πρὸς τὸ προκείμενον ἀνυσιμώτερα, τούτων ὡς παιδικῶν καὶ εὐτελῶν καταφρονήσετε· κἀγὼ ἂν τὸ τοιοῦτον περὶ ὑμῶν εὐξαίμην. Πρόκειται γὰρ ἡμῖν, οὐ τὸ δι' ἡμῶν ἀνυσθῆναι καθ' ὑμᾶς· ἀλλὰ τὸ ὅπως ποτὲ ἀνυσθῆναι· καὶ εἴθέ γε ἀνυσθείη διὰ θειοτέρων καὶ συνετωτέρων, καὶ ὑπερεχόντων πᾶσαν ἀθρωπίνην φύσιν λόγων καὶ σοφίας θεοῦ.

---

[1]) Videtur Origenes illos tantum martyrum nomine censuisse, qui morte sua veritatem obsignant: sed id non perpetuum esse apud Veteres, observavit Suicerus. Illi enim martyres appellant I., eos, qui atrocia subiere supplicia, e quibus tamen miracule sunt servati: ut tres juvenes in fornace Babylonica, dicti *οἱ ἐν Βαβυλῶνι γενόμενοι μάρτυρες*, ab Athanas. Orat. III. contra Arianos. Et in genere a Gregorio Nazianzen. Orat. XX. pag. 319. tales appellantur *ζῶντες μάρτυρες*. Vid. Chrysostom. in Psalm. XCVI. II., appellant martyres, qui fratres et aegrotos visitabant, in morbis contagiosis praesertim. Consul. Dionys. Alexandrin. apud Euseb. Hist. eccles. lib. VII. cap. XXII. III., appellant eos, qui martyres in carcere visitabant. Vid. Constitut. Apostol. lib. V. cap. I. p. 912. IV., appellant eos, qui fidem veram confitentur, et operibus bonis ac vitae innocentia eam elucere faciunt. Cfr. Clem. Alexandr. Strom. lib. IV. pag. 350. et Chrysostom. Homil. XI. in ep. ad Hebr. Tom. IV. pag. 493. V., appellant eos, qui bonorum temporalium privationem patienter ferunt. Cfr. Chrysost. Homil. in ep. II. ad Corinth. pag. 546. Denique VI., appellant martyres, qui mori, quam magicis artibus ad recuperandam sanitatem uti malunt. Vid. Chrysostom. Homil. V. contra Judaeos. Wetst.

[2]) Cfr. Ev. Joann. XXI, 19. coll. XII, 33.

EXCURSUS I.

Cfr. Orig. contra Cels. lib. VI. num. 30. coll. ed. nostr. Tom. XIX. pag. 354.

